pag. 454-468 ed. Heer. Conf. Bœckh. Philol. p. 47-66. Scripsi : [a] οὐ γὰρ ὁτιῶν οἷόν τε οὐθὲν οὔτε νοηθῆμεν οὔτε γνωσθῆμεν ἄνευ τούτω cum Bœckhio; codd. οὐ γὰρ ὁτιῶν τε οὐδὲν οὔτ' ἐνοήθημεν οὔτ' ἐγνώσθημεν ἄνευ τούτω. [b] εἴδεα; codd. εἴδη. [c] ἂν ἑκάστα ὡσαύτως μερίζεται; codd. ἃς ἕκαστον αὖ ταυτὸ δηλαίνει. [d] δῆλον γὰρ ὅτι οὐχ οἷόντ' ἦς; libri πλέον γα, ἢ ὅτι οὐχ οἷόν τ' ἦς. [e] οὐθὲν; codd. οὐθενὶ. [f] ὡτινιῶν; libri ὥτινι ἂν. [g] τᾷ τοιαύτα ἁρμονίᾳ; libri τὰ τοιαῦτα ἁρμονίᾳ. [h] τὸ δ' ἐν μέσῳ cum Nicomacho Harm. I p. 17. cf. II pag. 27; Stobæi codd. τὸ δὲ μέσον. Prima verba inde ab ἀνάγκα usque ad φανέονται sæpius respiciunt veteres. Proclus theol. Plat. III, 7 pag. 132 : λέγει τοίνυν ὁ ἐν Φιλήβῳ Σωκράτης, ὡς ἄρα θεὸς πέρατός ἐστι καὶ ἀπειρίας ὑποστάτης, καὶ διὰ τούτων ἅπαντα τὰ ὄντα μιγνὺς παρήγαγε, κατὰ τὸν Φιλόλαον ἐκ περαινόντων καὶ ἀπείρων τῆς τῶν ὄντων φύσεως συμπεπλεγμένης. Id. in Plat. Tim. I, p. 26 : δημιουργίαν ἄῤῥηκτον ἐξ ἐναντίων συνεστῶσαν, περαινόντων τε καὶ ἀπείρων, ὡς Φιλόλαός φησι καὶ ὡς αὐτὸς ἐν Φιλήβῳ λέγων. Iamblichus ap. Villois. Anecd. Gr. II p. 196 et in Comment. ad Nicomach. Arithm. pag. 7 : ἀρχὰν γὰρ οὐδὲ τὸ γνωσούμενον ἐσσεῖται πάντων ἀπείρων ἐόντων, κατὰ τὸν Φιλόλαον, ubi τὸ γνωσούμενον cave cum A. Bœckhio passive accipias. Nam Philolaus τὸ γνωσούμενον eodem sensu dicit quo Plato Cratyl. p. 440 A : καὶ ἐκ τούτου τοῦ λόγου οὔτε τὸ γνωσόμενον οὔτε τὸ γνωσθησόμενον ἂν εἴη. Nicomachus Arithm. II, p. 59 : καὶ καλῶς οἱ παλαιοὶ φυσιολογεῖν ἀρχόμενοι τὴν πρώτην διαίρεσιν τῆς κοσμοποιίας ταύτῃ ποιοῦνται. Πλάτων μὲν τῆς ταὐτοῦ φύσεως καὶ τῆς θατέρου ὀνομάζων καὶ πάλιν τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ἐχούσης οὐσίας τῆς τε αὖ μεριστῆς γινομένης. Φιλόλαος δὲ, « Ἀναγκαῖον τὰ ἐόντα εἶμεν ἤτοι ἄπειρα ἢ περαίνοντα ἢ περαίνοντα ἅμα καὶ ἄπειρα » ὅπερ μᾶλλον συγκατατίθεται εἶναι, ἐκ περαινόντων ἅμα καὶ ἀπείρων συνεστάναι τὸν κόσμον, κατ' εἰκόνα δηλονότι τοῦ ἀριθμοῦ· καὶ γὰρ οὗτος σύμπας ἐκ μονάδος καὶ δυάδος σύγκειται ἀρτίου τε καὶ περιττοῦ, ἃ δὴ ἰσότητός τε καὶ ἀνισότητος ἐμφαντικά, ταυτότητός τε καὶ ἑτερότητος, περαίνοντός τε καὶ ἀπείρου, ὡρισμένου τε καὶ ἀορίστου. Cf. Boeth. Arithm. I, 32 et Proclus in Tim. I p. 54. Extrema ἁρμονίας δὲ μέγεθός ἐστι κτλ. conjungenda cum Nicomachi loco Arithm. II, p. 72 : τινὲς δὲ αὐτὴν ἁρμονικὴν καλεῖσθαι νομίζουσιν, ἀκολούθως Φιλολάῳ ἀπὸ τοῦ παρέπεσθαι πάσῃ γεωμετρικῇ ἁρμονίᾳ· γεωμετρικὴν δὲ ἁρμονίαν φασὶ τὸν κύβον ἀπὸ τοῦ κατὰ τρία διαστήματα ἡρμόσθαι ἰσάκις ἴσα ἰσάκις· ἐν γὰρ παντὶ κύβῳ ἥδε ἡ μεσότης πάντως ἐνοπτρίζεται· πλευραὶ μὲν γὰρ παντὸς κύβου εἰσὶ ιβ', γωνίαι δὲ η', ἐπίπεδα δὲ ς'. Conf. Boet. Arith. II, 49.)

4. Τὸ πρᾶτον ἁρμοσθέν, τὸ ἕν, ἐν τῷ μέσῳ τ[ῶ] σφαίρας ἑστία καλεῖται.

(Joann. Stob. Eclog. lib. I cap. XXII, pag. 468 ed. Heer.)

5. Ὁ κόσμος εἷς ἐστιν· ἤρξατο δὲ γίγνεσθαι ἄ[π]ὸ τοῦ μέσου, καὶ ἀπὸ τοῦ μέσου τὰ ἄνω [a]. Διὸ τῷ αὐ[τ]ῷ τρόπῳ ἐστὶ τὰ ἄνω [b] τοῦ μέσου ὑπεναντίως κείμε[ν]α τοῖς κάτω. Τοῖς γὰρ κάτω τὰ κατωτάτω μέσα ἐστ[ὶ] ὥσπερ τὰ ἀνωτάτω, καὶ τὰ ἄλλα ὡσαύτως. Πρὸς [δὲ] τὸ μέσον κατὰ ταὐτά ἐστιν ἑκάτερα, ὅσα μὴ μετεν[έ]νεχται [c].

(Joann. Stob. Eclog. lib. I cap. XVI, 7 p. [5]3 ed. Heer. Posui : [a] τὰ ἄνω cum Heerenio; co[d]. εἰς τὸ ἄνω. [b] διὸ τῷ αὐτῷ τρόπῳ ἐστὶ τὰ ἄνω; co[d]. διὰ τῶν αὐτῶν τοῖς κάτω ἐστι τὰ ἄνω. [c] ὅσα μὴ [μ]ετενήνεχται refero ad partes vel terræ motu [aut] inundatione sive ortas sive absorptas.)

6. Φιλόλαος πῦρ ἐν μέσῳ περὶ τὸ κέντρον, [ὃ] Ἑστίαν τοῦ παντὸς καλεῖ καὶ Διὸς οἶκον, καὶ μη[τ]ρὸς θεῶν βωμόν τε καὶ συνοχήν, καὶ μέτρον φύσεως· [ἔ]πάλιν πῦρ ἕτερον ἀνωτάτω τὸ περιέχον. Πρῶτα [μ]εῖναι φύσει τὸ μέσον, περὶ δὲ τοῦτο δέκα σώμ[α] θεῖα χορεύειν, οὐρανόν, πλανήτας, μεθ' οὓς ἥλιον, [ὑ]ῷ σελήνην, ὑφ' ᾗ τὴν γῆν, ὑφ' ᾗ τὴν ἀντίχθονα, [κ]ἀ σύμπαντα τὸ πῦρ, ἑστίας ἐπὶ τὰ κέντρα τάξιν [ἔ]χον. Τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος [ὃ] ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, Ὄλυμπον [κα]λεῖ, τὰ δὲ ὑπὸ τὴν τοῦ Ὀλύμπου φοράν, ἐν ᾧ [φ]

---

quinque sesquioctava et duas dieses, quinarium intervallum tria sesquioctava ac diesin, quaternarium intervallum vero duo sesquioctava ac diesin.

4. Id quod primo compositum est, unum, in medio rerum naturæ corpore focus vocatur.

5. Mundus unus est; is autem usque ad medium cœpit exsistere et a medio superiora exorta sunt. Quamobrem eodem modo quæ supra medium sunt inferioribus sunt opposita. Nam inferioribus infima sunt media, ut suprema, ac reliqua similiter; siquidem eodem pacto se ad medium habent utraque exceptis partibus in alium locum translatis.

6. Philolaus ignem in medio ad centrum ponit, [q]u[em] universi focum appellat Jovisque domicilium ac de[um] matrem aramque et copulam ac mensuram naturæ. [I]n deinde supremum ignem facit aerem omnia cingentem [e]t natura primum esse ait medium, circa quod decem [di]vina versentur corpora, cœlum, planetæ, sol, et lunam [i]b hac esse terram, sub eaque terram oppositam, ac poss[i]o ignem in centro foci instar situm. Ac supremam qu[i]m aeris nos ambientis partem, quæ pura complectatur elem[en]t Olympum vocat, sub Olympo celeriter moto autem [s]a, quæ planetæ quinque cum sole et luna teneant, mut[a]; sub his vero locâ lunæ subjecta ac terrestria, in [qu]as

πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, κόσμον· τὸ δ' ὑπὸ τούτοις ὑποσέληνόν τε καὶ περίγειον μέρος, ἐν ᾧ τὰ τῆς φιλομεταβόλου γενέσεως, οὐρανόν. Καὶ περὶ μὲν τὰ τεταγμένα τῶν μετεώρων γίγνεσθαι τὴν σοφίαν, περὶ δὲ τὰ γενόμενα τῆς ἀταξίας τὴν ἀρετήν, τελείαν μὲν ἐκείνην, ἀτελῆ δὲ ταύτην.

(Joann. Stob. Eclog. lib. I cap. XXIII, 1 pag. 488 ed. Heer.)

7. Τὸ δὲ ἡγεμονικὸν (Φιλόλαος ἔφησεν) ἐν τῷ μεσαιτάτῳ πυρί, ὅπερ τρόπιος δίκην προὐπεβάλλετο τῆς τοῦ παντὸς [σφαίρας] ὁ δημιουργὸς θεός.

(Joann. Stob. Eclog. lib. I cap. XXII, 6 p. 452 ed. Heer.)

8. Φιλόλαος διττὴν εἶναι τὴν φθοράν, τοτὲ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τοτὲ δ' ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος· καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου.

(Plutarchus de Plac. phil. lib. II cap. 5. Conf. Stob. Eclog. lib. I cap. 21, 2 pag. 418 ed. Heer.; item lib. I cap. 22, 6 pag. 452. Ad animalem mundi naturam spectant quæ Aristoteles Phys. IV, 6 pag. 213, 24, b ed. Bekker. Pythagoreis tribuit decreta his verbis : εἶναι δ' ἔφασαν καὶ οἱ Πυθαγόρειοι κενόν, καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι καὶ τὸ κενόν, ὃ διορίζει τὰς φύσεις, ὡς ὄντος τοῦ κενοῦ χωρισμοῦ τινος τῶν ἐφεξῆς καὶ τῆς διορίσεως· καὶ τοῦτ' εἶναι πρῶτον ἐν τοῖς ἀριθμοῖς· τὸ γὰρ κενὸν διορίζειν τὴν φύσιν αὐτῶν. Eadem habet Stobæus Eclog. lib. I, 19, 1 p. 380 hæc addens : ἐν δὲ τῷ περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει τὸν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενόν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί.)

9. Φιλόλαος ὁ Πυθαγόρειος τὸ μὲν πῦρ μέσον· τοῦτο γὰρ εἶναι τοῦ παντὸς ἑστίαν· δευτέραν δὲ τὴν ἀντίχθονα· τρίτην δὲ ἣν οἰκοῦμεν γῆν ἐξ ἐναντίας κειμένην τε καὶ περιφερομένην τῇ ἀντίχθονι· παρ' ὃ καὶ μὴ δρᾶσθαι ὑπὸ τῶν ἐν τῇδε τοὺς ἐν ἐκείνῃ.

(Plutarchus de Plac. phil. lib. III cap. 11. Cf. Euseb. Præp. Evang. XV, 57. Galen. XXI, 3. His consentanea aut non admodum diversa alii tradunt. Diogenes Laertius lib. VIII, 85 de Philolao : καὶ τὴν γῆν κινεῖσθαι κατὰ κύκλον πρῶτον εἰπεῖν· οἱ δὲ Ἰκέταν Συρακούσιόν φασιν. Plutarchus de Plac. phil. lib. III cap. 13 : οἱ μὲν ἄλλοι μένειν τὴν γῆν· Φιλόλαος δὲ ὁ Πυθαγόρειος, κύκλῳ περιφέρεσθαι περὶ τὸ πῦρ κατὰ κύκλου λοξοῦ ὁμοιοτρόπως ἡλίῳ καὶ σελήνῃ. Cf. Galen. XXI, 5. Euseb. XV, 58. Aristoteles de Cœlo II, 13 p. 293, a ed. Bekker. : ἐναντίως οἱ περὶ Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι λέγουσιν· ἐπὶ μὲν γὰρ τοῦ μέσου πῦρ εἶναί φασι, τὴν δὲ γῆν ἓν τῶν ἄστρων οὖσαν, κύκλῳ φερομένην περὶ τὸ μέσον νύκτα τε καὶ ἡμέραν ποιεῖν· et aliquot versibus interjectis : ἀλλ' ὅσοι μὲν μηδὲ ἐπὶ τοῦ μέσου κεῖσθαί φασιν αὐτήν, κινεῖσθαι δὲ κύκλῳ περὶ τὸ μέσον· οὐ μόνον δὲ ταύτην, ἀλλὰ καὶ τὴν ἀντίχθονα, καθάπερ εἴπομεν πρότερον.)

10. Φιλόλαος ὁ Πυθαγόρειος ὑαλοειδῆ τὸν ἥλιον, δεχόμενον μὲν τοῦ ἐν τῷ κόσμῳ πυρὸς τὴν ἀνταύγειαν, διηθοῦντα δὲ πρὸς ἡμᾶς τό τε φῶς καὶ τὴν ἀλέαν, ὥστε τρόπον τινὰ διττοὺς ἡλίους γίγνεσθαι, τό τε ἐν τῷ οὐρανῷ πυρῶδες καὶ τὸ ἀπ' αὐτοῦ πυροειδὲς κατὰ τὸ ἐσοπτροειδές· εἰ μή τις καὶ τρίτον λέξει, τὴν ἀπὸ τοῦ ἐνόπτρου κατ' ἀνάκλασιν διασπειρομένην πρὸς ἡμᾶς αὐγήν.

(Stobæus Eclog. lib. I cap. XXVI, 3 p. 523 ed. Heer. Conf. Plutarchus de Plac. Phil. lib. II cap. 20. Galen. XIV, 1. Euseb. XV, 23. Michael Glyc. Annal. I, p. 20. Paulo aliter Achilles Tatius in Arat. Prolegg. 19 : Φιλόλαος δὲ (τὸν ἥλιόν φησι) τὸ πυρῶδες καὶ διαυγὲς λαμβάνοντα ἄνωθεν ἀπὸ τοῦ αἰθερίου πυρὸς πρὸς ἡμᾶς πέμπειν τὴν αὐγὴν διά τινων ἀραιωμάτων, ὥστε κατ' αὐτὸν τρισσὸν εἶναι τὸν ἥλιον, τὸ μὲν ἀπὸ τοῦ αἰθερίου πυρός, τὸ δὲ ἀπ' ἐκείνου πεμπόμενον ἐπὶ τὸν ὑελοειδῆ ὑπ' αὐτοῦ λεγόμενον ἥλιον, τὸ δὲ ἀπὸ τοῦ τοιούτου ἡλίου πρὸς ἡμᾶς πεμπόμενον.)

11. Περὶ δὲ ἐμφάσεως αὐτῆς τῶν Πυθαγορείων τινὲς μέν, ὧν ἐστι Φιλόλαος, τὸ γαιοφανὲς αὐτῆς εἶναι, διὰ

---

mutabilis rerum ortus regnet, cœlum. Postremo in statis quidem rebus cœlestibus versari affirmat sapientiam, sed in rebus ordine carentibus virtutem, ut illam perfectam, ita hanc imperfectam.

7. Principatum autem (Philolaus esse dixit) in igne centrali quem tanquam carinam rerum procreator deus universi sphæræ præposuit.

8. Philolaus duplicem esse mundi interitum ait, unum igne cœlitus defluente, alterum lunari aqua per conversionem aeris effusa : atque horum exhalationes esse alimentum mundi.

9. Philolaus Pythagoreus igni medium assignat locum, quod sit quasi focus universi : secundum antichthoni : tertium ei in qua nos degimus terræ, sitæ ex adverso et contrario motu circumcurrenti; unde fiat ut qui in una sunt terra, ab iis, qui constituti in altera sunt, non cernantur.

10. Philolaus Pythagoreus vitreæ naturæ solem fecit, qui ut mundani ignis radios acciperet, ita lumen simul cum calore ad nos transfunderet : sic ut duo quodam pacto sint soles, nempe cœlestis ignis et qui inde tanquam in speculum transfunditur, nisi quis etiam tertium velit addere, radium a speculo ad nos retortum.

11. Faciem vero ejus Pythagoreorum alii, ut Philolaus, terræ formam esse dixerunt, quoniam luna, quemadmodum terra hæc, circumcirca habitetur majoribus ac pul-

τὸ περιοικεῖσθαι τὴν σελήνην, καθάπερ τὴν παρ' ἡμῖν γῆν, ζῴοις καὶ φυτοῖς μείζοσι καὶ καλλίοσιν· εἶναι γὰρ πεντεκαιδεκαπλάσια τὰ ἐπ' αὐτῆς ζῷα τῇ δυνάμει, μηδὲν περιττωματικὸν ἀποκρίνοντα, καὶ τὴν ἡμέραν[a] τοσαύτην τῷ μήκει.

(Stobæus Eclog. lib. I cap. 27, 1 p. 562 ed. Heer. Conf. Plutarchus de plac. Phil. lib. II, 30. Galen. XV, 6. Euseb. XV, 52. Ex his Plutarchus initio habet· : οἱ Πυθαγόρειοι γεώδη φαίνεσθαι τὴν σελήνην διὰ τὸ περιοικεῖσθαι, in cæteris fere cum Stobæo consentit. —[a]) τὴν ἡμέραν reposui e Plutarcho, Galeno et Eusebio; nam in Stobæi codicibus est τὴν ἡμετέραν.)

12. Φιλόλαος δέ φησιν ἀριθμὸν εἶναι τῆς τῶν κοσμικῶν αἰωνίας διαμονῆς τὴν κρατιστεύουσαν καὶ αὐτογενῆ συνοχήν.

(Iamblichus ad Nicom. Arithm. p. 11; item Syrian. ad Aristotelis Metaph. XII, p. 71 b. et 85 b. Quæsivisse Philolaum de numeris de eoque argumento in scriptis disputasse patet etiam ex iis quæ Theolog. Arithm. auctor p. 61 f. memoriæ prodit : ὅτι καὶ Σπεύσιππος ὁ Ποτώνης μὲν υἱὸς τῆς τοῦ Πλάτωνος ἀδελφῆς, διάδοχος δὲ Ακαδημίας πρὸ Ξενοκράτους, ἐκ τῶν ἐξαιρέτως σπουδασθεισῶν ἀεὶ Πυθαγορικῶν ἀκροάσεων, μάλιστα δὲ τῶν Φιλολάου συγγραμμάτων βιβλίδιόν τι συντάξας γλαφυρόν, ἐπέγραψε μὲν αὐτὸ περὶ Πυθαγορικῶν ἀριθμῶν.)

13. Θεωρεῖν δεῖ τὰ ἔργα καὶ τὰν ἐσσίαν τῷ ἀριθμῷ καττὰν δύναμιν, ἅτις ἐστὶν ἐν τᾷ δεκάδι· μεγάλα γὰρ καὶ παντελὴς καὶ παντοεργὸς καὶ θείω καὶ οὐρανίω βίω καὶ ἀνθρωπίνω ἀρχὰ καὶ ἀγεμὼν καὶ κοσμήτειρα[a] ἁ δύναμις ἁ τᾶς δεκάδος· ἄνευ δὲ ταύτας πάντ' ἄπειρα καὶ ἄδηλα καὶ ἀφανῆ. Νομικὰ γὰρ ἁ φύσις ἁ τῷ ἀριθμῷ καὶ ἀγεμονικὰ καὶ διδασκαλικὰ τῷ ἀπορουμένω παντὸς καὶ ἀγνοουμένω παντί. Οὐ γὰρ ἦς δῆλον οὐθενὶ οὐθὲν τῶν πραγμάτων οὔτε αὐτῶν ποθ' αὑτὰ οὔτε ἄλλω ποτ' ἄλλο, εἰ μὴ ἦς ἀριθμὸς καὶ ἁ τούτω ἐσσία. Νῦν δὲ οὗτος ποττὰν[b] ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλλάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται, σωματῶν καὶ σχίζων τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων, τῶν τε ἀπείρων καὶ τῶν περαινόντων. Ἴδοις δὲ καὶ οὐ μόνον ἐν τοῖς δαιμονίοις καὶ θείοις πράγμασι τὰν τῶ ἀριθμῶ φύσιν καὶ τὰν δύναμιν ἰσχύουσαν, ἀλλὰ καὶ ἐν τοῖς ἀνθρωπικοῖς ἔργοις καὶ λόγοις πᾶσι παντᾶ, καὶ κατὰ τὰς δαμιουργίας τὰς τεχνικὰς πάσας καὶ κατὰ τὰν μουσικάν. Ψεῦδος δὲ οὐδὲν δέχεται ἁ τῶ ἀριθμῶ φύσις οὐδὲ ἁρμονία· οὐ γὰρ οἰκεῖον αὐτοῖς ἐστί. Τᾶς γὰρ ἀπείρω καὶ ἀνοήτω καὶ ἀλόγω φύσιος τὸ ψεῦδος καὶ ὁ φθόνος ἐστί. Ψεῦδος δὲ οὐδαμῶς ἐς ἀριθμὸν ἐμπιτνεῖ[c]· πολέμιον γὰρ καὶ ἐχθρὸν τᾷ φύσι αὐτῶ[d], ἁ δ' ἀλάθεια οἰκεῖον καὶ σύμφυτον τᾷ τῶ ἀριθμῶ γενεᾷ.

(Joann. Stobæus Eclog. lib. I, cap. 2, 3 pag. 8 seqq. ed. Heer. Posui : [a] καὶ κοσμήτειρα ἁ δύναμις ἁ τᾶς δεκάδος; codd. κοινωνοῦσα... δύναμις καὶ τᾶς δεκάδος. [b] ποττὰν ψυχὰν; libri κατὰ ψυχήν. [c] ἐμπιτνεῖ cum Jacobsio; codices ἐπιπνεῖ. [d] τᾷ φύσι αὐτῶ cum Bœckhio; libri τᾷ φύσει τὸ ψεῦδος. Cum hoc fragmento operæ pretium est plures veterum locos contendere. Nos paucos tantum citabimus. Auctor Theolog. arithm. p. 61 : πίστις γε μὴν (ἡ δεκὰς) καλεῖται, ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις οὐ παρέργως καταλαμβανομένοις περὶ τῶν ὄντων πίστιν βεβαίαν ἔχομεν· διόπερ καὶ μνήμη λέγοιτ' ἂν ἐκ τῶν αὐτῶν, ἀφ' ὧν καὶ μονὰς μνημοσύνη ὠνομάσθη. Theon Smyrnæus Plat. Mathem. 49 : ἡ μέντοι δεκὰς πάντα περαίνει τὸν ἀριθμόν, ἐμπεριέχουσα πᾶσαν φύσιν ἐντὸς αὑτῆς ἀρτίου τε καὶ περιττοῦ, κινουμένου τε καὶ ἀκινήτου, ἀγαθοῦ τε καὶ κακοῦ· περὶ ἧς καὶ Ἀρχύτας ἐν τῷ περὶ τῆς δεκάδος καὶ Φιλόλαος ἐν τῷ περὶ φύσεως πολλὰ διεξίασιν. Lucianus pro lapsu inter salutandum 5 vol. I, p. 731 ed. Reitz.: εἰσὶ δὲ οἳ καὶ τὴν τετρακτὺν τὸν μέγιστον ὅρκον αὐτῶν (τῶν Πυθαγορείων), ἣ τὸν ἐντελῆ αὐτοῖς ἀριθμὸν ἀποτελεῖ, ἤδη καὶ ὑγείας ἀρχὴν ἐκάλεσαν· ὧν καὶ Φιλόλαός ἐστιν.)

---

chrioribus animalibus et plantis, quum et quindecies præstantiora ibi degant animalia, nihil excrementi reddentia, et diei tanta sit longitudo.

12. Philolaus numerum æternæ mundanorum permansionis præstantissimam ac sponte genitam copulam esse ait.

13. Spectandi sunt numerorum effectus et natura e vi quæ in decade reperitur : est enim denarii numeri vis ingens atque omnia perficiens et absolvens, divinæque ac cœlestis et humanæ vitæ simul origo simul dux et moderatrix. Sine ea autem omnia infinita, incerta atque obscura. Quippe numeri natura qua lex est qua dux et magistra rei cujuslibet dubiæ atque omnibus ignotæ. Neque enim cuiquam ulla res vel secum vel cum aliis comparata perspicua foret, nisi numerus ejusque natura esset. Nunc autem hic mensuræ instar cuncta animo accommodata sensui subjicit ac sibi invicem familiaria reddit, singula velut corpore vestiens rerumque tum infinitarum tum finitarum inter se comparationes a rebus ipsis sejungens. Animadvertere autem licet numerorum vim et naturam ubique non modo in rebus divinis ac cœlestibus, sed in omnibus quoque operibus mortalibus omnibusque rationibus et artibus, ut et in musica. Numerorum autem ut harmoniæ natura nihil falsi admittit, quippe quam attingere illud non possit. Falsum enim et invidia infinitæ tantum atque insipientis et dementis naturæ sunt. In numerum vero error non cadit, quoniam naturæ ejus repugnat; veritas vero propria est atque insita numerorum generi.

14. Ἓν ἀρχὰ πάντων.

(Iamblichus ad Nicomach. Arithm. p. 109 : ἐν δὲ τῇ τῶν ἑτερομηκῶν συστάσει, εἴτε γνωμονικῶς δέοι περιτιθέναι τινὶ τὴν ἐπισωρείαν τῶν ἀρτίων, ἡ δυὰς μόνη φανήσεται ἀναδεχομένη καὶ ὑπομένουσα τὴν περίθεσιν, ἄνευ δὲ αὐτῆς οὐ φύσονται ἑτερομήκεις, εἴτε κατὰ τὸν αὐτὸν δίαυλον οἱ ἐφεξῆς ἀριθμοὶ συσσωρεύοιντο, ἡ μὲν μονὰς ὡς ἂν ἀρχὴ οὖσα πάντων κατὰ τὸν Φιλόλαον (οὐ γάρ, Ἓν, φησίν, ἀρχὰ πάντων;) καὶ τοῖς ἑτερομήκεσιν εἰς γένεσιν ὕσπληγγα ὁμοίως ἑαυτὴν παρέξει, οὐκέτι δὲ καὶ νύσσα ἔσται τῆς καθ' ὑποστροφὴν παλινδρομίας καὶ ἐπανόδου, ἀλλὰ τὸ τοιοῦτον ἡ δυὰς ἀντ' αὐτῆς ὑποστήσεται. Theon Plat. Math. 4 : Ἀρχύτας δὲ καὶ Φιλόλαος ἀδιαφόρως τὸ ἓν καὶ μονάδα καλοῦσι καὶ τὴν μονάδα ἕν.)

15. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Φιλόλαος ἐν τούτοις· Ἔστι γάρ, φησίν, ὁ ἀγεμὼν καὶ ἄρχων ἁπάντων θεὸς εἷς ἀεὶ ἐών, μόνιμος, ἀκίνατος, αὐτὸς αὑτῷ ὁμοῖος, ἄτερος τῶν ἄλλων.

(Philo de mundi opificio p. 24, 10 Mang. Doricas vocum formas jam Bœckhius restituit; nam vulgo hic legitur ἡγεμών, ὤν, ἀκίνητος, ὅμοιος, ἕτερος.)

16. Καὶ Φιλόλαος δὲ ὥσπερ ἐν φρουρᾷ πάντα ὑπὸ τοῦ θεοῦ περιειλῆφθαι λέγων καὶ τὸ ἕνα εἶναι καὶ τὸ ἀνωτέρω τῆς ὕλης δεικνύει.

(Athenagoras Legat. p. Christ. 6 pag. 25 ed. Oxon.)

17. Καὶ γὰρ παρὰ τοῖς Πυθαγορείοις εὑρήσομεν ἄλλας γωνίας ἄλλοις θεοῖς ἀνακειμένας, ὥσπερ καὶ ὁ Φιλόλαος πεποίηκε, τοῖς μὲν τὴν τριγωνικὴν γωνίαν, τοῖς δὲ τὴν τετραγωνικὴν ἀφιερώσας, καὶ ἄλλας ἄλλοις καὶ τὴν αὐτὴν πλείοσι θεοῖς.

(Proclus ad Euclid. Elem. I, p. 36. Illustrantur hæc verba aliis ejusdem scriptoris locis. Ait enim ibid. p. 46 : οἱ δὲ Πυθαγόρειοι τὸ μὲν τρίγωνον ἁπλῶς ἀρχὴν γενέσεως εἶναί φασι καὶ τῆς τῶν γεννητῶν εἰδοποιίας· διὸ καὶ τοὺς λόγους τοῦ φυσικοῦ καὶ τῆς τῶν στοιχείων δημιουργίας τριγωνικοὺς εἶναί φησιν ὁ Τίμαιος. Καὶ γὰρ τριχῇ διίστανται καὶ συναγωγοὶ τῶν πάντη μεριστῶν εἰσι καὶ πολυμεταβόλων, τῆς τε ἀπειρίας ἀναπίμπλανται τῆς ὑλικῆς καὶ τοὺς συνδέσμους λυτοὺς προίστανται τῶν ἐνύλων σωμάτων· ὥσπερ δὴ καὶ τρίγωνα περιέχονται μὲν ὑπὸ εὐθειῶν, γωνίας δὲ ἔχει τὰς τὸ πλῆθος τῶν γραμμῶν συναγούσας καὶ γωνίαν ἐπίκτητον αὐταῖς καὶ συναφὴν παρεχομένας. Εἰκότως ἄρα ὁ Φιλόλαος τὴν τοῦ τριγώνου γωνίαν τέτταρσιν ἀνέθηκε θεοῖς, Κρόνῳ καὶ Ἅιδῃ καὶ Ἄρει καὶ Διονύσῳ, πᾶσαν τὴν τετραμερῆ τῶν στοιχείων διακόσμησιν τὴν ἄνωθεν ἀπὸ τοῦ οὐρανοῦ καθήκουσαν, εἴτε ἀπὸ τῶν τεττάρων τοῦ ζῳδιακοῦ τμημάτων, ἐν τούτοις περιλαβών. Ὁ μὲν γὰρ Κρόνος πᾶσαν ὑφίστησι τὴν ὑγρὰν καὶ ψυχρὰν οὐσίαν, ὁ δὲ Ἄρης πᾶσαν τὴν ἔκπυρον φύσιν, καὶ ὁ μὲν Ἅιδης τὴν χθονίαν ὅλην συνέχει ζωήν, ὁ δὲ Διόνυσος τὴν ὑγρὰν καὶ θερμὴν ἐπιτροπεύει γένεσιν, ἧς καὶ ὁ οἶνος σύμβολος ὑγρὸς ὢν καὶ θερμός· πάντες δὲ οὗτοι μὲν τὰς εἰς τὰ δεύτερα ποιήσεις διεστήκασι, ἥνωνται δὲ ἀλλήλοις· διότι κατὰ μίαν αὐτῶν γωνίαν συνάγει τὴν ἕνωσιν ὁ Φιλόλαος. Porro pag. 48 : δοκεῖ δὲ καὶ τοῖς Πυθαγορείοις τοῦτο (τὸ τετράγωνον) διαφερόντως τῶν τετραπλεύρων εἰκόνα φέρειν θείας οὐσίας· τήν τε γὰρ ἄχραντον τάξιν διὰ τούτου μάλιστα σημαίνουσιν· ἥ τε γὰρ ὀρθότης τὸ ἄκλιτον καὶ ἡ ἰσότης τὴν μόνιμον δύναμιν ἀπομιμεῖται· κίνησις γὰρ ἀνισότητος ἔκγονος, στάσις δὲ ἰσότητος· οἱ (leg. ἡ) τοίνυν τῆς στερεᾶς ἱδρύσεως αἴτιοι (leg. αἰτία) τῆς (add. τε) ὅλης καὶ τῆς ἀχράντου καὶ ἀκλίτου δυνάμεως εἰκότως διὰ τοῦ τετραγώνου σχήματος ὡς ἀπ' εἰκόνος ἐμφαίνεται. Καὶ πρὸς τούτου (leg. τούτοις) ὁ Φιλόλαος κατὰ τὴν ἄλλην ἐπιβολὴν τὴν τοῦ τετραγώνου γωνίαν Ῥέας καὶ Δήμητρος καὶ Ἑστίας ἀποκαλεῖ. διότι γὰρ τὴν γῆν τὸ τετράγωνον ὑφίστησι καὶ στοιχεῖόν ἐστιν αὐτῆς προσεχές, ὡς παρὰ τοῦ Τιμαίου μεμαθήκαμεν, ἀπὸ δὲ πασῶν τούτων τῶν θεῶν ἀπορρύσεις ἡ γῆ δέχεται καὶ γονίμους δυνάμεις, εἰκότως τὴν τοῦ τετραγώνου γωνίαν ἀνῆκε ταύταις ταῖς ζωογόνοις θεαῖς. Καὶ γὰρ Ἑστίαν καλοῦσι τὴν γῆν καὶ τὴν Δήμητράν τινες, καὶ τῆς ὅλης Ῥέας αὐτὴν μετέχειν φασί, καὶ πάντα ἐστὶν ἐν αὐτῇ τὰ γεννητὰ αἴτια. Χθονίως τοίνυν μίαν ἕνωσιν τῶν θείων τούτων γενῶν τὴν τετραγωνικὴν φησι γωνίαν περιέχειν. Deinde paucis interjectis sic pergit : δεῖ δὲ μὴ λανθάνειν ὅπως τὴν μὲν τριγωνικὴν γωνίαν ὁ Φιλόλαος τέτταρσιν ἀνῆκε θεοῖς, τὴν δὲ τετραγωνικὴν τρισίν, ἐνδεικνύμενος αὐτῶν τὴν διάλληλον χώρησιν καὶ τὴν ἐν πᾶσι πάντων κοινωνίαν τῶν τε περισσῶν ἐν τοῖς ἀρτίοις καὶ τῶν ἀρτίων ἐν τοῖς περισσοῖς. Τριὰς οὖν καὶ τετραδικὴ τῶν τε γονίμων μετέχουσαι καὶ ποιοτικῶν (leg. ποιητικῶν) ἀγαθῶν τὴν ὅλην συνέχουσι τῶν γεννητῶν διακόσμησιν· ἀφ' ὧν ἡ δυωδεκὰς εἰς μίαν μονάδα τὴν τοῦ Διὸς ἀρχὴν ἀνατείνεται. Τὴν γὰρ τοῦ δυωδεκαγώνου γωνίαν Διὸς εἶναί φησιν ὁ Φιλόλαος, ὡς κατὰ μίαν

---

14. Unum omnium rerum principium est.

15. Quæ autem a me dicuntur testimonio suo comprobat Philolaus in hisce : Est enim, inquit, dux et moderator omnium deus qui unus semper est, stabilis, immotus, ipse sui similis, diversus a reliquis.

16. Quin etiam Philolaus rerum universitatem a deo tanquam custodia septam teneri dicens illum unum esse e materia superiorem ostendit.

17. Etenim apud Pythagoreos reperiemus alios angulos aliis diis consecratos, quemadmodum etiam Philolaus fecit, ut qui his quidem trianguli, illis vero quadrati angulum dicarit, et alios aliis eundemque pluribus diis.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἕνωσιν τοῦ Διὸς ὅλου συνέχοντος τὸν τῆς δυωδεκάδος ἀριθμόν. Conf. Plutarch. de Iside et Osiride cap. 30 et 76.)

18. Φιλόλαος δὲ μετὰ τὸ μαθηματικὸν μέγεθος τριχῇ διαστὰν ἐν τετράδι, ποιότητα καὶ χρῶσιν ἐπιδειξαμένης τῆς φύσεως ἐν πεντάδι, ψύχωσιν δὲ ἐν ἑξάδι, νοῦν δὲ καὶ ὑγείαν καὶ τὸ ὑπ' αὐτοῦ λεγόμενον φῶς ἐν ἑβδομάδι, μετὰ ταῦτά φησιν ἔρωτα καὶ φιλίαν καὶ μῆτιν καὶ ἐπίνοιαν ἐπ' ὀγδοάδι συμβῆναι τοῖς οὖσιν.

(Auctor Theolog. arithm. p. 56. Conf. Camerar. ad Nicomach. arithm. p. 54.)

19. Καὶ τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ, ὥσπερ καὶ Φιλόλαος ἐν τῷ περὶ φύσεως λέγει, ἐγκέφαλος, καρδία, ὀμφαλός, αἰδοῖον· κεφαλὰ μὲν νόῳ, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀμφαλὸς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τῷ πρώτῳ, αἰδοῖον δὲ σπέρματος καταβολᾶς τε καὶ γεννάσιος· ἐγκέφαλος δὲ τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζῴω, ὀμφαλὸς δὲ τὰν φυτῷ, αἰδοῖον δὲ τὰν ξυναπάντων [ἐμφαίνει].

(Auctor Theolog. arithm. pag. 22. Patet verba κεφαλὰ μὲν κτλ. usque ad ξυναπάντων esse ipsius Philolai, in quibus pro νόου, ψυχῆς, τοῦ πρώτου, γεννήσιος, ἀνθρώπων, φυτοῦ cum Bœckhio posui νόῳ, ψυχᾶς, τῷ πρώτῳ, γεννάσιος, ἀνθρώπῳ, φυτῷ et καὶ ante καταβολᾶς delevi. Præterea in fine addidi verbum ἐμφαίνει. Sequentia autem πάντα γὰρ θάλλουσι καὶ βλαστάνουσι, quum non Philolao, sed Iamblicho sive Theolog. scriptori tribuenda viderentur, omittenda putavi.)

20. Καὶ τὰ ἐν τᾷ σφαίρᾳ σώματα πέντε ἐντὶ [τὰ ἐν τᾷ σφαίρᾳ] πῦρ, ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὁλκὸς αἰθήρ, πέμπτον.

(Stob. Eclog. lib. I cap. 2, 3 pag. 10 ed Heer. Verba τὰ ἐν τᾷ σφαίρᾳ librarii errore bis scripta Heerenio præeunte uncis inclusi. Extrema vulgo in codicibus sic scribuntur: καὶ ὁ (al. ἁ) τᾶς σφαίρας ὁλκάς, πέμπτον, quæ quum quintum elementum sine dubio sit æther (cf. Theol. arithm. pag. 18) sic mutavi et supplevi, ut ὁλκὸς αἰθήρ, πέμπτον reponerem.)

21. Φιλόλαος ἄφθαρτον τὸν κόσμον. Λέγει γοῦν οὕτως ἐν τῷ περὶ ψυχῆς· Παρὸ καὶ ἄφθαρτος καὶ ἀκαταπόνατος διαμένει τὸν ἄπειρον αἰῶνα· οὔτε γὰρ ἔντοσθεν ἄλλα τις αἰτία δυναμικωτέρα αὐτᾶς εὑρεθήσεται οὔτ' ἔκτοσθεν, φθεῖραι αὐτὸν δυναμένα, ἀλλ' ἧς[a] ὅδε ὁ κόσμος ἐξ αἰῶνος, καὶ ἐς αἰῶνα διαμένει, εἷς ὑπὸ ἑνὸς τῷ ξυγγενέος[b] καὶ κρατίστω καὶ ἀνυπερθέτω κυβερνώμενος. Ἔχει δὲ καὶ τὰν ἀρχὰν τᾶς κινάσιός τε καὶ μεταβολᾶς ὁ κόσμος εἷς ἐὼν καὶ συνεχὴς καὶ φύσι[c] διαπνεόμενος καὶ περιαγόμενος ἐξ ἀρχαίω.[d] Καὶ τὸ μὲν ἀμετάβλατον αὐτοῦ, τὸ δὲ μεταβάλλον ἐστί· καὶ τὸ μὲν ἀμετάβολον ἀπὸ τᾶς τὸ ὅλον περιεχούσας ψυχᾶς μέχρι σελάνας περαιοῦται, τὸ δὲ μεταβάλλον ἀπὸ τᾶς σελάνας μέχρι τᾶς γᾶς. Ἐπεὶ δέ γα καὶ τὸ κινέον ἐξ αἰῶνος ἐς αἰῶνα περιπολεῖ, τὸ δὲ κινεόμενον ὡς τὸ κινέον ἄγει, οὕτω διατίθεται[e] ἀνάγκα τὸ μὲν ἀεικίνατον, τὸ δὲ ἀειπαθὲς ἦμεν, καὶ τὸ μὲν νόῳ καὶ ψυχᾶς ἀνάκτορον[f] πᾶν, τὸ δὲ γενέσιος καὶ μεταβολᾶς· καὶ τὸ μὲν πρᾶτον τᾷ δυνάμι καὶ ὑπερέχον, τὸ δ' ὕστερον καὶ καθυπερεχόμενον· τὸ δ' ἐξ ἀμφοτέρων τούτων, τῷ μὲν ἀεὶ θέοντος θείω, τῷ δὲ ἀεὶ μεταβάλλοντος γενναττῷ κόσμος. Διὸ καὶ καλῶς ἄν τις λέγοι[g] κόσμον ἦμεν ἐνέργειαν ἀΐδιον θεῶ τε καὶ γενέσιος κατὰ συνακολουθίαν τᾶς μεταβλατικᾶς φύσιος. Καὶ ὁ μὲν ἐς ἀεὶ διαμένει κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχων, τὰ δὲ καὶ

18. Philolaus post magnitudinem mathematicæ propriam eamque tripliciter in quaternario numero porrectam, qualitatem et coloratam speciem præ se ferente natura in quinario, animationem in senario, mentem et sanitatem et quod ab eo dicitur lumen in septenario, post hæc ait amorem et amicitiam et prudentiam et sollertiam in octonario numero rebus contingere.

19. Quatuor sunt animantis ratione prædiți principia, quemadmodum et Philolaus in libro de rerum natura dicit, cerebrum, cor, umbilicus, veretrum; caput quidem mentis, cor autem animæ et sensus, umbilicus vero radicum actarum et generatæ primæ partis, veretrum denique seminis emissi et procreationis. De reliquo cerebrum hominis, cor amantis, umbilicus plantæ, veretrum omnium simul principium ostendit.

20. Quinque in sphæra corpora reperiuntur, ignis, aqua, terra et aer, quintum autem æther sphæram ambiens et quasi trahens.

21. Philolaus negat interire mundum. Sic enim ait in libro de anima: Quapropter etiam interitus expers nullo-que labore confectus perpetuo durat, siquidem nec intra ipsum causa potentior quam illa [anima] reperietur, neque extra quidquam, quod eum perdere possit, sed fuit hic mundus ex æterno tempore atque in æternum permanet, unus ab uno cognato et præstantissimo et inexsuperabili gubernandus. Habet motus quoque ac mutationis principium unus et continuus mundus, naturæ beneficio perflatus et ex omni æternitate circumactus. Atque una quidem pars ejus immutabilis est, altera mutabilis, e quibus prior ab anima rerum universitatem cingente usque ad lunam pertinet, posterior a luna usque ad terram. Et quoniam res movens quidem ex æterno tempore in æternum ultro citroque commeat, res mota autem ita afficitur ut a movente aufertur: necesse est alteram semper mobilem, alteram semper patibilem esse, atque illam quidem totam mentis et animæ, hanc generationis e mutationis esse sedem, illamque vi priorem et superiorem, hanc posteriorem et inferiorem. Ex utraque vero portione, altera divina quæ semper currit, altera generati quæ semper mutatur, mundus compositus est. Quocirc

γινόμενα καὶ φθειρόμενα πολλά· καὶ τὰ μὲν φθαρέντα κατὰ φύσεις καὶ μορφὰς σώζεται, τᾷ γονᾷ πάλιν τὰν αὐτὰν μορφὰν ἀποκαθιστάντα τῷ γεννάσαντι πατέρι καὶ δαμιουργῷ.

(Stobæus Eclog. lib. I cap. XXI, 2 pag. 418 seqq. ed Heer. Scripsi : [a] ἧς; codd. ἦν. [b] ξυγγενέος; libri συγγενέω. [c] φύσι; libri φύσει. [d] ἀρχιδίω; codd. ἀρχιδίου. [e] διατίθεται cum Heerenio; libri διατίθεσθαι. [f] ἀνάκτορον; libri ἀνάκωμα. [g] ἄν τις λέγοι; libri ἔχειν ἔλεγε. Corrupta hic quædam esse et interpolata a librariis recte viri docti dixerunt. Neque tamen propterea hoc fragmentum Philolao indignum ac suppositium judicaverim. Cæterum Philolao cum Platone communia sunt vocabula ἀεικίνητος et δημιουργός, cum Ocello (cf. cap. I, 11, item cap. II, 2 et cap. I, 15) δυναμικός, ἀειπαθής, ἀμετάβλατος atque alia quæ commemorare non vacat, cum Aristotele ἐνέργεια.)

22. Κατὰ τί δὴ οὖν ποτε οὔ φασι θεμιτὸν εἶναι αὐτὸν ἑαυτὸν ἀποκτιννύναι, ὦ Σώκρατες; ἤδη γὰρ ἔγωγε, ὅπερ νῦν δὴ σὺ ἤρου, καὶ Φιλολάου ἤκουσα, ὅτε παρ' ἡμῖν διητᾶτο, ἤδη δὲ καὶ ἄλλων τινῶν, ὡς οὐ δέοι τοῦτο ποιεῖν· σαφὲς δὲ περὶ αὐτῶν οὐδενὸς πώποτε οὐδὲν ἀκήκοα.

(Plat. Phæd. p. 61 E. Ad quem locum Olympiodorus pag. 130 ed. Wyttenbach. hæc annotavit : ἔλεγε δὲ (Φιλόλαος) καὶ ἄλλως μὴ ἐξάγειν ἑαυτόν, διότι Πυθαγόρειον παράγγελμα μὴ ἀποτιθέναι ἀλλὰ συνεπιτιθέναι βάρη, τουτέστι συμπράττειν τῇ ζωῇ, οὐκ ἀντιπράττειν. Cicero de Senect. cap. 20 : Vetat Pythagoras injussu imperatoris, id est dei, de præsidio et statione vitæ decedere.)

23. Ἄξιον δὲ καὶ τῆς Φιλολάου λέξεως μνημονεῦσαι· λέγει δὲ ὁ Πυθαγόρειος ὧδε· « Μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντιες, ὡς διά τινας τιμωρίας ἃ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σάματι τούτῳ τέθαπται. »

(Clemens Strom. III, p. 433 A ed. Sylb. et Theodoret. Græc. Aff. Cur. V, p. 821 ed. Schulz. Similiter Euxitheus Pythagoreus, cujus verba Clearchus Peripateticus apud Athen. IV, pag. 157 C servavit : Εὐξίθεος ὁ Πυθαγόρειος, ᾧ Νίκιον, ὥς φησι Κλέαρχος ὁ Περιπατητικὸς ἐν δευτέρῳ Βίων, ἔλεγεν ἐνδεδέσθαι τῷ σώματι καὶ τῷ τῇδε βίῳ τὰς ἁπάντων ψυχὰς τιμωρίας χάριν· καὶ διειπασθαι τὸν θεόν, ὡς εἰ μὴ μενοῦσιν ἐπὶ τούτοις, ἕως ἂν ἑκὼν αὐτοὺς λύσῃ, πλέοσι καὶ μείζοσιν ἐμπεσοῦνται τότε λύμαις· διὸ πάντας εὐλαβουμένους τὴν τῶν κυρίων ἀνάτασιν φοβεῖσθαι τοῦ ζῆν ἑκόντας ἐκβῆναι, μόνον τε τὸν ἐν τῷ γήρᾳ θάνατον ἀσπασίως προσίεσθαι, πεπεισμένους τὴν ἀπόλυσιν τῆς ψυχῆς μετὰ τῆς τῶν κυρίων γίγνεσθαι γνώμης. Conf. Plat. Gorg. pag. 493 A.)

24. Διὸ καὶ τοὺς ἐνθουσιῶντας καὶ προλέγοντας, καίπερ διανοίας ἔργον ποιοῦντας, ὅμως οὐ φαμεν ἐφ' αὑτοῖς εἶναι, οὔτ' εἰπεῖν ἃ εἶπον, οὔτε πρᾶξαι ἃ ἔπραξαν. Ἀλλὰ μὴν οὐδὲ δι' ἐπιθυμίαν· ὥστε καὶ διάνοιαί τινες καὶ πάθη οὐκ ἐφ' ἡμῖν εἰσιν, ἢ πράξεις αἱ κατὰ τὰς τοιαύτας διανοίας καὶ λογισμούς, ἀλλ' ὥσπερ Φιλόλαος ἔφη εἶναί τινας λόγους κρείττους ἡμῶν.

(Aristoteles Ethic. Eudem. II, 8 pag. 1225 A ed. Bekker. Philolai sententiam expressit etiam Plato Gorg. 492 E : οὐ γάρ τοι θαυμάζοιμ' ἄν, εἰ Εὐριπίδης ἀληθῆ ἐν τοῖσδε λέγει, λέγων, Τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν; καὶ ἡμεῖς τῷ ὄντι ἴσως τέθναμεν· ὅπερ ἤδη του ἔγωγε καὶ ἤκουσα τῶν σοφῶν, ὡς νῦν ἡμεῖς τέθναμεν, καὶ τὸ μὲν σῶμά ἐστιν ἡμῖν σῆμα, τῆς δὲ ψυχῆς τοῦτο, ἐν ᾧ αἱ ἐπιθυμίαι εἰσί, τυγχάνει ὂν οἷον ἀναπείθεσθαι καὶ μεταπίπτειν ἄνω καὶ κάτω· καὶ τοῦτο ἄρα τις μυθολογῶν κομψὸς ἀνήρ, ἴσως Σικελός τις ἢ Ἰταλικός, παράγων τῷ ὀνόματι διὰ τὸ πιθανόν τε καὶ πειστικὸν ὠνόμασε πίθον, τοὺς δὲ ἀνοήτους ἀμυήτους· τῶν δ' ἀμυήτων τοῦτο τῆς ψυχῆς, οὗ αἱ ἐπιθυμίαι εἰσί, τὸ ἀκόλαστον αὐτοῦ καὶ οὐ στεγανὸν ὡς τετρημένος εἴη πίθος, διὰ τὴν ἀπληστίαν ἀπεικάσας. Τοὐναντίον δὴ οὗτός σοι, ὦ Καλλίκλεις, ἐνδείκνυται, ὡς τῶν ἐν ᾅδου, τὸ ἀειδὲς δὴ λέγων, οὗτοι ἀθλιώτατοι ἂν εἶεν οἱ ἀμύητοι καὶ φοροῖεν εἰς τὸν τετρημένον πίθον ὕδωρ ἑτέρῳ τοιούτῳ τετρημένῳ κοσκίνῳ. Τὸ δὲ κόσκινον ἄρα λέγει,

---

recte dixerit aliquis mundum esse æternam dei et generationis efficiam mutabili naturæ congruentem. Atque ille quidem eodem loco manens eodem semper pacto se habet, hæc autem rerum multitudo modo oritur modo occidit : sed quæ intereunt, eorum tamen naturæ formæque servantur, quando sobole relicta similem patri atque auctori formam restituunt.

22. Cur igitur, o Socrates, nefas esse ajunt, mortem sibi consciscere? jam enim, quod modo quærebas, ego simul e Philolao audivi, quando apud nos commorabatur, simul ex aliis nonnullis, non decere id facere, sed nihil certi unquam hac de re a quoquam accepi.

23. Est vero etiam Philolai oratio memoratu digna; sic autem dicit Pythagoreus : « Testantur et veteres theologi et vates, supplicii gratia animam cum corpore conjunctam, hoc tanquam sepulcro conditam esse. »

24. Quamobrem fanaticos et futura prædicentes, quamvis intellectus opus faciant, tamen negamus tantum valere, ut aut suo Marte dicant quæ dixerunt, aut faciant quæ fecerunt. Sed ne per cupiditatem quidem. Itaque cogitationes quædam et affectiones vel actiones talibus cogitationibus et rationibus consentaneæ non sunt in nostra potestate, sed ut Philolaus ait quædam rationes nobis sunt potentiores.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὡς ἔφη ὁ πρὸς ἐμὲ λέγων, τὴν ψυχὴν εἶναι, τὴν δὲ ψυχὴν κοσκίνῳ ἀπείκασε τὴν τῶν ἀνοήτων ὡς τετρημένην, ἅτε οὐ δυναμένην στέγειν, δι' ἀπιστίαν τε καὶ λήθην.)

25. Φύσει καὶ οὐ νόμῳ, ὥς φησί που Φιλόλαος.

(Nicom. Arithm. I, pag. 25 : ἑτέρου γὰρ καιροῦ διερευνᾶν ἐπιπλέον, πῶς καὶ τετραγωνισθέντος ἀπὸ τῆς στοιχηδὸν ἐκθέσεως τοῦ ἀριθμοῦ οὐκ ἐλάττονα πιθανὰ ἐπισυμβαίνει φύσει κτλ. Apparet extrema tantum esse Philolai, non item præcedentia. Cæteroquin ut hic φύσει opponitur νόμῳ, ita Democritus ἐτεῇ et νόμῳ contraria esse vult. Vid. fragm. phys. 1.)

26. Ὥστε ὁ μὲν Ἀναξαγόρας κοινῶς τὸν λόγον ἔφη κριτήριον εἶναι· οἱ δὲ Πυθαγορικοὶ τὸν λόγον μέν φασιν, οὐ κοινῶς δέ, τὸν δὲ ἀπὸ τῶν μαθημάτων περιγινόμενον, καθάπερ ἔλεγε καὶ Φιλόλαος· θεωρητικόν τε ὄντα τῆς τῶν ὅλων φύσεως ἔχειν τινὰ συγγένειαν πρὸς ταύτην, ἐπείπερ ὑπὸ τοῦ ὁμοίου τὸ ὅμοιον καταλαμβάνεσθαι πέφυκεν.

(Sextus Empiricus adv. Math. VII, 92 p. 38[illegible] ed. Fabric.)

---

25. Natura ac non hominum instituto, ut ait alicubi Philolaus.

26. Quamobrem Anaxagoras omnino rationem rerum arbitram esse ait; Pythagorici vero rationem arbitram quidem appellant, non omnino tamen, sed eam quæ literarum disciplinis contingat, quemadmodum et Philolaus dicebat: eamque in contemplatione naturæ hujus universæ defixam habere quandam cum ea cognationem, quoniam simili simile intelligi soleat.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΗΘΙΚΑ

ΤΩΝ ΠΥΘΑΓΟΡΕΙΩΝ ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

MORALIA

PYTHAGOREORUM FRAGMENTA.

ΙΠΠΟΔΑΜΟΥ ΘΟΥΡΙΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΕΥΔΑΙΜΟΝΙΑΣ.

α'. Τῶν ζώων τὰ μέν ἐντι δεκτικὰ τᾶς εὐδαιμονίας, τὰ δὲ ἄδεκτα. Καὶ δεκτικὰ μὲν ὅσα λόγον ἔχει· ἃ μὲν γὰρ εὐδαιμονία οὐκ ἄτερθεν ἀρετᾶς, ἃ δὲ ἀρετὰ ἐγγίνεται τῷ λόγον ἔχοντι πρᾶτον· ἄδεκτα δὲ [ὅσα λόγον οὐκ ἔχει· οὔτε γὰρ τὸ ὄψιος ἄμοιρον δέχεται τὸ τᾶς] ὄψιος ἔργον ἢ τὰν τᾶς ὄψιος ἀρετάν, οὔτε τὸ λόγω ἄμοιρον τὸ τῶ λόγον ἔχοντος ἔργον ἢ τὰν τῶ λόγον ἔχοντος ἀρετάν· ἃ δ' εὐδαιμονία καὶ ἀρετὰ τῶ λόγον ἔχοντος τὰ μὲν ὡς ἔργον τὰ δ' ὡς τέχνα τίς ἐντι. Τῶν δὴ λόγον ἐχόντων ζώων τὰ μέν ἐντι αὐτοτελέα, ὅσα δι' αὑτὰ [a] τέλεά ἐντι καὶ οὐδενὸς ἐπιδεῆ τῶν ἔξωθεν οὔτε ποτὶ τὸ ἦμεν οὔτε ποτὶ τὸ καλῶς ἦμεν· τοιοῦτος δέ κα εἴη ὁ θεός. οὐκ αὐτοτελέα δὲ ὅσα μὴ δι' αὑτὰ [b] τέλεά ἐντι, ποτιδέεται δὲ καὶ τᾶς ἔξωθεν αἰτίας· τοιοῦτος δέ κα εἴη ὁ ἄνθρωπος. Τῶν δὴ οὐκ αὐτοτελέων τὰ μέν ἐντι τέλεα τὰ δ' οὐ τέλεα. καὶ τέλεα μὲν ὅσα καὶ παρὰ τὰν αὑτῶν αἰτίαν καὶ παρὰ τὰς ἔξωθεν αἰτίας γίνονται. καὶ παρὰ μὲν τὰν αὑτῶν, τῷ καὶ φύσιν ἀγαθὰν καὶ προαίρεσιν ποτενέγκασθαι· παρὰ δὲ τὰς ἔξωθεν, τῷ εὐνομίαν καὶ ἐπιστάτας ἀγαθὼς λαβεῖν· [τοιοῦτος δέ κα εἴη ὁ καλοκαγαθὸς ἄνθρωπος]. οὐ τέλεα δὲ τὰ ἤτοι μηδετέρω τούτων κοινωνάσαντα, ἢ τινὸς αὐτῶν, ἢ τὰ καθόλω φαῦλα ὑπάρχοντα κατόν γα τρόπον τᾶς ψυχᾶς· τοιοῦτος δέ κα εἴη θάτερος ἄνθρωπος. Τῶν δὲ τελήων ἀνθρώπων δοιαὶ διαφοραί· τοὶ μὲν γάρ ἐντιν αὐτῶν καττὰν φύσιν τέλεοι τοὶ δὲ καττὸν βίον· καὶ καττὰν φύσιν μὲν μόνοι τοὶ ἀγαθοί· οὗτοι δέ κ' εἶεν τοὶ ἔχοντες τὰν ἀρετάν· ἃ γὰρ ἀρετὰ τᾶς ἑκάστω φύσιος καὶ ἀκρότας καὶ τελεότας ἐντί· ἃ μὲν τῶ ὀφθαλμῶ τᾶς τῶ ὀφθαλμῶ φύσιος ἀκρότας καὶ τελεότας, ἃ δὲ τῶ ἀνθρώπω τᾶς τῶ ἀνθρώπω φύσιος καὶ ἀκρότας καὶ τελεότας. καττὸν βίον δὲ τέλεοι τοὶ μὴ μόνον ἀγαθοὶ ὄντες ἀλλὰ καὶ εὐδαίμονες. ἃ μὲν γὰρ εὐδαιμονία τελεότας ἐντὶ βίω ἀνθρωπίνω· ὁ δὲ βίος ὁ ἀνθρώπινος σύσταμα τᾶν πραξίων, ἃ δ' εὐδαιμονία ἃ συμπεραίνουσα τὰς πράξιας. συμπεραίνει δὲ τὰς πράξιας ἀρετὰ καὶ τύχα, ἃ μὲν [c] ἀρετὰ καττὰν χρῆσιν, ἃ δ' [d] εὐτυχία καττὰν κατόρθωσιν. ὁ μὲν ὦν θεὸς οὔτε μαθὼν παρά τινος τὰν ἀρετὰν ἀγαθὸς ἐγένετο οὔτε συναγωνιξαμένας [e] αὐτῷ τᾶς τύχας εὐδαίμων· φύσι γὰρ ἦν ἀγαθὸς καὶ φύσι εὐδαίμων, καὶ αἰεὶ ἦν καὶ ἐσεῖται καὶ οὐδέποκα ἐπιλείψει τοιοῦτος ἐών, ἄφθαρτος ἐὼν καὶ φύσι ἀγαθός. ὁ δὲ ἄνθρωπος οὔτε [τᾷ φύσι ἀγαθὸς οὔτε] τᾷ φύσι εὐδαίμων, ἀλλὰ μαθήσιος καὶ προνοίας ποτιδέεται, ποτὶ μὲν τὸ γενέσθαι ἀγαθὸς τᾶς ἀρετᾶς, ποτὶ δὲ τὸ γενέσθαι εὐδαίμων τᾶς εὐτυχίας. καὶ διὰ τοῦτο ἐκ δύο τούτων ἃ ἀνθρωπίνα εὐδαιμονία συγκεφαλαιοῦται, ἐπαίνω τε καὶ μακαρισμῶ· ἐπαίνω μὲν τῶ ἐξ ἀρετᾶς, μακαρισμῶ δὲ τῶ ἐξ εὐτυχίας. τὰν μὲν ὦν ἀρετὰν ἔχει διὰ τὰν θείαν μοῖραν, τὰν δὲ εὐτύχιαν διὰ τὰν θνατάν. ἐξήρτηται δὲ τὰ μὲν θνατὰ ἀπὸ τῶν θείων καὶ τὰ ἐπὶ γᾶς ἀπὸ τῶν ὡρανίων· τὰ δὲ χερήονα ἀπὸ τῶν βελ-

HIPPODAMI THURII E LIBRO DE FELICITATE.

1. Animalia beatitudinis alia capacia sunt, alia non sunt. Capacia sunt ea quæ ratione utuntur : quandoquidem beatitudo sine virtute consistere non potest, virtus autem præcipue in eo quod ratione præditum est cernitur. Capacia beatitudinis non sunt quæ ratione carent. Etenim nec quod visu caret, visûs aut operis aut virtutis est capax, nec quod rationis est expers, ratione præditi vel opus vel virtutem potest capere. At beatitudo et virtus ratione præditi partim operis instar, partim tanquam ars quædam est. Jam ratione præditorum quædam per se sunt perfecta, nec ulla re externa, vel ut sint, vel ut bene sint, indigent. Talis sane deus fuerit. Non sunt autem per se perfecta, verum opis externæ indigent, qualis quidem sit homo. Rursus ex numero eorum, quæ non per se perficiuntur, quædam perfecta sunt, quædam imperfecta. Perfecta, quæ et suis et externis causis nituntur : suis, quod et naturam bonam et consilium rectum attulerint; externis, quod rectam legum constitutionem et bonos præfectos nacti sint : talis autem fuerit homo probus. Imperfecta sunt, quibus vel neutrum istorum vel alterutrum duntaxat contigit, vel quæ prorsus pravo sunt ingenio, quales etiam homines quidam reperiuntur. At perfectorum hominum duo discrimina exstant, siquidem eorum alii natura, alii vita perfecti sunt : natura, qui boni tantum sunt, id est virtute præditi : virtus enim uniuscujusque naturæ excellentia et perfectio est : oculi quidem virtus, oculi naturæ perfectio præstantiaque, hominis autem, humanæ naturæ perfectio est et excellentia. Vita perfecti sunt, qui non solum boni, verum etiam beati sunt. Quum enim beatitudo sit humanæ vitæ

τιόνων. καὶ διὰ τοῦτο ὁ μὲν ἑπόμενος τοῖς θείοις [ἀγαθὸς] εὐδαιμονεῖ· ὁ δὲ ἑπόμενος τοῖς θνατοῖς κακοδαιμονεῖ. τῷ μὲν γὰρ τὰν φρόνασιν ἔχοντι ἀγαθὸν εὐτυχία καὶ χρήσιμον· καὶ ἀγαθὸν μὲν διὰ τὰν γνῶσιν τᾶς χρήσιος, ὠφέλιμον δὲ διὰ τὸ συνεργὲν ταῖς πράξεισι. καλὸν ὦν, ὅκαν εὐτυχία παρῇ τῷ νῷ, ὥσπερ οὐρίῳ ἀνέμῳ θέοντα, ποττὰν ἀρετὰν ἀποβλέποντα ποιέεσθαι τὰς πράξιας, ὥσπερ καὶ τὸν κυβερνάταν ποτὶ τὰς τῶν ἄστρων κινάσιας· οὕτω γὰρ οὐ μόνον ἀκολουθήσει τῷ θεῷ, ἀλλὰ καὶ συντάξει τὸ ἀνθρώπινον ἀγαθὸν ποτὶ τὸ θεῖον. Καὶ μὰν καὶ τοῦτό γα φανερόν, ὅτι ἐκ διαθέσιος καὶ πράξιος βίος διαφέρων γίνεται· ἀνάγκα δὲ τὰν μὲν διάθεσιν ἢ σπουδαίαν ἢ φαύλαν ἦμεν, τὰν δὲ πρᾶξιν ἢ εὐδαίμονα ἢ κακοδαίμονα, καὶ σπουδαίαν μὲν τὰν ἀρετᾶς μετειληφυῖαν, φαύλαν δὲ τὰν κακίας· τὰς δὲ πράξιας εὐδαίμονας μὲν ἐν τᾷ εὐτυχίᾳ (συμπεραίνονται γὰρ ποτὶ τὸν λόγον) κακοδαίμονας δ' ἐν τᾷ ἀτυχίᾳ· ἀποτευκτικὸν γὰρ τῶ συμπεράσματος. Διόπερ οὐ μόνον μαθεῖν δεῖ τὰν ἀρετάν, ἀλλὰ καὶ κτάσασθαι καὶ χρήσασθαι αὐτᾷ, ἤτοι ἐς ἀσφάλειαν, ἢ ἐς συναύξασιν, ἢ τὸ μέγιστον, ἐς ἐπανόρθωσιν οἴκων τε καὶ πολίων. οὐ γὰρ μόνον τὰν κτᾶσιν ἔχειν δεῖ τῶν καλῶν, ἀλλὰ καὶ τὰν ὄνασιν. Ταῦτα δὲ πάντα ἐσεῖται, αἴκα πόλιος εὐνομουμένας τύχῃ ὁ ἄνθρωπος. καὶ ταῦτα μὲν ἐγώ φαμι ἦμεν τὸ ὀνομαζόμενον Ἀμαλθείας κέρας· ἐν εὐνομίᾳ γὰρ τὰ πάντα ἐντί· καὶ ἄνευ ταύτας οὔτε γεννᾶται τὸ μέγιστον τᾶς ἀνθρωπίνας φύσιος ἀγαθόν, οὔτε γενναθὲν καὶ αὐξαθὲν δύναιτό κα διαμένεν. καὶ γὰρ τὰν ἀρετὰν καὶ τὰν φορὰν ποττὰν ἀρετὰν αὐτὰ ἀμπέχει, τῷ καὶ φύσιας ἀγαθὰς γεννᾶσθαι κατ' αὐτάν, καὶ ἤθεα δὲ καὶ ἐπιταδεύματα καὶ νόμως ἦμεν τὼς ἀρίστως, ἔτι δὲ λόγως ὀρθογνώμονας, καὶ εὐσέβειαν δὲ καὶ δσιότατα ποτὶ τὰ τιμιώτατα. ὥστε τὸν μέλλοντα [f] εὐδαιμονάσειν καὶ ὀρθόπλοον ἕξειν τὸν αὑτῶ βίον, εὐνομίας ὑπαρχοίσας καὶ διαπερᾶσαι δεῖ καὶ διελθεῖν αὐτὸν εὐνομίαν καταλιπόντα. Ἅμα δὲ καὶ ἀνάγκαν ἐπεμφέρει ὁ λόγος τοῖσιν ἔμπροσθεν εἰρημένοις. ὁ γὰρ ἄνθρωπος κοινωνίας μέρος ἐντί· καὶ σὺν τούτοις ὁλόκληρος γίνεται καττὸν αὐτὸν λόγον, σὺν τῷ μὴ μόνον κοινωνέν, ἀλλὰ καὶ καλῶς κοινωνέν. Ἃ μὲν γὰρ ἐν πλείοσιν, ἀλλ' οὐκ ἐνὶ ἐνὶ πέφυκε γίγνεσθαι· ἃ δ' ἐν ἑνὶ μέν, οὐ μὰν ἔτι ἐν πλείοσιν· ἃ δὲ καὶ ἐν πλείοσι καὶ ἐν ἑνί, καὶ διὰ τοῦτο ἐν ἑνί, ὅτι καὶ ἐν πλείοσιν. ἁρμονία μὲν γὰρ καὶ συμφωνία καὶ ἀριθμὸς ἐν πλείοσιν ἐγγίγνεσθαι πέφυκεν· οὐδὲν γὰρ αὐτάρκες, ὃ τούτων τῶν μορίων ποιεῖ τὸ ὅλον. ὀξυακοΐα δὲ καὶ ὀξυδορκία καὶ ποδῶν ὠκύτας ἐν ἑνὶ μόνον· εὐδαιμονία δὲ καὶ ἀρετὰ ψυχᾶς

---

perfectio, vita quidem est actionum copia : eas autem ad finem adducit beatitudo, quod fit virtute duce ac fortuna. Et virtus quidem consideratur in ipso usu, fortuna autem in successu. Ac deus quidem nec ab alio virtutem edoctus bonus evasit, neque fortunæ beneficio felix : etenim natura tum bonus tum beatus erat, semperque et fuit et erit, nec unquam talis esse desinet, quum interire non possit ac naturali bonitate præditus sit. Homo vero nec bonus natura nec beatus est, verum disciplinam et curam requirit : videlicet ut bonus fiat virtutis, ut beatus evadat fortunæ indigens. Quocirca ex hisce duabus rebus humana beatitudo constat, laude et felicitatis prædicatione : e quibus laus virtuti, altera felicitati tribuitur. Virtutem igitur homines divino munere, fortunæ vero prosperitatem humana ratione habent. Pendent enim mortalia e divinis, terrestria e cœlestibus et deteriora e melioribus. Quamobrem [vir bonus] qui divina sequitur beatus, qui mortalia, miser erit. Nam prudentia prædito bona est prospera fortuna et utilis, bona quidem, quoniam uti scit, utilis vero, quoniam actionibus confert. Pulchrum igitur est, quando cum felicitate prudentia conjungitur, veluti secundis ventis currentem gubernatoris exemplo ad virtutem tanquam ad siderum motus respicientem actiones perficere : sic enim non solum deum sequetur, verum etiam bonum humanum ad imitationem divini instituet. Hoc quoque manifestum est ex affectionibus et ipsa actione vitæ diversitatem gigni : cæterum affectio necessario aut bona aut prava fuerit, actio autem felix vel infelix : et honesta quidem affectio est, quæ virtutis, prava quæ malitiæ particeps est : actiones vero felices quidem in prosperis rebus consistunt (ut quæ ex animi sententia eveniant), infelices contra in rebus adversis ; destituuntur enim eventu. Quapropter virtus non modo discenda, sed etiam comparanda et ad familiarum ac rerum publicarum vel securitatem vel augmentum vel etiam, quod est maximum, emendationem est adhibenda. Rerum enim præclararum non solum possessionem, verum etiam usum habere decet. Quæ quidem omnia contingent, si quis rempublicam bene constitutam nanciscatur : id quod equidem Amaltheæ quod dicitur cornu esse ajo. Etenim in recta legum constitutione sunt omnia, neque maximum humanæ naturæ bonum vel gigni sine ea vel natum et auctum permanere possit. Nam et virtutem et ejus amorem hæc ipsa complectitur, quandoquidem ejus beneficio tum bona ingenia procreantur, tum mores, studia legesque fiunt optimæ, et rationes rectæ, pietas ac religio erga ea quæ honoratissima sunt vigent. Quamobrem qui beatus futurus vitamque suam prospere acturus est, eam in bene constituta republica transigat oportet, posteris civitatem optimis legibus temperatam relinquens. Quid? quod etiam necessario, quæ ante dicta sunt, ita se habent. Quum enim homo sit societatis pars, cum illis (quibuscum conjunctus est) eadem ratione perfectus evadit, si non tantum socium, sed et bonum socium se præbeat. Quædam enim in pluribus, non in uno, alia in uno, non in pluribus cernuntur, alia et in pluribus et in uno, ideoque in uno, quoniam et in pluribus. Nam harmonia, concentus, numerus in pluribus cernun-

καὶ ἐν ἑνὶ καὶ ἐν πλείοσι, καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί, καὶ διὰ τοῦτο ἐν τῷ ἑνί, ὅτι καὶ ἐν πλείοσι· καὶ ἐν τοῖς πλείοσιν, ὅτι καὶ ἐν τῷ ὅλῳ καὶ ἐν τῷ παντί. ἅ τε γὰρ τᾶς ὅλας φύσιος διακόσμασις καὶ τὸ καθ' ἓν ἕκαστον διακεκόσμακεν, καὶ ἁ καθ' ἕκαστον δὲ διακόσμασις τὸ ὅλον καὶ τὸ πᾶν ἐκπεπλάρωκε. Τοῦτο δὲ ἀκολουθεῖ διὰ τὸ τᾷ φύσι πρότερον ἦμεν τὸ ὅλον τῶ μέρεος, ἀλλ' οὐ τὸ μέρος τῷ ὅλῳ. αἴτε γὰρ μὴ ἦν ὁ κόσμος, οὐδ' ἂν ὁ ἅλιος ἦν, οὐδ' ἁ σελάνα, οὐδ' οἱ πλάνατες ἀστέρες, οὐδ' οἱ ἀπλανέες· ὄντος δέ γα τῶ κόσμω, καὶ τούτων ἕκαστόν ἐντι. Ἴδοι δέ κα τοῦτό τις καὶ ἐπ' αὐτᾶς τᾶς τῶν ζώων φύσιος. αἴκα γὰρ μὴ ᾖ ζῷον, οὐδ' ὀφθαλμός, οὐδ' ἂν στόμα, οὐδ' ἂν ἀκοά, ὄντος δέ γα ζώω καὶ τούτων ἕκαστόν ἐντι. Ὡς δὲ ἔχει τὸ ὅλον ποττὸ [g] μέρος, οὕτω καὶ ἁ τῶ ὅλω ἀρετὰ ποττὰν [h] τῶ μέρεος. μὴ ὑπαρχοίσας γὰρ ἁρμονίας καὶ ἐπόψιος θείας περὶ τὸν κόσμον, οὐκ ἂν δύναιτο συνεῖμεν ἔτι καλῶς ἔχοντα τὰ ἐγκεκοσμαμένα· μὴ ὑπαρχοίσας δ' εὐνομίας περὶ τὰς πόλιας, οὐκ ἂν δύναιτό τις ἀγαθὸς ἢ εὐδαίμων πολίτας ἦμεν· μὴ ὑπαρχοίσας δ' ὑγιείας περὶ τὸ ζῷον, οὐκ ἂν δύναιτο ποὺς ἢ χεὶρ σθεναρά τε ἢ ὑγιεινὰ ἦμεν. ἔστι γὰρ ἁ μὲν ἁρμονία ἀρετὰ κόσμω, ἁ δ' εὐνομία ἀρετὰ πόλιος, ἁ δ' ὑγίεια καὶ ἰσχὺς ἀρετὰ σώματος. καὶ ἕκαστον δὲ τῶν ἐν αὐτοῖς μερέων συντέτακται ποτὶ τὸ ὅλον καὶ τὸ πᾶν. ὀφθαλμοί τε γὰρ ὁρῶντι ὑπὲρ τῶ παντὸς σώματος, καὶ τἄλλα δὲ μόριά τε καὶ μέρεα ὑπὲρ τῶ ὅλω καὶ τῶ παντὸς συντέτακται.

(Stobæus Flor. CIII, 26. Scripsi : [a] αὐτὰ; codd. αὐτὰ. [b] αὑτὰ; libri αὐτὰ. [c] ἁ μὲν ἀρετὰ; libri τὰ μὲν ἀρετὰ. [d] ἁ δ' εὐτυχία; libri τὰ δ' εὐτυχία. [e] συναγωνιξαμένας; codd. ἐπισυναρξαμένας. [f] τὸν μέλλοντα; codd. τῷ μέλλοντι. [g] ποττὸ; libri ποτὶ τὸ. [h] ποττὰν; codd. ποτὶ τὰν.)

β'. Φαμὶ δ' ἐγὼν ἐς μοίρας τρεῖς διεστάσθαι τὰν σύμπασαν πολιτείαν· καὶ μίαν μὲν εἶμεν μοῖραν τῶν διανοίᾳ [a] κυβερνώντων τὰ κοινά, δευτέραν δὲ τῶν δυνάμει, τρίταν δὲ τῶν ἐκπλαρώσει καὶ χοραγίᾳ τῶν ἀναγκαίων. ὀνομαίνω δὲ τὸ μὲν πρᾶτον πλᾶθος βουλευτικόν, τὸ δὲ δεύτερον ἐπίκουρον, τὸ δὲ τρίτον βάναυσον. Καὶ τὰ μὲν αὖ τῶν ἐλευθέραν βιοτὰν ἐχόντων οἰκῆα φαμὶ εἶμεν, τὸ δὲ τρίτον τῶν βιοπόνων, καὶ τὸ μὲν βουλευτικὸν ἄριστον εἶμεν, τὸ δὲ βάναυσον χερῆον, τὸ δ' ἐπίκουρον μέσον. καὶ τὸ μὲν βουλευτικὸν ἄρχεν δεῖ, τὸ δὲ βάναυσον ἄρχεσθαι, τὸ δὲ ἐπίκουρον καὶ ἄρχεν καὶ ἄρχεσθαι. τὸ μὲν γὰρ καὶ τί δεῖ πράττεν προβουλεύει, τὸ δ' ἐπίκουρον, τῷ μὲν προπολεμέν, ἄρχει τῶ βαναύσω παντὸς, τῷ δὲ προβουλεύεσθαι ἄρχεται. Τουτᾶν δὲ τᾶν μοιρᾶν ἑκάστα πάλιν ἐς τρία τέτακται. τῶ τε γὰρ βουλευτικῶ μέρεος τὸ μέν ἐστι πρόεδρον, τὸ δὲ ἀρχοντικόν, τὸ δὲ κοινοβουλευτικόν· πρόεδρον μὲν τὸ προσυνεδρεῦον καὶ τὸ προβουλευόμενον περὶ τῶν πραγμάτων καὶ ὕστερον ἐπαναφέρον ἐπὶ τὰν βουλάν· ἀρχοντικὸν δὲ τὸ ἤτοι ἄρχον ἢ γεγενημένον ἀρχοντικόν· κοινοβουλευτικὸν δὲ τὸ ἄλλο πλᾶθος τὸ παραδεχόμενον τὰ προσυνεδρευμένα καὶ ἐπιψαφιζόμενον καὶ ἐπικυροῦν τὰ ἐπὶ κρίσει. ὡς δ' ἁπλῶς εἰπέν, δεῖ τὼς μὲν προέδρως ἐπὶ τὸ κοινοβουλευ-

---

tur : quippe horum nulla pars est quæ totum efficere queat. Jam auditus et visus præstantia pedumque velocitas in uno duntaxat insunt : at beatitudo et animi virtus et in uno et in pluribus, atque in tota mundi compage et rerum universitate cernitur, ideoque in uno, quod etiam in pluribus, pariterque in pluribus, quia in tota mundi compage et rerum universitate. Namque totius naturæ constitutio singulas quoque partes ornavit, et singulorum constitutio totam mundi compagem et rerum universitatem absolvit. Hoc ita consequitur, quia totum natura prius est parte, non pars toto. Si enim mundus non esset, nec sol, nec luna, nec vel errantes vel inerrantes exstarent stellæ; mundo vero procreato, horum quoque singula cernuntur. Hoc etiam in ipsa animalium natura animadverti potest. Videlicet si non sit animal, non oculus, non os, nec aures erunt; at si sit animal, hæc quoque singula comparent. Sicut porro totum ad partem, ita etiam totius virtus ad partis virtutem se habet. Nam nisi harmonia et providentia divina mundus regeretur, non possent amplius, quæ constituta sunt, in statu suo permanere : sine recta legum in civitate constitutione nemo posset esse civis vel bonus vel beatus : sine animalis sanitate non posset nec pes nec manus roboris et bonæ valetudinis esse particeps. Est enim, ut mundi virtus harmonia, ita civitatis bona legum constitutio, et corporis sanitas ac robur. Singulæ autem in iis partes ad ipsum totum et universum referuntur. Nam et oculi pro toto corpore cernunt, et reliquæ partes totius atque universi causa constitutæ sunt.

II. Ego vero existimo universam rempublicam in tres ordines divisam esse : et unum quidem esse hominum ordinem publica negotia mentis vi gerentium, alterum virorum fortium, tertium eorum qui res necessarias explendo ac suppeditando civitati prosunt. Nomino autem primum quidem ordinem consiliarium, secundum auxiliarem, tertium operarium. Et priores duos proprios esse dicimus vitam liberam degentium, tertium vero victum labore quærentium; et consiliarium quidem optimum esse, operarium deteriorem, auxiliarem medium. Item consiliarium imperare oportet, operarium parêre, auxiliarem utrumque. Consiliarius enim quid agendum sit prius consulit : at auxiliaris, dum propugnat, totam operariam multitudinem regit; quatenus autem ei præscribuntur consilia regitur. Trium autem horum ordinum singuli rursus in tres partes dividuntur. Consiliarii enim pars quædam est præses, alia rectrix, alia senatoria vel in commune consulens · præses quidem quæ prior considit ac deliberat de

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τικὸν ἀναφέρειν, τὸ δὲ κοινοβουλευτικὸν διὰ τῶν στρατηγῶν ἐπὶ τὰν ἐκκλησίαν. ὡσαύτως δὲ καὶ τῶ ἐπικούρω καὶ τῶ δυναμικῶ μέρεος τὸ μέν ἐστιν ἀρχοντικόν, τὸ δὲ προμαχατικόν, τὸ δὲ λοιπὸν καὶ πλῆον μέρος ἀγελαῖον καὶ στρατιωτικόν. Ἀρχοντικὸν μὲν ὦν ἐστιν, ἐξ ὦν στρατοπεδάρχαι καὶ ταξιάρχαι καὶ λοχαγοὶ καὶ πρόμαχοι καθίστανται καὶ καθόλω πάντες οἱ ἀγεμονίαν ἔχοντες· προμαχατικὸν δὲ τὸ τῶν ἀνδρικωτάτων καὶ θυμικωτάτων καὶ τολματικωτάτων πᾶν γένος, ἀγελαῖον δὲ καὶ στρατιωτικὸν τὸ λοιπὸν πλᾶθος. τῶ δὲ βαναύσω καὶ βιοπονατικῶ τὸ μέν ἐστι γεωπόνον καὶ περὶ τὰν κατεργασίαν τᾶς χώρας κατασχολεύμενον, τὸ δὲ τεχνατικὸν ὄργανα καὶ ἐπιμαχανάματα τοῖς τῶ βίω πράγμασιν ἐκποριζόμενον, τὸ δὲ μεταβατικὸν καὶ ἐμπορικόν, ὃ τὰ μὲν ἐν τᾷ πόλει περιουσιάζοντα ἐπὶ τὰν ξέναν διάγεται, τὰ δὲ ἀπὸ τᾶς ξένας ἐς τὰν πόλιν. Τὰ μὲν ὦν συστάματα τᾶς πολιτικᾶς κοινωνίας διὰ τοσούτων καὶ τοιῶνδε μερέων συντέτακται· ἔπειτα δὲ περὶ ἁρμογᾶς καὶ ἑνώσιος αὐτῶν ῥητέον. ἐπεὶ δὲ πᾶσα πολιτικὰ κοινωνία λύρᾳ παντελῶς ποτέοικε, τῷ ἐξαρτύσιός τε δέεσθαι καὶ συναρμογᾶς, καὶ τὸ τελευταῖον ἐπαφᾶς τινος καὶ προσχράσιος μωσικᾶς· περὶ μὲν ὦν ἐξαρτύσιος πολιτείας, ἐκ ποίων καὶ πόσων συνέστακεν, εἴρηταί μοι καὶ ἐν τοῖς ἔμπροσθεν· περὶ δὲ συναρμογᾶς καὶ ἑνώσιος αὐτῶν πειρασοῦμαι νῦν λέγειν. Φαμὶ δὲ ἔγωγε, τρισὶ τούτοις συναρμόζεσθαι τὰν πολιτικὰν κοινωνίαν, λόγοις, ἐπιταδεύμασιν ἐθῶν, νόμοις, καὶ διὰ τριῶν τούτων παιδεύεσθαι τὸν ἄνθρωπο καὶ σπουδαιότερον γίγνεσθαι. τοὶ μὲν γὰρ λόγοι δι δάσκοντι καὶ ἐπιθυμίας ἐμποιεῦντι, προτρεπόμενο πρὸς ἀρετάν· τοὶ δὲ νόμοι, τὰ μὲν φόβοις κατέχοντες ἀπερύκοντι, τὰ δὲ τιμαῖς τε καὶ δωρεαῖς δελεάζοντες ἐκκαλέονται· τὰ δὲ ἔθεα καὶ ἐπιταδεύματα πλάσσ καὶ κηροχυτεῖ τὰν ψυχάν, φυσίωσιν ἐμποιεῦντα δι τᾶς συνεχέος ἐνεργείας. Δεῖ δὲ τὰ τρία ταῦτα σωντε τάχθαι ποτί τε τὸ καλὸν καὶ τὸ συμφέρον καὶ τὸ δί καιον, καὶ ἐν ἑκάστω αὐτῶν, εἰ μὲν δυνατόν, στοχά ζεσθαι πάντων· εἰ δὲ μή γα, δυοῖν ἢ ἑνός, ὥστ' εἶμε καὶ τὸν λόγον καλὸν καὶ δίκαιον καὶ συμφέροντα, κα τὸ ἔθος καὶ τὸν νόμον· προτιμᾶσθαι δὲ πρᾶτον τ καλόν, δεύτερον δὲ τὸ δίκαιον, τρίτον δὲ τὸ συμφέρον· τὸ καθόλω δὲ πειρᾶσθαι διὰ τούτων ὡς ὅτι μάλιστα ποιεῖν τὰν πόλιν, ὅπως ὁμόλογος ᾖ [b] καὶ σύμφωνο τοῖς αὐτᾶς μέρεσι, ἀλλὰ μὴ στασιάζουσα καὶ διαμα χομένα. ἐσεῖται δὲ τοῦτο, αἴκα τὰ πάθεα τᾶς ψυχᾶ παιδεύηται τῶν νέων καὶ ἐς τὸ μέτριον ἀγινῆται τοῖ ἀδέσι τε καὶ λυπαροῖς, καὶ αἴκα περὶ τᾶς οὐσίας μέτρι καὶ ἀπὸ γεωπονίας ἔχωντι τὰν πρόσοδον· καὶ αἴκα τὰ ἀρχὰς ἄρχωντι τᾶς μὲν ἀρετᾶς δεομένας τοὶ ἀγαθοί τὰς δ' ἐμπειρίας τινὸς τοὶ ἔμπειροι, τὰς δὲ παροχᾶ τινος καὶ δαπάνας τοὶ εὔποροι, καὶ τούτοις πᾶσι κατὸ τρόπον ἄρξασι τὰς ἀρχὰς κατ' ἀξίαν [c] διανέμωντι τὰ τιμάς. Ἔτι δὲ τᾶς ἀρετᾶς αἰτίαι τυγχάνοντι τρεῖς, φόβος, ἐπιθυμία, αἰδώς. δυνασεῖται δὲ τὸν μέν

---

rebus de quibus postea ad senatum refert; rectrix quæ vel regit vel certe ad reliquos regendos nata est; senatoria denique e reliqua multitudine constans quæ res a præside prius pensitatas excipit suoque judicio commissas suffragiis et auctoritate sua confirmat. Sed ut aperte et simpliciter dicam, præsides quidem oportet constituta ad senatum referre, hunc autem per prætores ad civium concionem. Similiter et auxiliaris ordinis sive robore virium præstantis una pars regit, altera propugnat, reliqua pars eaque major gregalis et militaris est. Imperatoria igitur est, ex qua castrorum præfecti, ordinum ductores, manipulorum duces et antesignani constituuntur et in universum omnes qui principatum aliquem obtinent : pars propugnans ex robustissimis, animosissimis et audacissimis quibusque constat, gregalis vero et militaris omnis reliqua multitudo est. Operarii autem ordinis et victum labore quærentis alia pars est agricolarum et ad excolendam regionem incumbentium; alia in artificiis occupatur, tum instrumenta, tum machinas ad vitæ negotia suppeditans : alia peregrinatur et mercaturam facit, quæ partim res in civitate abundantes in exteras regiones transfert, partim res adventitias in civitatem. Constitutiones igitur civilis societatis ex tot ac talibus partibus conficiuntur : sequitur ut de earum conjunctione atque unitate dicamus. Quum vero omnis communitas civilis omnino ad lyræ similitudinem accedat, propterea quod apparatu, concinnitate, denique tractatione aliqua usuque musico indiget : de apparatu quidem reipublicæ, id est, ex quibus et quot partibus constet, jam ante mihi expositum est; de ejus autem concinnitate et unitate nunc disserere conabor. Ac civilem quidem communionem ex his tribus concinnari affirmo, disciplinis, vitæ institutis, legibus eorumque trium beneficio erudiri hominem et meliorem fieri. Disciplinæ enim docent et cupiditates injiciunt, incitantes ad virtutem; leges autem partim metu detinentes cohibent, partim honoribus ac donis allicientes invitant; mores vero et instituta formant animum et quasi cereum fingunt, naturali habitu per continuam actionem imbuentia. Oportet autem tria hæc ad honestum et utile et justum composita esse, atque in eorum unoquoque, si fieri potest, omnia illa consectari, sin minus, duo saltem aut unum, ut tum disciplina, tum consuetudo, tum lex et honesta et justa et utilis sit, primoque loco honestum, altero justum, tertio utile habeatur. Sed in universum conari debemus civitatem per hæc quam maxime consonam et congruentem suis partibus efficere, ne seditionibus et contentionibus agitetur. Hoc autem eveniet, si juvenilium animorum affectus erudiantur, et in voluptatibus ac molestiis ad mediocritatem perducantur : porro si mediocres facultates habeant et reditum ex agricultura : item si magistratus gerant, eos quidem qui virtutem postulant boni, qui vero experientiam aliquam periti, qui autem largitionem et

φόβον ὁ νόμος ἐμπαρασκευάζεν, τὰν δὲ αἰδῶ τὰ ἔθεα· τοὶ γὰρ ἐθισθέντες καλῶς αἰδέονται τὰ αἰσχρὰ πράσσεν· ὁ δὲ λόγος τὰν ἐπιθυμίαν· ἀγωγὸν γὰρ τᾶς αἰτίας ἀπόδοσις ἅμα καὶ ἐφελκυστικὸν τᾶς ψυχᾶς, ἄλλως τε δὴ καὶ γινόμενον μετὰ προτροπᾶς. Διὸ καὶ φρατρίας καὶ συσσίτια καὶ συσκανίας καὶ συναγελισμώς, τὰ μὲν στρατιωτικὼς τὰ δὲ καὶ πολιτικώς, παρασκευάζεν [d] δεῖ ταῖς τῶν νέων ψυχαῖς, συναρμόζεν δὲ καὶ τὸ τῶν πρεσβυτέρων γένος αὐτοῖς, ἐπειδήπερ τοὶ μὲν νέοι δέονται σωφρονισμῶ καὶ καταρτύσιος, τοὶ δὲ πρεσβύτεροι φιλοφροσύνας καὶ διαγωγᾶς ἀλύπω.

Ἐπεὶ ὦν διὰ τριῶν ἐλέγομες σπουδαῖον ἀποτελέεσθαι τὸν ἄνθρωπον, διά τε τῶν ἐθέων καὶ τῶν νόμων καὶ τῶ λόγω, σκοπιάζεσθαι δεῖ πῶς τε διαφθείρεσθαι πέφυκε τὰ ἔθεα καὶ πῶς διαμένεν. Εὑρήσομες δὴ τὰ ἔθεα φθειρόμενα κατὰ δύο τρόπως, ἢ γὰρ δι' αὑτὼς ἢ διὰ τὼς ἐκτός. καὶ διὰ μὲν αὑτώς, ἤτοι διὰ τὸ φεύγεν τὰς λύπας ἢ διὰ τὸ αἱρέεσθαι τὰς ἁδονάς· διὰ μὲν γὰρ τὸ φεύγεν τὰς λύπας τὼς πόνως οὐχ ὑπομένοντι, διὰ δὲ τὸ διώκεν τὰς ἁδονὰς τὰ ἀγαθὰ ἀποβάλλοντι· ἐργατεύοντι δὲ τοὶ μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις, ταὶ δὲ ἁδοναὶ τὰ κακά· ἀκρατέες ὦν καὶ μαλακοὶ γινόμενοι θηλύτεροι γίνονται ταῖς ψυχαῖς καὶ ποτὶ τὰς ἀναλώσιας πολυδαπανώτεροι. διὰ δὲ τὼς ἐκτός, αἴκα ξενικὸς ἐπίδαμος ὄχλος γένηται εὐαμερίαις ἐμπορικαῖς χαίρων, ἢ καὶ τοὶ ἀστυγείτονες φιλάδονοι καὶ τρύφακες ἐόντες μεταδιδῶντι τοῖς πλατιάζουσι τῶν παρ' αὐτοῖς ἐθέων. Διὸ δεῖ τὼς νομοθέτας καὶ τὼς ἀγελάρχας ἐπιμελέως παρατηρέν, εἰ ἐπιμελέως ἀσκεῖται τὰ ἔθεα καὶ ὁμαλῶς πορεύεται διὰ πάντων· ἔτι δὲ εἰ τὸ γνάσιον καὶ τὸ αὐθιγενὲς πλᾶθος τᾶς πολιτείας διαμένει ἀκέραιον καὶ ἀπαράμικτον ὑπάρχον ἀπὸ τῶ ἄλλω γένευς· καὶ εἰ τὰ μεγέθεα τῶν βίων ἐν τοῖς αὐτοῖς διαμένει καὶ οὐ παρὰ πολὺ αὐξάνεται [c]· ἅμα γὰρ τῷ τὰ περισσὰ κτᾶσθαι καὶ τὰ περισσὰ μαστεύοντι. Καὶ τὰ μὲν ἔθεα οὕτως ἀσφαλίζεσθαι χρή· τὼς δὲ λόγως, τὸ τῶν σοφιστᾶν γένος ἐπικρίνοντας καὶ δοκιμάζοντας εἰ ποτὶ τὼς νόμως καὶ τὰ πολιτικὰ δόγματα καὶ τὰς ἰδίας οἰκονομίας τῶν βίων ὠφέλιμα λέγοντι. οὐ γὰρ τὰν τυχοῦσαν, ἀλλὰ τὰν μεγίσταν κακοδαιμοσύναν ἐντίκτοντι τοὶ τῶν σοφιστᾶν λόγοι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, αἴκα τολμῶντί τι κινῆν παρὰ τὰς κοινὰς ἐννοίας ἢ τῶν θείων ἢ τῶν ἀνθρωπίνων· ὃ οὔτε [f] ποτ' ἀλάθειαν οὐδὲ ποτ' ἀσφάλειαν οὐδὲ ποτὶ δόξαν καλόν [g] ἐστι, ζόφωσιν δὲ καὶ σύγχυσιν ἐπιφέρει τῷ κοινῷ βίῳ τῶν ἀνθρώπων. τοιοῦτοι δὲ λόγοι τυγχάνοντι οἱ φάντες [h], ἤτοι μὴ εἶμεν τὸ θεῖον ἢ καὶ ἐὸν μὴ ἔχεν οὕτως ποτὶ τὸ τῶν ἀνθρώπων γένος, ὥστ' ἐπιβλέπεν αὐτὸ καὶ φροντίζεν, ἀλλ' ἐᾶν καὶ κατολιγωρέν. καὶ γὰρ ἃ τοιαύτα παραδοχὰ τοῖς ἀνθρώποις ἀφροσύναν καὶ ἀδικίαν ἐντίκτει, ὅσαν οὐδ' εἰπὲν δηλομένοις εὐμαρές ἐστι. πᾶς γὰρ ἄνθρωπος ἀναρχίας πλαρωθεὶς καὶ τὸν τῶ ὑπάτω [i] ἀπωσάμενος φόβον, σκιρτᾷ τε καὶ παρανομεῖ, παντοδαπὸς γινόμενος. Χρέεσθαι δεῖ ὦν

---

sumptus divites, et his omnibus in rerum administratione sese, ut decet, gerentibus debiti honores tribuantur. Præterea virtutis causæ tres sunt, metus, cupiditas, pudor. Metum incutere lex poterit, pudorem mores : bonis enim moribus assuetos turpe quid admittere pudet; doctrina vero desiderium parit : nam reddita rei causa animum allicit attrahitque cum alias, tum si adhortationi juncta sit. Quocirca curias, convivia publica, contubernia et conventus cum militares tum civiles comparari oportet adolescentium animis, sed seniores etiam iis conciliari, quandoquidem ut adolescentes castigatione et institutione egent, ita senes benevolentia et vitæ jucunditate.

Quum ergo jam docuerimus, tribus rebus hominem honestum evadere, moribus, legibus, disciplinis : considerandum est, quomodo mores et corrumpi soleant et servari. Duobus ergo modis corruptos invenimus mores, aut nostra aut exterorum culpa. Et nostra quidem culpa vel quod molestias vitemus, vel quod voluptates consectemur : nam qui molestias declinant, non tolerant labores : voluptatum autem cupiditas eo valet ut bona amittantur, siquidem labore bona hominibus obveniunt, voluptatis studium mala comitantur : quare incontinentes et molles facti magis tum animis effeminantur tum in sumptibus faciendis prodigi evadunt. Exterorum vero culpa, quum peregrinus populus nobiscum habitat mercatoria felicitate affluens, aut urbis vicini voluptarii sunt et luxuriosi morumque suorum contagione propinquos afficiunt. Quapropter par est legum latores et multitudinis præfectos sedulo animadvertere, num observentur mores et æqualiter per omnes pertineant, præterea num germana indigenarum civiumque multitudo sincera maneat neque alia gente misceatur, denique num rei familiaris copiæ eodem statu permaneant neque modum excedant : nam supervacanea sibi comparantes supervacanea etiam desiderant. Et hoc quidem modo mores tueri convenit : disciplinas autem, statuendo explorandoque, num sophistarum genus ad leges, civilia instituta et privatam vitæ rationem utilia præcipiat. Neque enim parvam, sed quam maximam infelicitatem hominum animis inserunt sophistarum disputationes, si quid innovare ausint contra communes animi notiones in rebus vel divinis vel humanis : id quod neque ad veritatem neque ad securitatem neque ad gloriam prodest, sed caliginem et confusionem communi hominum vitæ infert. Tales sunt autem disputationes quibus statuitur aut non esse numen, aut etiamsi sit, non ita esse erga hominum genus affectum, ut illud respiciat ejusque curam gerat, sed negligat potius ac despiciat. Etenim hæc ita semel concepta opinio stultitiam et injustitiam in hominibus gignit, quantam vel volentibus non facile sit explicare. Quivis enim homo licentiæ plenus omisso supremi numinis timore exsultat legesque migrat, quum varius sit et inconstans. Utendum est ergo civili ora-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῷ λόγῳ πολιτικῷ καὶ σεμνῷ καὶ οἰκήῳ τᾶς διαθέσιος τῶ λέγοντος, ἀλλὰ μὴ προσποιητῷ· οὕτω γὰρ ἃ λέξις ἐσεῖται τὸ τῶ λέγοντος ἦθος ἐμφαίνουσα. Ἐκ δὲ τῶν νόμων δεῖ τὰν ἀσφάλειαν οὕτως ἐπιφέρεν, αἴκα [k] σύνθετος ἃ πολιτεία ᾖ [l] καὶ συντεταγμένα ἐκ πασᾶν τᾶν ἀλλᾶν· λέγω δὲ οὐ τᾶν παρὰ φύσιν, ἀλλὰ τᾶν κατὰ φύσιν. τυραννίδος γὰρ οὐδεμία χρήα ταῖς πόλισιν, εἰ μή ποκα [m] τᾶς ὀλιγαρχίας ἐπὶ βραχύ. Δεῖ τοίνυν βασιλείαν πρᾶτον [n] ἐντετάχθαι καὶ δεύτερον ἀριστοκρατίαν. βασιλεία μὲν γὰρ θεομίματον πρᾶγμα καὶ δυσφύλακτον ὑπὸ ἀνθρωπίνας ψυχᾶς· ταχέως γὰρ ὑπὸ τρυφᾶς καὶ ὕβριος ἀλλάσσεται· διόπερ οὐ δεῖ κατὰ πᾶν αὐτᾷ χρέεσθαι, μέχρι δὲ τῶ δυνατῶ καὶ ποτὶ τὰν πολιτείαν χρησίμω· τὰν δ' ἀριστοκρατίαν ἐπιπλέον ἐμπλέκεν, τῷ πλήονας εἶμεν τὼς ἄρχοντας καὶ φιλοζάλως διατίθεσθαι ποθ' αὐτώς [o], καὶ πολλάκις ἀντιμεταλαμβάνεσθαι τὰς ἀρχάς. Δαμοκρατίαν δὲ ἀναγκαῖον μὲν εἶμεν πάντως· δεῖ γὰρ τὸν πολίταν μέρος ὑπάρχοντα τᾶς συμπάσας πολιτείας φέρεσθαί τι ἀπ' αὐτᾶς γέρας· ἐπέχεσθαι δ' ἱκανῶς αὐτὰν δεῖ· θρασὺ γὰρ καὶ προπετὲς τὸ πολὺ πλᾶθος.

(Stobæus Flor. XLIII, 92, 93, 94 ἐκ τοῦ περὶ πολιτείας. Posui : [a] διανοία; codd. ἀγαθῶν. [b] ὁμόλογος ᾖ cum Spondano; codd. ὁμολογήσῃ. [c] τὰς ἀρχὰς κατ' ἀξίαν; libri τᾶς κατ' ἀξίας ἀρχᾶς. [d] παρασκευάζεν; libri ἐγκατασκευάζεν. [e] οὐ παρὰ πολὺ αὐξάνεται; codd. οὐ παρὰ πολὺ; alii οὐ παραπόλλυται. [f] δ οὔτε; libri οὐδὲ. [g] καλόν; libri κύριον. [h] φάντες cum Meinekio; codd. πάντες. [i] τὸν τῶ ὑπάτω cum Orellio; libri τὸν ὕποπτον. [k] αἴκα; codd. εἰ καὶ. [l] ᾖ; codd. ἦ. [m] μή ποκα; codd. πω καὶ. [n] πρᾶτον; libri πράταν. [o] ποθ' αὐτώς ci Meinekio, libri ποτ' αὐτοὺς.)

γ'. Πάντα μὲν ὧν τὰ θνατὰ δι' ἀνάγκαν φύσιος μεταβολαῖς καλινδεῖται, τὰ μὲν ἀπὸ τῶν χερηόν ἐπὶ τὰ βελτίονα μετατροπὰν λαμβάνοντα, τὰ δὲ ἀ τῶν βελτιόνων ἐπὶ τὰ χερήονα. γενόμενα γὰρ ἀέξε τὰ πράγματα καὶ ἀεξηθέντα ἀκμάζει καὶ ἀκμάσαν γηράσκει καὶ τέλος ὕστατα φθείρεται· τὰ μὲν φύσιος γινόμενα δι' αὐτᾶς τᾶς φύσιος ἐς τὸ ἀδή αὐτᾶς τερματιζόμενα καὶ πάλιν ἐκ τῶ ἀδήλω τὸ θνατὸν ἐπισυνερχόμενα ἀμοιβᾷ γενέσιος καὶ ταποδόσι φθορᾶς κύκλον αὐταύτας ἀναποδιζοίσα τὰ δὲ καὶ ὑπὸ ἀφροσύνας ἀνθρωπίνας ὕβρι κόρῳ ζεσάσας. Οἶκοί τε καὶ πόλιες [a] ὑπὸ μεγάλ εὐτυχημάτων ἀερθεῖσαι, καὶ βίον βαθὺν πλουτεῦ ἅμα τοῖς μακαριζομένοις ἀγαθοῖς ἐς τὸν ὄλεθρον ἔβασ οὕτω δὴ καὶ συμβαίνει πᾶσαν ἀγεμονίαν τρισὶ χ νοις ὁρίζεσθαι, ἑνὶ μὲν καὶ πρώτῳ [b] τῷ περιέχοντι κτᾶσιν, δευτέρῳ δὲ τῷ τὰν ἀπόλαυσιν, τελευταίῳ τῷ τὰν ἀπόλεσιν. τὸ μὲν γὰρ πρᾶτον [c] ἀτυχ ἐόντες ἐκτήσαντο, τὸ δὲ δεύτερον [d] εὐτυχέες γενόμε διέφθειραν. Τὰ μὲν ὧν ὑπὸ θεῶν διοικούμεν ἄφθαρτα ἐόντα ὑπὸ ἀφθάρτων τὸν ἀεὶ χρόνον πέφ σώζεσθαι, τὰ δ' ὑπ' ἀνθρώπων θνατὰ ἐόντα ὑπὸ θνατ ἐπιδέχεται ποικίλαν ἀεὶ μεταβολάν. κόρω μὲν καὶ ὕβριος πέρας ὄλεθρος, ἀπορίας δὲ καὶ στενοχωρ πέρας ἀνδραγαθία βίω ἀνθρωπίνω. δεῖ γὰρ [f] καὶ ἑτέρων αὐτὸν περαίνεσθαι.

(Stobæus Flor. XCVIII, 71. Posui : [a] πόλι

---

tione et gravi, quæ proprie cum dicentis animo congruat, non autem simulata : ita enim oratio dicentis mores et ingenium patefaciet. Ex legibus autem securitas sic inferetur, si reipublicæ forma composita et concinnata e cæteris omnibus fuerit, non ex iis, ut mea fert opinio, quæ præter naturam, sed quæ secundum naturam constitutæ sunt. Tyrannidis enim nullus est usus civitatibus, ut fere nec paucorum dominatus nisi in tempus brevissimum. Primo igitur loco regnum, secundo optimatum principatum constitui oportet. Est enim regnum res quædam ad divinam imitationem comparata, sed vix humano ingenio conservanda, ut quæ cito per luxum et contumeliam immutetur : quare non prorsus eo utendum est, sed quantum fieri potest et reipublicæ conducit : optimatum vero principatus illi eo magis inserendus est, quod plures sunt qui regnent et se invicem æmulentur et sæpe magistratus inter se permutent. Populi quoque imperium omnino esse necesse est : civem enim, qui totius reipublicæ pars sit, nonnihil ex ea præmii et honoris accipere convenit : sed intra certos fines illud contineri decet, quia vulgus audax in agendo et præceps apparet.

III. Omnia sane mortalia propter necessitatem naturæ mutationibus agitantur, quorum alia e deteriore statu in meliorem transeunt, alia e meliore in deteriorem. enim natæ augescunt et auctæ vigent; postquam aut viguerunt, senescunt ac tandem corrumpuntur : acc autem rebus a natura productis corruptio dum per ips naturam ad ignotum ejus finem adducuntur et vicis ab ignoto illo termino ad mortalem statum revocantur mutuas generationis et corruptionis vices, quæ amb reciproco talem circulum constituunt; quædam vero humanam insipientiam, superbia et satietate ferventer intereunt. Quin etiam familiæ ac civitates magna felicit elatæ amplisque opibus abundantes una cum laudatissi suis bonis pessum eunt. Cæterum usu venit, ut om principatus tribus temporibus circumscribatur, uno primo, quod capessendi spatium continet, altero qu usuram, postremo autem quod amissionem complectit Primum enim quum infelices essent, divitias sibi pararu deinde felices facti, eas consumserunt. Quæcumq igitur a diis reguntur, quum incorrupta sint, ab incorrup in æternum servari solent; quæ vero ab hominibus adm nistrantur mortalia, a mortalibus varie semper conve tuntur. Satietatis enim et petulantiæ finis interitus es inopiæ autem et penuriæ finis humanæ vitæ probitas. N et aliis rebus eam consummari oportet.

codd. πόλεις. [b] πράτῳ; libri πρώτῳ. [c] τὸ μὲν γὰρ πρᾶτον; codd. τοὶ μὲν γὰρ πρᾶτοι. [d] τὸ δὲ δεύτερον; membranæ τοὶ δὲ δεύτεροι. [e] διοικούμενα; codd. διοικημένα. [f] δεῖ γὰρ καὶ ἀφ' ἑτέρων αὐτὸν (i. e. rebus externis vitam) περαίνεσθαι cum Orellio; codd. τὸ καὶ ἀφ' ἑτέρων αὐτὸν περαίνεσθαι.)

2.

ΕΚ ΤΩΝ ΕΥΡΥΦΑΜΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΠΕΡΙ ΒΙΟΥ.

Βίος ἀνθρώπω τέλος [a] θεῶ μὲν λείπεται τῷ μὴ αὐτοτελὴς ἦμεν, ἀλόγων δὲ ζώων καθυπερέχει τῷ ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρος ἦμεν. οὔτε γὰρ ὁ θεὸς τᾶς ἔξωθεν αἰτίας ποτιδεής ἐντι, φύσι γὰρ ἀγαθὸς ἐὼν καὶ φύσι εὐδαίμων ἐξ αὐταύτω τέλεος ἐντι· οὔτε τῶν ἀλόγων ζώων οὐδὲν ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρόν ἐντι, [b] λόγω γὰρ ἄμοιρα ὄντα καὶ τᾶς ἐς τὰς πράξιας ἐπιστάμας ἄμοιρά ἐντι. Ἀνθρώπω δὲ φύσις τὰ μὲν τᾶς [c] ἐκ τᾶς ἰδίας προαιρέσιος τὰ δὲ καὶ τᾶς ἐκ τῶ θήω γινομένας ἐπικουρήσιος ποτιδεής ἐντι. τὸ [d] μὲν γὰρ λόγω τυπωτικὸς ἦμεν καὶ καλῶν καὶ αἰσχρῶν νοατικός, καὶ τὸ ὀρθῶς ἀπὸ γᾶς ἀνακεκλίσθαι καὶ ἐς τὸν οὐρανὸν ἀποβλέπεν καὶ θεῶν τῶν ἀνωτάτω [e] νοατικὸς ἦμεν, ταῦτα δὲ καὶ τᾶς ἐκ τῶν θεῶν ἐπικουρήσιος τέτευχε· τὸ [f] δὲ βούλησιν ἔχεν καὶ προαίρεσιν καὶ ἀρχὰν ἐν αὐταύτω τοιαύταν, καθ' ἂν κύριος οὗτός ἐντι καὶ ἀρετὰν ἐπιταδεῦσαι καὶ κακίαν ζαλῶσαι καὶ θεοῖς ὀπαδῆσαι καὶ ἀπὸ θεῶν ἀποτραπῆμεν, ταῦτα δὲ καὶ καθ' αὑτὸν κινέεσθαι δυνατός ἐντι. διὸ καὶ ψόγων καὶ ἐπαίνων καὶ τιμᾶς καὶ ἀτιμίας τὰ μὲν ἐκ τᾶς τῶν θεῶν τὰ δὲ καὶ ἐκ τᾶς τῶν ἀνθρώπων τυγχάνοντι προαιρέσιος [g] ἤτοι ἀρετὰν ἢ κακίαν ζαλώσαντες. Ἔχει γὰρ οὕτως ὁ σύμπας λόγος. τὸ θῆον ἄνθρωπον, πολυφρονέστατον ζῷον, ἐς τὸν κόσμον ἐσῴκισεν, ἀντίμιμον [h] μὲν τᾶς ἰδίας φύσιος, ὀφθαλμὸν δὲ τᾶς τῶν ὄντων διακοσμάσιος. διὸ καὶ ὀνύματα μὲν ἔθηκε τοῖς πράγμασι, χαρακτῆρι [i] αὐτῶν ἑπόμενος [k], ἀνεύρετο δὲ καὶ γράμματα, θησαυροὺς τᾷ μνάμᾳ παρασκευασάμενος, ἐμιμάσατο δὲ καὶ τὰν τῶ παντὸς διακόσμασιν, δίκαις τε καὶ νόμοις κοινωνίαν πολίων συναρμοξάμενος. οὐθὲν γὰρ οὕτω κοσμοπρεπὲς καὶ θεῶν ἄξιον ἔργον ἀνθρώποις πέπρακται, ὡς πόλιος εὐνομουμένας συναρμογὰ καὶ νόμων καὶ πολιτείας διακόσμασις [l]· εἷς γὰρ ἕκαστος ἄνθρωπος αὐτὸς καθ' αὑτὸν οὐδεὶς ἐὼν μετὰ τῶ ζῆν ἐν ὁμοφροσύνᾳ ξυνᾷ καὶ ξυναρμογᾷ πολιτείας καὶ αὐτὸς καθ' αὑτὸν ἱκανὸς γέγονε καὶ ποττὸ ὅλον καὶ τὸ τέλεον σύσταμα τᾶς κοινωνίας εὐάρμοστος. Ἀνθρώπω γὰρ ὁ βίος λύρας ἐξακριβωμένας καὶ κατὰ πᾶν ἐπιτελέος ἐάσας εἰκών ἐντι. λύρα τε γὰρ πᾶσα χρῄζει τριῶν τούτων τυχέν, ἐξαρτύσιος, συναρμογᾶς, ἐπαφᾶς τινος μωσικᾶς. ἐξάρτυσις μὲν ὧν ἐντι ἁ τῶν οἰκήων μερέων τῶ σώματος παρασκευὰ πάντων, λέγω δὲ τᾶν

2.

EX EURYPHAMI PYTHAGOREI LIBRO DE VITA.

Perfecta hominis vita quemadmodum deo cedit, quod non per se sit consummata, ita brutis animalibus præstat, quia virtutis et beatitatis particeps est. Nam neque deus ulla indiget causa externa, quando ob naturalem suam et bonitatem et felicitatem per se perfectus est: neque ullum animal brutum in virtutis et felicitatis partem venit, ut quæ propter rationis defectum actionum quoque scientia careant. At hominis natura auxilio eget, quod partim ex propria voluntate, partim a numine ei accedit. Quatenus enim cogitationem informare, honesta ac turpia intelligere, surgere decenter e terra cœlumque suspicere summosque deos animo comprehendere potest, divina ope fruitur: quatenus autem voluntatem et consilium atque ejusmodi principium intra se habet, quo possit et virtutem exercere et vitium amplecti deosque tum colere tum aversari, proprio motu utitur. Quamobrem cum vituperantur et laudantur, tum honorem et ignominiam partim divino partim humano consilio sive virtutum sive vitiorum studiosi assequuntur. Sic enim tota se res habet. Deus hominem, prudentissimum animal, suæ naturæ æmulum, sed ordinatæ rerum compositionis quasi oculum futurum in mundo collocavit. Quocirca hic et nomina rebus earum formæ convenienter imposuit et litteras invenit, comparato memoriæ thesauro, et universi constitutionem imitatus est, civitatum communione jure ac legibus temperata. Nullum enim ita congruens mundo diisque dignum opus ab hominibus factum est, ut civitatis bonis legibus fundatæ compages legumque ac reipublicæ descriptio. Quum enim unusquisque homo per se nullus sit, tamen vita in communi concordia reique publicæ compage acta ipse per se aptus evadit et ad integram perfectamque societatis concinnitatem accommodatus. Quippe vita humana lyræ perfectæ et omnibus numeris absolutæ similis est. Nam lyra quævis tribus his opus habet, apparatu, compositione et pulsu quodam musico. Apparatus est propriarum partium omnium copia, ut chordarum instrumentorumque qua ad soni suavitatem qua ad pulsum pertinentium, compositio autem mutua sonorum proportio, pulsus denique concinnus eorum motus. Sic igitur et vita humana tribus his indiget. Apparatus quidem est vitæ partium justus numerus, sunt autem vitæ partes corporis bona, opes, gloria, amici. Compositio est istarum partium secundum virtutem et leges facta ordinatio, pulsus denique musicus est earum bona ac legitima temperatio, quum rerum successu fruitur virtus neque foris allatum quidquam adversi habet. Etenim felicitas non constat, si ab instituto operis sponte suscepti arceatur,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χορδᾶν καὶ τῶν ὀργάνων τῶν ποτ' εὐφωνίαν καὶ πλαγὰν ἐπισυνεργούντων· συναρμογὰ δὲ ἃ ποτ' ἀλλάλως σύγκρασις τῶν φθόγγων· ἐπαφὰ δὲ μωσικὰ ἃ κατὰ συναρμογὰν κίνασις ἤδη τούτων. Οὕτως ὧν καὶ βίος ἀνθρώπων χρήζει τριῶν τούτων τυχέν. ἐξάρτυσις μὲν ἃ τῶν τῷ βίῳ μερέων ἐντὶ συμπλάρωσις, βίῳ δὲ μέρεα τά τε σώματος ἀγαθὰ καὶ τὰ τῶν χρημάτων καὶ τὰ τᾶς δόξας καὶ τὰ τῶν φίλων· συναρμογὰ δὲ ἃ κατ' ἀρετὰν καὶ νόμως τούτων σύνταξις, ἐπαφὰ δὲ μωσικὰ ἃ κατ' ἀρετὰν καὶ νόμως τούτων σύγκρασις, ὀρθοπλουμένας τᾶς ἀρετᾶς καὶ μηθὲν ἔξωθεν ἀντιπῖπτον ἐχούσας αὐτᾷ. οὐ γὰρ ἐν τῷ ἀπερύκεσθαι τᾶς προθέσιος τῶν ἐκουσίων σκοπῶν πέπτωκε τὸ εὐδαιμονέν, ἀλλ' ἐν τῷ κατατυγχάνεν [m]· οὐδ' ἐν τῷ ἀδορυφόρατον ἦμεν καὶ ἀνυπηρέτατον τὰν ἀρετάν, ἀλλ' ἐν τῷ συμπλαροῦσθαι ταῖς οἰκήαις δυνάμισι [n] ποτὶ τὰς πράξιας. Οὐ γὰρ αὐτοτελὴς ἐντι ὁ ἄνθρωπος, ἀλλ' ἀτελής· τέλῃος δὲ γινόμενος ἃ μὲν παρ' αὐτὸν ἃ δὲ καὶ παρὰ τὰν ἔξωθεν αἰτίαν· καὶ τέλῃος ἤτοι καττὰν φύσιν ἢ καττὸν βίον· καὶ κατὰ μὲν τὰν φύσιν, αἶκα ἀγαθὸς γένηται· ἃ γὰρ ἑκάστω ἀρετὰ ἀκρότας καὶ τελῄότας ἐντὶ τᾶς ἑκάστω φύσιος· οἷον ἃ μὲν τῶν ὀφθαλμῶν ἀρετὰ [o] ἀκρότας καὶ τελῄότας τᾶς τῶν ὀφθαλμῶν φύσιος [p], ἃ δὲ τῶν οὐάτων τᾶς τῶν οὐάτων· οὕτω δὲ τῷ ἀνθρώπω ἃ ἀρετὰ ἀκρότας ἐντὶ καὶ τελῄότας τᾶς ἀνθρώπω φύσιος. Τέλῃος δὲ καττὸν βίον, αἶκα εὐδαίμων γένηται· ἃ γὰρ εὐδαιμονία τελῄότας καὶ συμπλάρωσίς ἐντι τῶν ἀνθρωπίνων ἀγαθῶν. Διὸ πάλιν ἀρετὰ καὶ εὐτυχία μέρεα γίγνονται τῷ ὑπ' αὐτᾷ [q] βίῳ, τᾶς μὲν ἀρετᾶς ὡς ψυχᾶς ὑποκειμένας, τᾶς δ' εὐτυχίας ὡς σώματος, τῶν δὲ συναμφοτέρων ὡς ζῴω. τᾷ [r] μὲν γὰρ χρέεσθαι καλῶς αὐτοῖς [s] ἐστι τοῖς κατὰ φύσιν ἀγαθοῖς, τᾷ [t] δὲ τὰν χρᾶσιν ἐμπαρέχεν· καὶ χρέεσθαι μὲν ἀρετᾷ, χρᾶσιν δ' ἐμπαρέχεν εὐτυχία· καὶ ἃ μὲν τὰν προαίρεσιν καὶ τὸν λόγον ὀρθὸν παρέχεσθαι, ἃ δὲ τὰς ἐνεργείας καὶ τὰς πράξιας. τὸ μὲν γὰρ βουληθῆμεν τὰ καλὰ καὶ ὑποστᾶμεν τὰ δεινὰ τᾶς ἀρετᾶς οἰκῇόν ἐντι, τὸ δ' ὀρθοπλοῆσαι τὰς προαιρέσιας καὶ ἐπὶ τέλος ἐλθεῖν τὰς πράξιας τᾶς εὐτυχίας. ἐνίκασε γὰρ ὁ στραταγὸς καὶ σὺν τᾷ ἀρετᾷ καὶ σὺν τᾷ εὐτυχίᾳ, καὶ εὐπλόησεν ὁ κυβερνάτας καὶ σὺν τᾷ τέχνᾳ καὶ σὺν τοῖς οὐρίοις πνεύμασιν, καὶ εἶδεν ὁ ὀφθαλμὸς καλῶς καὶ σὺν τᾷ ὀξυδορκίᾳ καὶ σὺν τῷ φάει. καὶ ἄριστος ὁ βίος ὁ τῶν ἀνθρώπων ἐγένετο καὶ διὰ τὰν ἀρετὰν αὐτὰν καὶ διὰ τὰν εὐτυχίαν.

(Stobæus Flor. CIII, 27. Reposui : [a] τέλῃος; codd. τελήϊος. [b] ἀρετᾶς καὶ εὐδαιμοσύνας ἐπίμοιρόν ἐντι; desunt hæc in codd. [c] μὲν τᾶς cum Halmio; μὲν libri. [d] τὸ μὲν cum Meinekio; membranæ τῷ μὲν. [e] ἀνωτάτω; libri ἀνωτάτων. [f] τὸ δὲ; codd. τῷ δὲ. [g] τυγχάνοντι προαιρέσιος; codd. τυγχάνοντί τοι. [h] ἀντίμιμον cum Valckenario ad Callimach. fragm. p. 270; libri ἀντίτιμον. [i] χαρακτῆρι cum Jacobsio in Animadv. ad Eurip. et Stob. p. 296; codd. χαρακτὴρ. [k] ἑπόμενος cum eodem; libri γενόμενος. [l] μετὰ τῷ ζῆν ἐν cum Gesnero; codd. οὔτε ποττὸ ζῆν. [m] κατατυγχάνεν; libri κατατυγχάνεσθαι. [n] δυνάμισι; libri δυνάμεσι. [o] ἀρετὰ cum Orellio; libri φύσις. [p] φύσιος; deest in codd. [q] αὐτᾷ i. e. εὐδαιμονίᾳ; membranæ αὐτῷ. [r] τᾷ; codd. τὸ. [s] αὐτοῖς; codd. αὐτόν. [t] τᾷ; libri τὸ.

3.

ΕΚ ΤΩΝ ΙΠΠΑΡΧΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΠΕΡΙ ΕΥΘΥΜΙΑΣ.

Ὡς πρὸς τὸν ξύμπαντα αἰῶνα ἐξετάζοντι, βραχύτατον ἔχοντες τοὶ ἄνθρωποι τὸν τᾶς ζωᾶς χρόνον, κάλλιστον ἐν τῷ βίῳ οἱονεί τινα παρεπιδαμίαν [a] ποιησοῦνται ἐπ' εὐθυμίᾳ καταβιώσαντες. Ταύταν δὲ ἔξοντι μά-

---

sed si quod petit consequatur, neque si virtus satellitibus et ministris careat, sed potius si facultatibus suis ad res agendas satis instructa sit. Neque enim per se perfectus est homo, sed imperfectus; fit autem perfectus partim suis viribus, partim externa causa; idque vel natura vel vita: et natura quidem, si bonus evadat: nam sua cujusque virtus ejus naturæ excellentia et perfectio est: velut oculorum virtus oculorum naturæ excellentia et perfectio est, aurium virtus naturam aurium perficit: sic etiam hominis virtus humanæ naturæ præstantia et perfectio est. Vita perfectus fit, si beatus evadat: beatitudo enim humanorum bonorum summa est et perfectio. Quapropter rursus virtus et prosperitas tanquam partes sunt vitæ beatæ, virtute velut animi, bona fortuna quasi corporis vicem obtinente, utraque autem simul animalis instar habente. Illi enim licet ipsis naturæ bonis recte uti, huic usum præbere; nimirum virtutis est uti, prosperitatis usum præstare: illius est consilium et rationem rectam suppeditare, hujus autem actiones et opera promovere. Nam ut honesta velle et ferre gravia virtutis est proprium, ita consiliorum optatus eventus et factorum finis in prosperitate situs est. Quemadmodum enim vincit imperator virtute et prosperitate, feliciter gubernator navigat arte et vento secundo, recte cernit oculus et videndi facultate et lumine: sic humana vita evadit optima virtute pariter et prosperitate.

3.

EX HIPPARCHI PYTHAGOREI LIBRO DE ANIMI TRANQUILLITATE.

Cum brevissimum sit humanæ vitæ tempus cum æternitate collatum, optimam homines vitæ tanquam peregrinationem transigent, si in tranquillitate vixerint. Hanc autem omnium maxime consequentur, si se ipsos diligenter cognoverint sciantque, mortales se esse, e carne constare,

ιστα πάντων ἀκριβῶς ἐπιστάμενοι καὶ ἐπεγνωκότες αὐτούς, ὅτι ἐντὶ θνατοὶ καὶ σάρκινοι, εὐαδίκητον καὶ θαρτὸν κεκταμένοι σῶμα καὶ πάντων χαλεπωτάτων ὑποῖς ἐπικρεμαμένων μέχρις ἐσχάτας ἀναπνοᾶς. καὶ ρᾶτόν γ' ἐπένθωμεν [b] ἐπὶ τὰ συμβαίνοντα· περὶ τὸ ῶμα· πλευρίτιδες, περιπλευμονίαι, φρενίτιδες, πο-άγραι, στραγγουρίαι, δυσεντερίαι, ληθαργίαι, ἐπι-ηψίαι, σηπεδόνες, ἄλλα μυρία. περὶ δὲ τὰν ψυχὰν ολλῷ μείζονα καὶ χαλεπώτερα. πάντα γὰρ τὰ κατὰ ν βίον ἄθεσμα, κακά, παράνομα καὶ ἀσεβήματα ἐκ ὖν κατὰ τὰν ψυχὰν παθημάτων ἐντί. διὰ γὰρ τὰς κρὰ φύσιν ἀμέτρως ἐπιθυμίας πολλοὶ ἐς ἀκατασχέτως μὰς ἐξώκειλαν, καὶ οὔτε τᾶς ἐκ τῶν θυγατέρων οὔτε ς ἐκ τῶν ματέρων ἀνοσιωτάτας ἀδονᾶς ἀπέσχοντο, λὰ καὶ ἐπὶ πατροκτονίᾳ παρεγένοντο, καὶ πολλοὶ ἴδια τέκνα κατέσφαξαν. Τί λέγω τὰ ἀπὸ τῶν τὸς ἐπηρτημένων κακά, τὰς ἐπομβρίας καὶ αὐχμούς, ερβολὰς καυμάτων, ὑπερβολὰς ψύξιος, ὥστε πολ-κις ἐκ τᾶς κατὰ τὸν ἀέρα ἀνωμαλίας λοιμόν τε καὶ ὸν γίνεσθαι, καὶ ποικιλίαν παντοδαπῶν συμπτω-των καὶ ὅλας πόλεις ἐρημοῦσθαι; Πολλῶν ὧν τοιούτων ικρεμαμένων, μήτε ταῖς κατὰ τὸ σῶμα εὐαμερίαις τέχοντες σεμνυνόμενοι ἐπαιρώμεθα, αἴτινες ὀλίγω ρετῶ ἐπιγενομένω ἀνθέων [c] τρόπῳ συντόμως μαραί-ται, μήτε ταῖς ἐκτὸς νομιζομέναις εὐτυχίαις, αἳ καὶ ταὶ [d] πολλάκις τάχιον ἀπόλλυσθαι ἢ γίνεσθαι πεφύ-τι. πάντα γὰρ ταῦτα ἄστατά τε καὶ ἀβέβαια ρίπου τρόπον [e] ἐν πολλαῖς καὶ ποικίλαις μεταβολαῖς όμενα παρειλήφαμεν, καὶ οὐδὲν αὐτῶν μένον, οὐδὲ ἀκίνατον οὐδὲ βέβαιον οὐδὲ ἀδιαίρετον. Διὸ ταῦτα μὲν ἐνθυμηθέντες, μέγα δὲ κέρδος ἕξειν νομίζοντες [f], εἰ τὰ παρεόντα καὶ δεδομένα καὶ τὸν ἐλάχιστον χρόνον διαμεῖναι δύναιτο, ἐν εὐθυμίᾳ διάξομεν γενναίως φέροντες τὰ προσπίπτοντα. νῦν δὲ πολλοὶ πάντα τὰ ὑπὸ φύσιος καὶ τύχας παρεόντα καὶ δεδομένα αὐτοῖς ἐπὶ τὸ βέλτιον προαναπλάσαντες, καὶ οὐχ οἷά ἐστι λογισάμενοι, ἀλλ' οἷα ἐπ' ἄκρον ἐπιτυγχάνοντα [g] δύναται γενέσθαι, ἄφνω στερόμενοι, πολλοῖς καὶ μεγάλοισι καὶ ἀθέσμοις καὶ ἀνηκέστοις [h] κακοῖς καταφορτίζοντι τὰν ψυχάν· καὶ οὕτω συμβαίνει αὐτοῖς πικρότατον ἔχειν τὸν βίον καὶ χαλεπώτατον. Ταῦτα δὲ γίνεται ἐπί τε ἀποβολαῖς χρημάτων ἢ φίλων θανόντων ἢ τέκνων ἤ τινων ἄλλων τῶν νομιζομένων τιμιωτάτων ἦμεν. εἶτα κλαίοντες καὶ ὀδυρόμενοι λέγοντι αὐτὼς μόνως ἀτυχεστάτως καὶ κακοδαίμονας, οὐ μεμναμένοι ὅτι κακὰ ταυτὰ [i] καὶ ἄλλοις πολλοῖς ἐγένετο καὶ νῦν γίνεται, οὐδὲ δυνάμενοι κατανοῆσαι τόν τε τῶν παρεόντων βίον καὶ τὸν τῶν προεξεστακότων [k] ἐν ὅσαις συμφοραῖς καὶ κακῶν τρικυμίαις καὶ νῦν ἐντι πολλοὶ καὶ πρὸ τοῦ ἐγένοντο. Ἐπιλογισάμενοι ὧν ὅτι πολλοὶ ἀποβαλόντες χρήματα ὕστερον διὰ τὰν τῶν χρημάτων γενομέναν ἀπώλειαν αὐτοὶ περιεσώθησαν, ἢ λῃσταῖς διὰ τοῦτο μέλλοντες περιπεσεῖν ἢ τυράννῳ· πολλοὶ δὲ φιλήσαντές τινας καὶ καθ' ὑπερβολὰν εὐνοήσαντες ἐν τῷ μετέπειτα χρόνῳ μεγάλως ἐμίσησαν· ἃ δὴ πάντα ἀναλογισάμενοι ἐκ τᾶς παραδεδομένας ἁμῖν ἱστορίας, καὶ μαθόντες ὅτι καὶ ὑπὸ τέκνων καὶ φίλων μάλιστα φιληθέντων πολλοὶ ἀπώλοντο, καὶ ἀντιπαραβάλλοντες τὸν

---

riæ et interitui obnoxio præditos corpore, gravissimis m rebus ad ultimum usque vitæ spiritum imminenti-. Ac primum quidem ea recenseamus, quæ corpori idunt: hæc sunt pleuritides, pulmonis inflammationes, ntis deliria, podagræ, urinæ stillicidia, intestinorum mina, veterni, morbi comitiales, ulcera putrescentia, infinita. At animo multo majora et graviora contin-t. Quidquid enim sceleris, vitii, peccati, impietatis vita humana cernitur, ex animi perturbationibus ortum it. Nam propter immoderatas contra naturam cupi-tes multi in effrenatos impetus inciderunt, nec vel a bus vel a matribus turpissimam potuerunt cohibere dinem: quid quod parricidio se obstrinxerunt multique m suos liberos jugularunt? Jam quid illa recenseam e foris impendent nobis mala, imbres, siccitates, æstus modicos et nimia frigora, ita ut frequenter ex aeris in-perie pestilentia, fames aliique casus innumeri oriantur otæ vastentur urbes? Quum igitur hujusmodi multa is immineant, neque corporis bonis confisi, quæ vel gua febricula florum instar brevi marcescunt, nec erna, quæ existimatur, felicitate gloriosius efferamur, pe quæ et ipsa sæpe citius perire quam exsistere so-. Hæc enim omnia Euripi in morem incerta et insta-a multis et variis mutationibus agitari exploratum ha-bemus eorumque nihil aut permanere aut immobile, firmum, inseparabile esse. Quapropter hæc animo reputantes, id autem potissimum in lucro ponentes, si præsentia et concessa nobis vel exiguum temporis spatium durare possint, bono animo vivemus, fortiter ferentes quæcunque acciderint. Nunc vero multi omnia quæ naturæ fortunæque beneficio ipsis contigerunt atque concessa sunt quam optima fore suspicantes, neque qualia revera sint considerantes, sed qualia in præstantissimo suo statu fieri possint, subito illis privati multis et magnis et nefariis et insanabilibus malis animum deprimunt, quo fit ut vitam agant acerbissimam ac durissimam. Id autem vel in opum jactura, vel in amicorum aut liberorum morte vel in aliarum rerum, quæ carissimæ habentur, amissione conspicitur. Tum vero flentes atque ejulantes infelicissimos ac miserrimos se solos esse dicunt, quia non meminerunt eadem mala et aliis multis accidisse et nunc accidere, neque ita intelligere possunt tum præsentis tum superioris temporis hominum vitam, ut sciant, quantis in calamitatibus miseriarumque fluctibus multi partim nunc jactentur partim olim jactati sint. Reputantes igitur multos amissis opibus postea ob eam jacturam ipsos salvos evasisse, quum futurum esset ut propter divitiarum famam vel in latrones vel in tyrannum inciderent: multos item quum amore maxi-

ἑαυτῶν βίον προς τὸν τῶν πρασσόντων [l] φαυλότερον, καὶ τὰ προσπίπτοντα ἀνθρώπινα νομίζοντες, καὶ μὴ μόνοις συμβαίνοντα εὐθυμότερον διάξομεν. οὐδὲ γὰρ θέμις, ἄνθρωπον ὄντα μόνον [m] τὰ τῶν ἀλλοτρίων συμπτώματα εὔφορα νομίζειν, ἀλλὰ καὶ τὰ ἴδια κάδεα, ἰδόντα [n] ὅτι πολλαὶ κᾶρες κατὰ πάντα τὸν βίον πεφύκαντι. οἱ δὲ κλαίοντες καὶ κατοδυρόμενοι, πρὸς τῷ μηδ' ἀντινῶν ὠφέλειαν τῷ ἀπολομένῳ ἢ τῷ ἀποιχομένῳ περαίνεσθαι, ἐς μέζονα παθήματα τὰν ψυχὰν ἐλαύνοντι, μεστὰν [o] πολλῶν καὶ φαύλων φυσιωμάτων οὖσαν. Προσήκει ὧν ἐκνίπτοντας καὶ ἀναχαθαίροντας ἀπορρύπτεσθαι πάσαις μηχαναῖς τὰς ἐγκατεσκιῤῥωμένας κηλῖδας τῷ κατὰ φιλοσοφίαν λόγῳ. Ποιήσομεν δὲ τοῦτο, ἀντεχόμενοι φρονάσιος καὶ σωφροσύνας καὶ εὐαρεστούμενοι [p] τοῖς παρεοῦσι καὶ μὴ πολλῶν ὀρεγόμενοι. οἱ γὰρ ἄνθρωποι τὰ πολλὰ παρασκευαζόμενοι, ὡς οὐκ ἔστι χρῆσθαι [q] μετὰ τὸν τᾶς ζωᾶς χρόνον, οὐ νομίζουσι. Τοιγαρῶν [r] χρησώμεθα τᾷ [s] παρουσίᾳ τῶν ἀγαθῶν, ἐκ δὲ τᾶς φιλοσοφίας καὶ λαβρότερον ἀπλησταυσώμεθα· [t] ἀπληστευόμενοι γὰρ τῶν ἐκ φιλοσοφίας καλῶν καὶ σεμνῶν καὶ τᾶς [u] τῶν φαύλων ἀπολυθησόμεθα ἀπληστίας.

(Stobæus Flor. CVIII, 81. Scripsi : [a] παρεπιδαμίαν; codd. παρεπιδημίαν, quod refertur ad κάλλιστον i. e. καλλίσταν. Cf. Thuc. lib. 3, 101 et lib. 5, 110. [b] πρᾶτόν γε ἐπένθωμεν cum Valckenario ad Greg. Cor. p. 198 ed. Schæfer.; codd. πρῶτόν γε πενθῶμεν. [c] ἀνθέων cum Heringa Obs. cap. XVIII p. 152; libri σὺν θεῶν. [d] αἳ καὶ αὐταὶ; libri καὶ αὗται. [e] Εὐρίπου τρόπον cum Hemsterhusio ad Luc. tom. III, p. 400 ed. Bip.; libri εὗρε τὸν τρόπον. [f] ἐνθυμηθέντες, μέγα δὲ κέρδος ἔξειν νομίζοντες; libri ἐνθυμηθέντες νομίζοντας. [g] ἐπιτυγχάνοντα; libri ἐπιτυγχανόμενα. [h] ἀνηκέστοις; codd. ἀνοήτοις. κακα ταυτὰ cum Halmio; codd. κατταυτὰ. [k] προεξεσταχά των cum Gesnero; codd. παρεξεσταχότων vel παρ ρεξηταχότων. [l] πρασσόντων; codd. πρασσομένων. [m] ἄν θρωπον ὄντα μόνον; libri ἄνθρωπον μὲν ὄντα. [n] ἰδόντ cum Valckenario ad Theocrit. Adoniazus. p. 2 ed. Heindorf.; codd. ἰδόντας. [o] μεστὰν cum Meibo mio; libri μέσαν. [p] εὐαρεστούμενοι; codd. μεταποιού μενοι. [q] χρῆσθαι; membranæ ζῆν. [r] οὐ νομίζουσ Τοιγαρῶν; libri ἔξεστι γενέσθαι. [s] τᾷ παρουσίᾳ; codd παρουσίᾳ. [t] ἀπληστευσώμεθα cum Meinekio; lib ἀπληστευώμεθα. [u] τᾶς τῶν; libri τᾶς ἐκ τῶν.)

4.

ΕΚ ΤΩΝ ΘΕΑΓΟΥΣ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟ ΠΕΡΙ ΑΡΕΤΗΣ.

α'. Ἀρχαὶ τᾶς συμπάσας ἀρετᾶς τρεῖς, γνῶσις κ δύναμις καὶ προαίρεσις. καὶ ἔντιν ἁ μὲν γνῶσις οἷ ὄψις, ᾇ θεωρέομες καὶ κρίνομες τὰ πράγματα· ἁ δύναμις οἷον ἀλκά τις τῶ σκάνεος, ᾇ ὑφιστάμεθα ἐμμένομες τοῖς πράγμασιν· ἁ δὲ προαίρεσις οἷον χεῖ ψυχᾶς τινες, αἷς ὁρμῶμες καὶ ἀντιλαζύμεθα τῶν πρ γμάτων. Ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτ τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμός, τὸ δὲ θυμός, τὸ ἐπιθυμία· λογισμὸς μὲν ὧν ὁ κρατέων τᾶς γνώσι θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἁ κρατοῦ τῶ ἐπιθυματικῶ ἀδεῶς. Ὅκκαν ὧν ἐς τὸ ἓν τὰ τ ταῦτα μόλῃ μίαν ἐπιδεξάμενα συναρμογάν, τόκα γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὅκκαν στασιάζοντα καὶ ἀπ' ἀλλάλων ἀπόσπαστα ᾖ [a], τ δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ·

---

maque benevolentia quosdam essent prosecuti, postea illos maximo odio habuisse : quæ omnia, inquam, postquam ex historia nobis tradita cognoverimus ac simul intellexerimus, multos a liberis suis et amicis carissimis esse interfectos, si denique nostram vitam contulerimus cum aliorum infeliciori, casusque omnes humanos esse neque nobis solis accidere statuerimus, tranquillius sane vivemus. Non enim æquum est hominem aliena tantum mala levia putare, sed propria etiam leviter ferenda sunt totam vitam multis ærumnis refertam esse videnti. At qui flent et ejulant, præterquam quod rem pereuntem ac discedentem nihil plane juvant, in majores perturbationes animum impellunt, multis et pravis affectibus abundantem. Quamobrem debemus omnibus modis inveteratas maculas abluentes et purgantes philosophica doctrina abstergere. Hoc autem faciemus, quum prudentiæ ac temperantiæ operam dabimus et præsentem fortunam boni consulemus plura non appetentes. Etenim homines plurima coacervantes, non reputant, eorum nullum sibi post hanc vitam usum fore. Quare bonis præsentibus utamur, philosophiæ vero eo majori desiderio teneamur : namque honest gravitatisque quæ e philosophiæ studio oritur appete insatiabili etiam pravorum cupiditate liberabimur.

4.

EX THEAGIS PYTHAGOREI LIBRO VIRTUTE.

I. Virtutis omnis tres sunt fontes, cognitio, facul consilium. Cognitio est quasi oculus quidam, cujus res contemplamur ac judicamus; facultas quasi robur poris, quo in rebus judicatis perstamus ac subsistin consilium manuum instar est animi, quibus aggredim apprehendimus res. Animi quoque constitutio sic se h ut una sit ejus pars ratio, altera iracundia, tertia cu tas; e quibus ratio cognitionis, iracundia roboris, cupi appetitus imperium tuto obtinet. Ubi tria hæc ju inter se convenienti copula fuerint, tum exoritur virt consensus in animo; sin dissideant atque a se mutuo vulsa fuerint, tum vitium in animo ac discordia nasci

ὅκκαν μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια, καρτερία μὲν ἐν τᾷ κατοχᾷ τῶν πόνων, ἐγκράτεια δὲ ἐν τᾷ κατοχᾷ τῶν ἀδέων. ὅκκαν δὲ τὰ ἄλογα μέρεα τᾶς ψυχᾶς ἐπικρατέῃ τῷ λογισμῷ, τόκα δὲ γίνεται μαλακία καὶ ἀκρασία· μαλακία μὲν ἐν τῷ φεύγεν τὼς πόνως, ἀκρασία δὲ ἐν τῷ νικᾶσθαι ὑπὸ τῶν ἀδέων. ὅκκαν δὲ τὸ μὲν κρέσσον ἄρχῃ μέρος τᾶς ψυχᾶς τὸ δὲ χέρηον ἄρχηται, καὶ τὸ μὲν ἀγῆται τὸ δ' ἕπηται, ἀμφότερα δὲ συνευδοκῇ τε [b] καὶ συνομολογῆται ἀλλάλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκκαν μὲν τὸ ἐπιθυματικὸν ἕπηται μέρος τᾶς ψυχᾶς τῷ λογιστικῷ, γίνεται σωφροσύνα· ὅκκαν δὲ τὸ θυμοειδές, ἀνδρειότας· ὅκκαν δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐντιν ἃ διείργουσα τάς τε κακίας πάσας τᾶς ψυχᾶς καὶ τὰς ἀρετὰς ἀπ' ἀλλάλων. Καὶ ἔντιν ἃ δικαιότας οἷον σύσταμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς καὶ ἀρετὰ τελεία καὶ πανυπερτάτα· πάντα γὰρ ἐν ταύτᾳ, τὰ δ' ἄλλ' ἀγαθὰ τᾶς ψυχᾶς οὐκ ἄτερθε ταύτας. διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἃ δικαιότας καὶ ἐν ἀνθρώποις· τῶ γὰρ ὅλω καὶ τῷ παντὸς ἅδ' ἀρετὰ συνέχει τὰν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. Θέμις γε ὦν φατίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς, δίκα δὲ παρὰ τοῖς χθονίοις, νόμος δὲ παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σαμεῖα καὶ σύμβολα τῶ τὰν δικαιότατα πανυπερτάταν ἀρετὰν ὑπάρχεν. Καὶ ἄλλως δὲ πιστοῦται ὁ λόγος ἐξ ὀνυμάτων· ὅκκα μὲν γὰρ ὁ νόος τᾶς ψυχᾶς ἀμβλακίσκῃ, ὀνομάζεται ἁ τοιάδε διάθεσις ἀφροσύνα· ὅκκα δὲ ὁ θυμός, θρασύτας ἢ δειλία· ὅκκα δὲ ἐπιθυμία, ἀκρασία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μεῖον ἀμβλακίσκῃ ὁ νόος, ἀφροσύνα, ὅκκα δ' ἐπὶ τὸ μέζον, πανουργία· καὶ ὅκκα μὲν ἐπὶ τὸ μεῖον ἀμβλακίσκῃ ὁ θυμός, δειλία, ὅκκα δ' ἐπὶ τὸ μέζον, θράσος· καὶ ὅκκα μὲν ἐπὶ τὸ μεῖον ἀμβλακίσκῃ ἁ ἐπιθυμία, φιλαδονία· ὅκκα δ' ἐπὶ τὸ μέζον, ἀκολασία· ὅλως δὲ ἃ μὲν οὐ κατ' ὀρθὸν λόγον συναρμογά, κακία· αὕτα δέ, ἂν μηδενὸς ἕκατι γένηται, καλέεται ἀβελτηρία· ὅκκα δὲ φόβω, δειλία, ὅκκα δὲ ἀδονᾶς, ἀκολασία, ὅκκα δὲ κέρδεος, ἀδικία. Ἁ δὲ κατ' ὀρθὸν λόγον αὐτᾶς σύνταξις, ὅκκα μὲν ἐν τῷ θεωρεῖν καὶ κρίνεν γένηται, καλέεται φρόνασις, ὅκκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ δεινά, ἀνδρεία, ὅκκα δὲ ἐν τῷ μετρίως φέρεν τὰ ἁδέα, σαοφροσύνα [c]· ὅκκα δὲ ἐν τῷ κέρδεος ἀποσχέσθαι καὶ βλάβας τᾶς ἐς τὸν πλατίον, δικαιότας. Ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον αὐτᾶς σύνταξις καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις τῷ δέοντός ἐντι στοχασμὸς καὶ τῷ μὴ δέοντος ἐπίπτωσις. ἔντι δὲ τὸ μὲν δέον ὃ δεῖ ἦμεν· τοῦτο δὲ οὔτ' ἀφαιρέσιος οὔτε προσθέσιος δέεται· αὐτὸ γάρ ἐντιν ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεε δύο, τὸ μὲν ὑπερβολά, τὸ δὲ ἔλλειψις· καὶ ἃ μὲν ὑπερβολὰ τὸ πλέον τῶ δέοντός ἐντι, ἃ δ' ἔλλειψις τὸ ἔλαττον. Ἁ δ' ἀρετὰ ἕξις τίς ἐντι τῶ δέοντος· διόπερ καὶ ἀκρότας καὶ μεσότας εὐθέως ἐντί· ἀκρότας μέν, διότι τῶ δέοντος ἔχεται, μεσότας δέ, ὅτι μεταξὺ τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιός ἐντιν. οὕτω γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες ταὶ ἀρεταί [d]· μεjam quum ratio partes animi ratione carentes superavit, tolerantia gignitur et continentia, tolerantia quidem sustinendis laboribus, continentia vero voluptatis fruendæ modum tenens. Rursus quando ratione carentes partes animi rationem vicerint, mollities et incontinentia nascitur, dum labores illa fugit, hæc a voluptatibus vincitur. Quum autem melior animi pars imperat, deterior paret atque illa quidem præest, hæc sequitur, ambæ vero inter se congruunt et consentiunt : tum virtus et bonitas consummata per totum animum exsistit. Et cupiditas quidem quæ secretam animi partem tenet quum sequitur rationem, fit temperantia : quum iracundia, fortitudo : quum partes omnes, justitia. Hæc enim et vitia cuncta et virtutes animi inter se discernit. Quippe justitia est quædam congruentiæ partium animi copulatio virtusque perfecta et suprema : ut enim in hac omnia sunt, ita sine hac reliqua non exstant animi bona. Quare tam inter deos plurimum pollet justitia quam inter homines : hæc enim virtus ipsam totius rerum compagis et universitatis societatem tum inter cœlestes tum inter mortales continet. Themis certe apud superos, justitia autem apud inferos, lex vero apud homines nominatur : quæ sane argumento atque indicio sunt, justitiam supremam esse virtutem. Alioquin autem ratio hoc ipsis rerum nominibus probat : quando enim mens insanit, talis animi affectio amentia vocatur; quando iracundia peccat, audacia vel timiditas; quando vero cupiditas, incontinentia : porro quum in minoribus delinquit mens, amentia nominatur, quum in majoribus, vafritia : item quum in minoribus labitur iracundia, timiditas appellatur, quum in majoribus, audacia : præterea ubi in minoribus cupiditas erraverit, voluptatis studium nuncupatur, ubi in majoribus, intemperantia : omnino autem recto consilio non consentaneus animi status pravitas est : quæ si nullam ob causam acciderit, stultitia dicitur, si propter metum, timiditas, si delectationis causa, intemperantia, si lucri causa, injustitia. At vero tenor ejus rectæ rationi congruens, dum in contemplando et judicando versatur, vocatur prudentia; quum in periculis subeundis, fortitudo; quum in suavibus moderate ferendis, temperantia; quum in fugiendo lucro malo ac detrimento quod aliis importatur, justitia. Est vero tenor ejus rectæ rationi consentaneus itemque rectæ rationis neglectio partim decori consectatio partim indecori appetitio. Cæterum decorum est quod esse decet : id quod nec addi quidquam nec demi postulat, quandoquidem ipsum, quod esse decet, est. Indecori vero species duæ sunt, altera quidem abundantia, altera autem defectus : et abundantia quidem plus est quam decet, defectus vero minus. Virtus autem decori est habitus; quocirca statim supremum quoque et medium est, supremum quia cum decoro cohæret,

σότατες μέν, ὅτι ἐντὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι· ἀκρότατες δέ, ὅτι οὔτε προσθέσιος οὔτ' ἀφαιρέσιος δέονται· αὐτὰ γάρ ἐντι ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν.

Ἐπεὶ δὲ ἁ τῶ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἁδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τᾶς ψυχᾶς, ἁδονάν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συναρμόζεσθαι. οὐδὲ γὰρ ὑγίεια, εὐκρασία τις ἔασα τῶν τῶ σώματος δυναμίων [c], ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν καὶ τὸ θερμὸν καὶ τὸ ὑγρὸν καὶ τὸ ξηρόν, πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτα συγκερασθῆμεν· ἔντι γὰρ οἷον συμμετρία τις τούτων· οὐδ' ἐν τᾷ μωσικᾷ ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ τὸ σύμφωνον πέπτωκεν, ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι. συναρμοσμένων γὰρ [f] τῶ ὀξέος καὶ τῶ βαρέος τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται· συναρμοσμένων δὲ καὶ τῶ θερμῶ καὶ τῶ ψυχρῶ καὶ τῶ ὑγρῶ καὶ τῶ ξηρῶ ἁ μὲν ὑγίεια γίνεται, ἁ δὲ νόσος ἀπόλλυται· συναρμοσμένων δὲ καὶ τῶ θυμῶ καὶ τᾶς ἐπιθυμίας ταὶ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, ταὶ δ' ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίνονται. Ἰδιαίτατον δὲ τᾶς τῶ ἤθεος ἀρετᾶς ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμι [g] συγχρέεσθαι δυνατὸν καὶ ἄνευ ἀρετᾶς, προαιρέσι [h] δὲ οὐ δυνατόν· τὸ γὰρ ἀξίωμα τῶ ἤθεος ἁ προαίρεσις σαμαίνει. Διὸ καὶ μετὰ βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμῶ καὶ ἐπιθυμίας ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ, μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶ ἀλόγω ἀκρασίαν καὶ μαλακίαν. Ταὶ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς ἡμιτελέες μὲν ἀρεταί, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς ὑγιαίνει, τὰ δὲ ἄλογα μέρεα τᾶς ψυχᾶς νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ὑπὸ τῶ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία ἀρεταὶ τυγχάνοντι, καθὸ δὲ μετὰ βίας ἀλλ' οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι· δεῖ γὰρ τὰν ἀρετὰν μὴ μετὰ λύπας, ἀλλὰ μετὰ ἁδονᾶς τὰ δέοντα πράσσεν. πάλιν δὲ καθὸ μὲν ἐπικρατεῖ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία τῶ λογισμῶ, μαλακίαν καὶ ἀκρασίαν ἐπιφέροντα, κακίαι τινὲς τυγχάνοντι· καθὸ δὲ μετὰ λύπας χαρίζονται τοῖς πάθεσιν, εἰδότα [i] ὅτι ἀμβλακίσκοντι τῷ ὑγιὲς ἦμεν τὸ ὄμμα τᾶς ψυχᾶς, ταῦτα δὲ οὐ κακίαι. Πάλιν ὦν αὐτό γε τοῦτο φανερόν, ὅτι ἑκουσίως δεῖ τὰν ἀρετὰν τὰ δέοντα πράσσεν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας καὶ φόβω, τὸ δὲ ἑκούσιον οὐκ ἄνευ ἁδονᾶς καὶ φιλοφροσύνας. Αἶκα δὲ καὶ ὁ λόγος τᾶς διαιρέσιος ἐμπέσῃ, δῆλον ὅτι [k] ταῦθ' οὕτως ἔχει. [l] ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων τῶ λόγον ἔχοντος μέρεός ἐντι τᾶς ψυχᾶς, ἁ δὲ δύναμις τῶ ἀλόγω· τὸ γὰρ ἀντέχεν μὴ δύνασθαι τοῖς πόνοις, ὑπακούεν [m] δὲ τᾶν ἁδονᾶν, οἰκεῖόν ἐντι τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς· ἁ δὲ προαίρεσις ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς καὶ τῷ ἀλόγῳ. σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος, ὧν ἁ μὲν διάνοια τῶ λόγον ἔχοντός ἐντι, ἁ δ' ὄρεξις τῶ ἀλόγω. Διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς,

---

medium quia inter abundantiam et defectum interjecta est. Sic enim virtutes omnes et media sunt et suprema : media, quoniam inter abundantiam et defectum locum habent; suprema, quod nec addi quidquam nec demi postulant, quandoquidem quod esse decet, ipsæ sunt.

Quum morum virtus circa affectus versetur, affectuum autem supremi habeantur voluptas et dolor : patet, virtutem non esse positam in evellendis ex animo penitus affectibus, voluptate et dolore, sed in iis ad cætera accommodandis. Etenim nec sanitas, quæ corporis virium quædam est bona temperies, in sublato frigore, calore, humore, siccitate ponitur, verum in hisce apte permixtis, quum sit illorum quædam proportio conveniens : nec in musica, si acutum et grave tollantur, concentus oritur, sed si apte conjungantur. Etenim acuto et gravi apte conjunctis concentus exsistit tolliturque sonorum discrepantia : similiter autem calore, frigore, humore, siccitate permixtis et prospera valetudo oritur et morbus exterminatur : neque aliter iracundia et cupiditate recte compositis tum vitia cum animi perturbationibus eximuntur, tum virtutes moresque ingenerantur. Est autem morum virtutis maxime propria voluntas honestis rebus intenta. Namque ratione ac potentia etiam sine virtute uti possumus, voluntate non possumus : siquidem morum dignitatem voluntas indicat. Quapropter simul per vim superans iracundiam et cupiditatem ratio animo continentiam ac tolerantiam indit : simul per vim rursus ipsa exacta ab irrationalibus animi partibus incontinentiam ac mollitiem parit. Cæterum tales animi affectiones et imperfectæ virtutes et imperfecta vitia sunt. Ratio enim in illis sana est, irrationales autem animi partes languent. Et quatenus quidem a rationis compote animi parte ira et cupiditas reguntur ipsæque obediunt, virtutes habentur continentia et tolerantia : quatenus autem coactæ hoc, non sponte faciunt, vitia sunt : debet enim virtus non cum dolore, sed cum voluptate officio suo fungi. Quatenus rursus imperantes rationi ira et cupiditas mollitiem atque incontinentiam procreant, vitia hæc sunt : quatenus vero cum dolore animi perturbationibus gratificantur, quum sciant se delinquere, quia sanus est animi oculus, eatenus non sunt vitia. Est autem manifestum sponte virtutem debere officium suum facere. Jam quod vi cogitur, dolore et metu non caret; quidquid vero voluntarium est, voluptate et hilaritate non caret. Quidquid simul atque divisio facta fuerit, hæc ita se habere patebit. Etenim cognitio inspectioque rerum rationalis est animi partis, vis agendi autem ratione carentis, siquidem laboribus frangi vincique voluptate proprium est irrationalis animi partis, voluntas vero in utraque cernitur : rationis compote et irrationali animi parte. Quum enim ex intelligentia et appetitu constet, illa ad rationis con

καὶ τὸ ἑκούσιον δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

(Stobæus Flor. I, 67–68. Scripsi : [a] ἀπόσπαστα ᾖ; codd. ἀπέσπασται. [b] συνευδοκῇ τε cum Meinekio; codd. συνευδοκῆται. [c] ὑφίστασθαι τὰ δεινά, ἀνδρεία, ὄκκα δὲ ἐν τῷ μετρίως φέρεν τὰ ἀδέα, σαοφροσύνα; codd. ὑφίστασθαι τὰ ἀδέα, σαοφροσύνα. [d] ταὶ ἀρεταί cum Schowio; deest in membranis. [e] δυναμίων; libri δυνάμεων. [f] γὰρ cum Meinekio; deest in codd. [g] δυνάμι; codd. δυνάμει. [h] προαιρέσι; libri προαιρέσει. [i] εἰδότα; codd. εἰδότες. [k] ἐμπέσῃ, δῆλον ὅτι; libri ἐμπέσοι, καὶ παρείτω. [l] ἔχει; libri ἔχεν. [m] ὑπακούειν; libri ἐπικρατέειν.)

β'. Ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐντι λογισμός, τὸ δὲ θύμωσις, τὸ δ' ἐπιθυμία· λογισμὸς μὲν ὁ κρατέων τᾶς γνώσιος, θυμὸς δὲ ὁ κρατέων τῶ μένεος, ἐπιθυμία δὲ ἃ κρατεῦσα τῶ ἐπιθυματικῶ ἀδεῶς. Ὅκκαν ὦν ἐς τὸ ἓν τὰ τρία ταῦτα μόλῃ, μίαν ἐπιδεξάμενα συναρμογάν, τόκα δὲ γίνεται ἀρετὰ καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ· ὅκκαν δὲ στασιάζοντα καὶ ἀπ' ἀλλάλων ἀπόσπαστα ᾖ [a], τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. Ἀνάγκα δ' ἀρετὰν τρία ταῦτα ἔχεν, λόγον, δύναμιν καὶ προαίρεσιν· τῶ μὲν ὦν λογικῶ μέρεος τᾶς ψυχᾶς ἀρετὰ ἃ φρόνασις, κριτικὰ γάρ ἐντι καὶ θεωρατικὰ ἕξις· τῶ δὲ θυμοειδέος ἀνδρεία, ἕξις γάρ ἐντι ἀντερειστικὰ καὶ ὑποστατικὰ τῶν δεινῶν· τῶ δ' ἐπιθυματικῶ ἃ σαοφροσύνα [b], μετριότας γάρ ἐντι καὶ κατοχά τις ἀδονᾶν τᾶν διὰ σώματος· ὅλας δὲ τᾶς ψυχᾶς ἃ δικαιοσύνα. Φαῦλοι μὲν γὰρ τοὶ ἄνθρωποι γίνονται ἢ διὰ κακίαν, ἢ δι' ἀκρασίαν, ἢ διὰ θαριότατα, ἀδικέοντι δ' ἀλλάλως ἢ διὰ κέρδος, ἢ διὰ ἀδονάν, ἢ διὰ φιλοτιμίαν. Ἃ μὲν ὦν κακία τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς ἐντι οἰκειοτέρα, ποτέοικε γὰρ ἃ μὲν φρόνασις τᾷ τέχνᾳ, ἃ δὲ κακία τᾷ κακοτεχνίᾳ ἔοικε, μαχανάσιας γὰρ φιλεῖ εὑρίσκεν ποτὶ τὸ ἄδικον [c]· ἃ δ' ἀκρασία μᾶλλον τῶ ἐπιθυματικῶ, ἐν γὰρ τῷ κρατὲν [d] ἀδονᾶς ἃ ἐγκράτεια, καὶ ἐν τῷ μὴ κρατὲν ἃ ἀκρασία· ἃ δὲ θαριότας τῶ θυμοειδέος, ὄκα γὰρ τᾷ ἐπιθυμίᾳ τῶ κακῶς ποιῆσαι χαρίζηταί τις, οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς θαρίον, τὸ τοιόνδε ὀνομάζεται θαριῶδες. Ἀκόλουθα δὲ καὶ τὰ ἀποτελέσματα τῶν διαθεσίων τούτων, ὥνπερ ἕνεκα πράσσοντι· ἃ μὲν γὰρ πλεονεξία ἀπὸ κακίας, ἃ δὲ κακία ἀπὸ τῶ λογιστικῶ μέρεος τᾶς ψυχᾶς· καὶ ἃ μὲν φιλοτιμία ἀπὸ τῶ θυμοειδέος, αὐτὰ δ' ἐν ὑπερβολᾷ γενομένα γεννῇ τὰν θαριότατα· πάλιν δὲ ἃ μὲν ἀδονὰ ἐν τῷ ἐπιθυματικῷ, σφοδρότερον δὲ μαστευομένα γεννῇ τὰν ἀκρασίαν. Ὥστ', ἐπεὶ τὸ ἀδικὲν γίνεται δι' αἰτίας τοσαύτας, φανερὸν ὅτι τὸ δικαιοπραγὲν γίνεται διὰ τὰς ἴσας· φύσι [e] γὰρ ἃ μὲν ἀρετὰ ἀγαθοποιὸς καὶ ὠφελατικά, ἃ δὲ κακία κακοποιὸς καὶ βλαπτικά. Ἐπεὶ δὲ τῶν τᾶς ψυχᾶς μερέων τὸ μέν ἐντι ἀγεόμενον, τὸ δὲ ἐπόμενον, αἱ δ' ἀρεταὶ καὶ αἱ κακίαι περὶ ταῦτα καὶ ἐν τούτοις, φανερὸν ὅτι καὶ τᾶν ἀρετᾶν ταὶ μέν ἐντι ἀγεμονικαί, ταὶ δ' ἑπετικαί, ταὶ δὲ σύνθετοι ἐκ τούτων· ἀγεμονικαὶ μέν, οἷον ἃ φρόνασις, ἑπετικαὶ δέ, οἷον ἃ ἀνδρεία καὶ σαοφροσύνα,

potem, hic ad irrationalem refertur. Quamobrem virtus omnis in animi partium concinnitate posita est, voluntas autem atque consilium omnino in virtute cernuntur.

II. Animi quoque constitutio sic se habet, ut una sit ejus pars ratio, altera iracundia, tertia cupiditas, e quibus ratio cognitionis, iracundia roboris, cupiditas appetitus imperium tuto obtinet. Ubi tria hæc juncta inter se convenienti copula fuerint, tum exoritur virtus et consensus in animo : sin dissideant atque a se mutuo divulsa fuerint, tum vitium in animo ac discordia nascitur. Sunt autem virtuti hæc tria necessaria, ratio, facultas, voluntas. Jam ratione præditæ animi partis virtus est prudentia, quoniam judicii et contemplationis particeps est habitus : iracundiæ autem fortitudo, habitus enim est obnitentis tolerantisque res graves et pericula : cupiditatis vero temperantia, est enim moderatio quædam et coercitio voluptatum quæ corpore percipiuntur : totius denique animi justitia. Improbi vero redduntur homines vel per vitium vel per incontinentiam vel per feritatem; injuste autem agunt vel lucri vel voluptatis vel gloriæ causa. Ac vitium quidem rationali animi parti verius et magis proprie tribuitur : similis enim est prudentia quidem arti, vitium vero corruptelæ ac depravationi artis, quoniam ad injurias dolos excogitare solet; incontinentia vero magis parti concupiscenti convenit, nam in refrenanda voluptate sita est continentia, in excitanda autem incontinentia : feritas denique ad irritabilem animi partem refertur, nimirum quando quis cupiditati aliis nocendi non ut homo, sed ut fera indulget, ea indoles feritatis nomen invenit. Sed harum quoque affectionum effectus sunt convenientes, quorum causa agunt : avaritia enim e malitia, malitia autem e rationali animi parte manat : similiter ut ad iracundiam pertinet ambitio, sic ipsa modum excedens feritatem gignit : denique voluptas, ut cupiditatis est, ita nimium quæsita gignit incontinentiam. Quum ergo contingat, ut propter tot causas injuste agamus, patet evenire ut totidem de causis etiam juste agamus : quippe natura virtus bene merendi ac juvandi studiosa est, malitia contra malefaciendi lædendique cupida. Et quoniam ex animi partibus alia imperat, alia paret, virtutes autem in his et vitia cernuntur, virtutes quoque partim imperantes, partim parentes, partim esse mixtas efficitur. Imperat quidem prudentia, parent autem fortitudo ac temperantia, mixta denique est justitia. Affectus porro sunt virtutis materia, quandoquidem circa hos atque in his virtutes versantur. Affectuum vero hic quidem voluntarius, ille autem non voluntarius : voluntarius quidem voluptas, non voluntarius autem dolor. Atque hæc et intendunt et remittunt homines civiles, dum reliquas animi partes ad rationis participem accommodant. Hujus autem copulæ finis est is, ne

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σύνθετοι δ' ἐκ τούτων, οἷον ἁ δικαιοσύνα. Τὰ δὲ πάθεα τᾶς ἀρετᾶς ὕλα, περὶ ταῦτα γὰρ καὶ ἐν τούτοις αἱ ἀρεταί. τῶν δὲ παθέων τὸ μὲν ἑκούσιον τὸ δ' ἀκούσιον. καὶ ἑκούσιον μὲν ἁδονά, ἀκούσιον δὲ λύπα· ταῦτα δὲ καὶ ἐπιτείνοντι καὶ ἀνίεντι τοὶ πολιτικοί, συναρμόζοντες τὰ ἄλλα μέρεα τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. Τᾶς δὲ συναρμογᾶς ὅρος τὸ μήτε διὰ τὰν ἔνδειαν, μήτε διὰ τὰν ὑπερβολὰν ἀπείργεσθαι τὸν νόον τὸ ἴδιον ἔργον ἐπιτελέν. συντέτακται γὰρ τὸ χέρηον ἕνεκα τῶ βελτίονος· ὡς μὲν ἐν τῷ κόσμῳ τὸ ἀειπαθὲς πᾶν μέρος ἕνεκα τῶ ἀεικινάτω, ἐν δὲ τᾷ συζυγίᾳ τῶν ζώων τὸ θᾶλυ ἕνεκα τῶ ἄρρενος, τὸ μὲν γὰρ σπείρει τὸ ἔμψυχον [f] γεννῶν, τὸ δὲ μόνον τὰν ὕλαν παρέχεται τῷ γεννωμένῳ, ἐν δέ γε τᾷ ψυχᾷ τὸ ἄλογον τῶ λογικῶ. Συντέτακται γὰρ καὶ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ποτὶ τὸ πρᾶτον μέρος τᾶς ψυχᾶς, τὸ μὲν ὥσπερ δορυφόρος τις καὶ σωματοφύλαξ, τὸ δὲ ὡς οἰκονόμος καὶ οἰκουρὸς τῶν ἀναγκαίων. Ὁ δὲ νόος ἐπ' ἄκρας τᾶς κορυφᾶς τῶ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνασιν, καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον καὶ κτασάμενον ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτῶ καὶ τιμιωτάτοις· ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανών ἐντι τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις.

Καθόλω μὲν ὦν ἀρετὰ συναρμογά τίς ἐντι τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον. γίνεται δὲ αὐτὰ τῷ τὸν κατὰ τὰν ἁδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τῶ δέοντος. οὐδὲν γὰρ ἄτερον ἀλαθινὰ ἀρετὰ εἰ μὴ ἕξις τῶ δέοντος· αὐτὸ δὲ τὸ δέον ἐντὶ ὅπερ δεῖ ἦμεν, τὸ δὲ μὴ δέον ὅπερ οὐ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος εἴδεα δύο, τὸ μὲν ὑπερβολὰ τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μέν ἐντι τὸ πλέον τῶ δέοντος, ἔλλειψις δὲ τὸ ἔλαττον τῶ δέοντος. Τὸ δὲ δέον αὐτὸ ἐὸν ὅπερ δεῖ ἦμεν καὶ ἄκρον ἂν ὑπάρχοι καὶ μέσον· ἄκρον μὲν ὅτι οὔτ' ἀφαιρέσιος οὔτε προσθέσιος δέεται, μέσον δὲ ὅτι μεταξύ ἐντι τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος. Ἔχει δὲ τὸ δέον καὶ τὸ μὴ δέον ποτ' ἄλλαλα οὕτως ὥσπερ τὸ ἴσον καὶ τὸ ἄνισον, καὶ τὸ τεταγμένον καὶ τὸ ἄτακτον, ταῦτα δ' ἐντὶν ἀμφότερα τὸ πεπερασμένον καὶ τὸ ἄπειρον, καὶ διὰ τοῦτο τῶ ἀνίσω τὰ μέρεα λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ' ἄλλαλα. ἀμβλεῖά τε γὰρ ὀνομάζεται γωνία ἁ μέζων ὀρθᾶς, ὀξεῖα δὲ ἁ μείων ὀρθᾶς, καὶ μέζων μὲν εὐθεῖα ἁ ὑπερέχουσα τὰν ἐκ τῶ κέντρω· καὶ μακροτέρα μὲν ἁμέρα ἰσαμερινᾶς. Καὶ ταὶ νόσοι δὲ γίνονται τῷ σώματος διὰ τὸ θερμότερον ἢ κρυμωδέστερον γίνεσθαι τὸ σῶμα· τὸ μὲν γὰρ θερμότερόν ἐντι τὸ πλέον τῶ μετρίω, τὸ δὲ κρυμωδέστερον ἔλασσον τούτω. Ἔχει δέ γε καὶ ἁ ψυχὰ καὶ ἁ περὶ αὐτὰν διάθεσις τὰν ἀναλογίαν ταύταν. ἁ μὲν γὰρ θρασύτας ἐντὶ ὑπερβολὰ τῶ δέοντος ἐν ὑποστάσι δεινῶν, ἁ δὲ δειλότας ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ἀσωτία ὑπερβολὰ τῶ δέοντος ἐν δαπάνᾳ χρημάτων, ἁ δ' ἀνελευθερία ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ὀργά ἐντι ὑπερβολὰ τῶ δέοντος ἐν ὁρμᾷ θυμῶ, ἁ δ' ἀναλγησία ἔλλειψις τούτω. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τᾶν ἀλλᾶν διαθεσίων τᾶν ἀντικειμένων. Δεῖ δ' ἕξιν τῶ δέοντος ὑπάρχοισαν τὰν ἀρετὰν καὶ μεσότατα τῶν παθέων μήτ' ἀπαθέα

---

propter defectum neve propter abundantiam prohibeatur mens opus suum efficere. Quod enim deterius est præstantioris causa comparatum est: ut in mundo tota pars semper patibilis propter semper mobilem, in animalium autem conjugio femina propter marem (hic enim seminat animal gignendo, illa duntaxat materiam ei quod generatur suppeditat), in ipso porro animo ratione carens pars propter rationis compotem. Nam et iracundia et cupiditas ad primam animi partem pertinent, illa tanquam pedissequa et satelles, hæc tanquam dispensatrix et rei domesticæ custos. At vero mens in summo corporis vertice collocata, illustri et pellucida inspectione pollens, rerum scientiam consequitur atque hoc ei natura insitum est, ut post factam investigationem comparatamque rerum cognitionem sequatur ea quæ ipsi visa sunt optima atque excellentissima. Etenim rerum divinarum et præstantissimarum cognitio beatitudinis humanæ principium, causa et regula est.

In universum igitur virtus est convenientia quædam irrationalium animi partium cum parte rationis compote. Ea fit, si decorum voluptatis et doloris finem accipiat. Nihil enim est aliud vera virtus quam decori habitus: decorum autem est quod esse decet, indecorum quod non decet esse. Indecori vero species duæ sunt, abundantia ac defectus. Et abundantia quidem plus quam decet, defectus minus habet quam decet. Decorum porro quum sit quod esse decet, et supremum sit oportet et medium, supremum quia nec addi quidquam nec demi postulat, medium quia inter abundantiam ac defectum interjectum est. Præterea decorum atque indecorum sic inter se habent, ut æquale et inæquale, ordinatum et confusum, quæ quidem utraque in idem recidunt, finitum et infinitum, ideoque inæqualis partes ad medium, non ad se invicem referuntur. Nam et obtusus dicitur angulus qui recto major est, et acutus qui minor recto est, et major linea recta quæ ductam e centro superat, et longior dies æquinoctiali. Morbi quoque corporis gignuntur, quoniam vel calidius vel frigidius redditum est corpus: siquidem quod calidius est ultra temperiem calet, quod frigidius est temperiem non assequitur. Sed animus quoque ejusque affectio consimilem habet proportionem. Etenim audacia est exsuperantia decori in subeundis periculis, timiditas ejusdem defectus. Porro ut effusio in erogandis pecuniis modum excedit, ita illiberalitas in eadem re defectu peccat. Denique quemadmodum ira decori violatio est in concitatione animi: sic indolentia ejus defectus. Eadem quoque aliarum earumque oppositarum affectionum ratio est. Debet autem virtus, quum decor-

μήτ' ἐμπαθέα ἦμεν. ἃ μὲν γὰρ ἀπάθεια ἀπαρόρματον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν, ἃ δ' ἐμπάθεια συντεταραγμένον καὶ ἀνεπιλόγιστον. Δεῖ ὢν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν λάμψιν [g] ἐπὶ τᾶς γραφᾶς· τὸ γὰρ ἔμψυχον καὶ τὸ ἄπαλὸν καὶ τὸ μεμιμαμένον τὰν ἀλάθειαν σὺν τᾷ χραστότατι τῶν χρωμάτων μάλιστα γίνεται διὰ τούτων. Ἔμψυχα δὲ ἐκ παρορμάσιος καὶ ἐνθουσιασμῶ ἀρετᾶς τᾶς κατὰ φύσιν τὰ πάθεα τᾶς ψυχᾶς. γίνεται γὰρ ἐκ τῶν παθέων ἃ ἀρετά, καὶ γεναθεῖσα πάλιν συναύξεται τούτοις, ὥσπερ καὶ τὸ καλῶς ἁρμοσμένον ἐκ τῶ ὀξέος καὶ βαρέος, καὶ τὸ εὔκρατον ἐκ τῶ θερμῶ καὶ ψυχρῶ, καὶ τὸ ἰσόρροπον ἐκ τῶ βαρέος καὶ κούφω. Οὐκ ἀφελὲν ὧν δεῖ τὰ πάθεα τᾶς ψυχᾶς, οὐδὲ γὰρ ὠφέλιμον, ἀλλὰ συναρμόσασθαι ποτὶ τὸ λόγον ἔχον διὰ [g] τῶ δέοντος καὶ τῶ μετρίω.

(Stobæus Flor. I, 64. 69. Posui : [a] ἀπόσπαστα ἦ; codd. ἀπέσπασται. [b] σαοφροσύνα; libri σωφροσ. μαχανάσιας γὰρ φιλεῖ εὑρίσκεν ποτὶ τὸ ἄδικον; libri μαχανάσιος γάρ ποθεν εὑρίσκεν τὸ ἄδικον. [d] κρατὲν; codd. κρατεῖν. [c] φύσι; membranæ φύσει. [f] τὸ ἔμψυχον cum Orellio; libri τὰν ψυχὰν. [g] λάμψιν; codices γραμμὰν. [h] διὰ cum Cantero ; deest in membranis.)

5.

ΕΚ ΤΩΝ ΜΕΤΩΠΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΠΕΡΙ ΑΡΕΤΗΣ.

Ἀρετά ἐντι ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. ἕκαστον γὰρ τῶν ἐόντων τέλειον καὶ ἄκρον γίνεται κατὰν οἰκείαν τᾶς φύσιος ἀρετάν. ἵππω τε γὰρ ἀρετά ἐντι ἃ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ ἵππω φύσιν, καὶ ἐπὶ τῶν μερέων δὲ τῶν καθ' ἕκαστον ὁ αὐτὸς λόγος. ὀπτίλων τε γὰρ ἀρετὰ ὀξυδορκία· αὕτα [a] δ' ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος. καὶ οὐάτων ἀρετὰ ὀξυακοία· αὕτα [b] δ' ἀκρότας ἐντὶ τᾶς οὐάτων φύσιος. καὶ ποδῶν ἀρετὰ ποδώκεια· αὕτα [c] δ' ἀκρότας ἐντὶ τᾶς ποδῶν φύσιος. Ἀνάγκα δ' ἀρετὰν πᾶσαν τρία ταῦτ' ἔχεν, λόγον καὶ δύναμιν καὶ προαίρεσιν· λόγον μέν, ᾧ κρίνει καὶ θεωρεῖ· δύναμιν δέ, ᾇ ἀντέχει καὶ κρατεῖ· προαίρεσιν δέ, ᾇ στέργει καὶ ἀγαπᾷ. Τὸ μὲν ὧν κρίνεν καὶ θεωρέν ἐντι τῶ διανοατικῶ μέρεος τᾶς ψυχᾶς, τὸ δ' ἀντέχεν καὶ κρατὲν ἴδιον τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς, τὸ δὲ στέργεν καὶ ἀγαπᾶν κοινὸν τᾶς τῶ διανοατικῶ καὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. συνέστακε γὰρ προαίρεσις ἐκ διανοίας καὶ ὀρέξιος· ἃ μὲν ὧν διάνοια ἀπὸ τῶ λογικῶ μέρεός ἐντι τᾶς ψυχᾶς [d], ἃ δὲ ὄρεξις ἀπὸ τῶ ἀλόγω. Τὸ δὲ πλᾶθος τᾶν ἀρετᾶν ἁπασᾶν ἐκ τῶν μερέων τᾶς ψυχᾶς κατίδοιτό κά τις, ὡσαύτως δὲ καὶ τὰν γένεσιν καὶ τὰν σύστασιν τᾶς ἀρετᾶς. ἐπὶ γὰρ τῶν μερέων τᾶς ψυχᾶς δύο τὰ πρᾶτα, [e] τὸ μὲν λογιστικὸν τὸ δ' ἄλογον· καὶ λογιστικὸν μέν, ᾧ κρίνομες καὶ θεωρέομες· ἄλογον δέ, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα. ταῦτα δὲ ἀλλάλοις ἢ συμφωνοῦντι ἢ διαφωνοῦντι, ἃ δὲ μάχα καὶ διαφωνία γίνεται αὐτοῖς δι' ὑπερβολὰν καὶ ἐλλειψιν. φανερὸν ὧν ὅτι, ὅκκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐπικρατῇ [f] τῶ ἀλόγω, γίνεται καρτερία καὶ ἐγκράτεια· ὅκκα δὲ τὸ ἄλογον μέρος τᾶς ψυχᾶς τῶ λογιστικῶ, ἀκρασία καὶ μαλακία· ὅκκα δὲ τὸ μὲν ἀγῆται τὸ δ' ἕπηται, καὶ ἀμφότερα συμφωνῇ ἀλλάλοις, τὸ τανικαῦτα ἀρετά. Ἃ μὲν ὧν καρτερία καὶ ἐγκράτεια γίνεται μετὰ λύπας· ἀλλ' ἃ μὲν καρτερία ἐν τῶ ἀντέχεν πόνῳ, ἃ δ' ἐγκράτεια ἐν τῶ ἀντέχεν ἁδονᾷ, ἃ δ' ἀκρασία καὶ μαλακία ἐν τῶ μὴ ἀντέχεν μηδὲ κρατέν. καὶ διὰ τοῦτο συμβαίνει φεύγεν τἀγαθὰ τὼς ἀνθρώπως διὰ λύπαν, ἀποβαλὲν δ' αὐτὰ διὰ ἁδονάν. Καὶ τοὶ ἔπαινοι δὲ καὶ ψόγοι καὶ

---

it habitus et perturbationum mediocritas, affectibus neque acua esse neque nimis obnoxia. Namque ut affectuum acuitas immotum et languidum ad honesta quævis animum reddit, ita conturbatum et inconsideratum immodica concitatio. Oportet igitur affectum non aliter ostendi in virtute quasi latentem, quam umbram aut lumen in pictura : quod enim vivum ac tenerum veritatemque exprimens pingitur, id colorum bonitate adjutum per hæc maxime efficitur. Sic et animi perturbationes naturalis virtutis impetu et instinctu animantur. Ut enim ex istis perturbationibus oritur virtus, ita rursum orta cum illis crescit, quemadmodum ex gravi et acuto concentus, ex calido et frigido temperies, ex gravi et levi æquilibrium. Non sunt igitur ex animo tollendæ perturbationes, quandoquidem id non conducit, sed cum rationis compote animi parte per decorum et mediocritatem apte conjungendæ.

5.

E METOPI PYTHAGOREI LIBRO DE VIRTUTE.

Hominis virtus est humanæ naturæ perfectio. Etenim propria naturæ suæ virtute perfectum quidque ac supremum redditur. Namque equi virtus est ea quæ naturam equi ad summum perducit singularumque partium eadem ratio est. Quippe oculorum virtus eorum acies est, in qua oculorum naturæ excellentia consistit. Item aurium virtus acer auditus est, qua in re aurium naturæ præstantia cernitur. Præterea pedum virtus velocitas est, in qua pedum naturæ perfectio versatur. Necesse est autem omnem virtutem tria hæc habere, rationem, facultatem, consilium : rationem quidem, qua judicat et contemplatur; facultatem vero qua resistit et vincit; consilium de-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰ καλὰ πάντα καὶ κακὰ [g] τὰ περὶ τὸν ἄνθρωπον γίνεται ἐν τούτοις τοῖς μέρεσι τᾶς ψυχᾶς. Καὶ καθόλω μὲν ἃ τᾶς ἀρετᾶς σύστασις γίνεται τοῦτον τὸν τρόπον· τὰ δὲ εἴδεα αὐτᾶς καὶ τὰ μέρεα οὕτως κά τις ἀθρήσαι. ἐπεὶ γὰρ τᾶς ψυχᾶς δύο μέρεα, τὸ μὲν λογιστικὸν τὸ δὲ ἄλογον, καὶ τὸ μὲν λογιστικόν ἐντι ᾧ κρίνομες καὶ θεωροῦμες, τὸ δ' ἄλογον ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα, τῶ δὲ ἀλόγω τὸ μὲν θυμοειδὲς τὸ δ' ἐπιθυματικόν, καὶ τούτω τὸ μὲν οἷον ἀμυντικὸν καὶ ὑπερμαχατικὸν ποττὼς πλασίον θυμοειδὲς ὀνυμάζεται, τὸ δ' οἷον ὀρεκτικὸν καὶ ποθατικὸν τᾶς οἰκείας τῶ σώματος συστάσιος ἐπιθυματικόν· φανερὸν ὡς κατὰ λόγον τοῖς μέρεσι τούτοις τᾶς ψυχᾶς καὶ τὸ πλᾶθος τᾶν ἀρετᾶν ἀκολούθακεν καὶ ταὶ διαφοραὶ καὶ ἰδιότατες αὐτᾶν.

(Stobæus Flor. I, 64. Reposui : [a] αὖτα; codd. αὐτὰ. [b] αὖτα; libri αὐτὰ. [c] αὖτα; libri καὶ αὐτὰ. [d] τᾶς ψυχᾶς cum Hirschigio; membranæ τᾷ ψυχᾷ. [e] πρᾶτα; codd. πρῶτα. [f] ἐπικρατῇ cum Hirschigio; libri ἐγκρατῇ. [g] καὶ κατὰ cum Meinekio; deest in membranis.)

6.

ΕΚ ΤΩΝ ΚΛΕΙΝΙΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΠΕΡΙ ΟΣΙΟΤΗΤΟΣ ΚΑΙ ΕΥΣΕΒΕΙΑΣ.

Πᾶσα μὲν ὧν ἀρετὰ τελεοῦται, καθάπερ ἐν ἀρχᾷ διώρισται, ἐκ λόγω καὶ προαιρέσιος καὶ δυνάμιος. Τούτων δὲ καθ' ἑαυτὸ ἕκαστον οὐκ ἀρετᾶς μέρος ἐ ἀλλ' αἴτιον ἀρετᾶς. Ὅσοι μὲν ὧν ἔχοντι τὸ νοατι καὶ γνωστικὸν μέρος αὐτᾶς, δεινοί τε καὶ συνετοὶ μαίνονται· ὅσοι δὲ τὸ ἀθικόν τε καὶ προαιρετικ χρήσιμοί τε καὶ ἐπιεικέες.

Πάσας [a] δεῖ τὰς αἰτίας ἀναιρέν, δι' ἃς ἀδικὲν φυκεν ἄνθρωπος. Αὖται δὲ τρεῖς τυχνάνοντι· φιλαδ μὲν ἐν ταῖς ἀπολαύσεσι ταῖς διὰ σώματος, πλεονεξία ἐν τῷ κερδαίνεν, φιλοδοξία δὲ ἐν τῷ καθυπερέχεν ἴσων τε καὶ ὁμοίων. Δεῖ τοιγαρῶν γνωρίζεν, ὅτι τ τοις ἀντιθέμεν οἷόν τέ ἐντι, ἃ μὲν φόβον ἐμπα σκευάζοντι τοῖς ἀνθρώποις, ἃ δὲ αἰσχύναν, ἃ δὲ ἐπιθυμίαν· φόβον μὲν δὴ τῶν νόμων, αἰσχύναν δὲ θεῶν, ἐπιθυμίαν δὲ τῶν λόγων. Διδάσκεν ὧν δεῖ νέως ἐξ ἀρχᾶς τάν τε τῶν θεῶν τιμὰν καὶ τὰν τῶν νόμ ἐκ τῶνδε γὰρ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθ πινον καὶ βίος ὃς [b] ὁσιότατός τε καὶ εὐσεβείας μεθέ καὶ ὀρθοπλοεῖ.

(Stobæus Flor. I, 65-66. Scripsi : [a] πάς codd. ὁπόταν vel ὁπόσας. [b] βίος ὃς ὁσιότατος c Halmio; libri βίος ὁσιότατος.)

2. Ἐμοὶ μὲν τὸ τοῦ Πυθαγορικοῦ Κλεινίου ἀρέσκει. Λέγεται γὰρ ἐρωτηθείς, ὁπηνίκα δεῖ μάλι γυναικὶ προσιέναι· ὅταν, φάναι, μάλιστα τυγχά βλαβῆναι βουλόμενος.

(Plutarchus Sympos. lib. III, 6, 3 vol. pag. 135 ed. Hutten.)

---

nique quo amat ac diligit. Jam judicare et contemplari intelligentis animi partis est proprium, resistere et vincere ratione carentis animi partis, amare ac diligere commune utriusque, tam quæ ratione pollet, quam quæ ea caret. Quum enim ex intelligentia et appetitu consilium constet : illa ad rationis compotem animi partem, hic ad expertem refertur. Cæterum virtutum omnium numerum ex animi partibus licet cognoscere, itidemque virtutis ortum et constitutionem. Etenim animi partes duæ sunt præcipuæ, altera compos rationis, expers altera : et rationalis quidem, qua judicamus et contemplamur; irrationalis vero, qua cupimus et appetimus. Hæ porro vel consentiunt inter se vel dissentiunt, quæ quidem pugna et discordia oritur inter eas propter abundantiam vel defectum. Est igitur manifestum, quando animi pars rationis compos expertem regat, tolerantiam gigni et continentiam; quando autem pars irrationalis rationalem regat, incontinentiam et mollitiem effici; quando vero altera imperet, pareat altera et inter se ambæ consentiant, tunc virtutem nasci. Ac tolerantia quidem et continentia cum dolore gignuntur : sed tolerantia quidem in perferendo labore versatur, continentia voluptati resistit, incontinentia vero ac mollities nec resistit nec vincit. Quo fit ut bona homines propter dolorem fugiant, propter voluptatem amittant. Quin et laudes quoque et vituperationes et quæcunque in homine vel bona vel mala sunt in his animi partibus cernuntur. Et hoc quidem pacto virtu universum constituitur : species autem ejus et partes sunt considerandæ. Quum enim duæ sint animi par altera rationalis, altera rationis expers, et rationalis qui sit qua judicamus et contemplamur, ratione carens qua cupimus et appetimus, irrationalis autem partis cundia et cupiditas sit, hujusque ea vis qua nos q ulciscimur et contra alios defendimus, iracundia voce illa vero qua propriam corporis constitutionem quasi petimus ac desideramus, cupiditas : liquet proportione animi partibus virtutum etiam numerum earumque crimina et proprietates convenire.

6.

E CLINIÆ PYTHAGOREI LIBRO DE SANCTITATE ET PIETATE.

Quævis virtus perficitur, ut initio definitum est, tione, voluntate, facultate. Horum autem singula virtutis partes, sed causæ sunt. Itaque qui intelligi et cognoscente ejus parte valent, ii periti et prudei recte dicuntur; qui vero moribus probatis et volun pollent, commodi et æqui.

Tollendæ sunt causæ omnes, propter quas injuste a homines solent. Sunt autem tres, intemperantia corp voluptatum, lucri cupiditas, ambitio denique in anti

7.

ΕΚ ΤΩΝ ΚΡΙΤΩΝΟΣ Η ΔΑΜΙΠΠΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΠΕΡΙ ΦΡΟΝΗΣΕΩΣ ΚΑΙ ΕΥΤΥΧΙΑΣ.

α'. Φρονασις καὶ εὐτυχία ὧδε ἔχοντι ποτ' ἄλλαλα. φρόνασις μὲν τὸ ῥητὸν καὶ λόγον ἔχον· τεταγμένον γάρ τι καὶ ὡρισμένον ἐντί· εὐτυχία δὲ τὸ ἄῤῥητον καὶ τὸ ἄλογον· ἄτακτον γάρ τι καὶ ἀόριστόν ἐντι. καὶ τὸ μὲν ἀρχᾷ καὶ δυνάμι πρᾶτον, τὸ δὲ ἀρχᾷ καὶ δυνάμι δεύτερον· τὸ μὲν γὰρ κυβερνᾶν καὶ ὁρίζεν πέφυκε, τὸ δὲ κυβερνᾶσθαι καὶ ὁρίζεσθαι. Λαμβάνοντι μάν τοί γε συναρμογὰν ἀμφότερα, φρονάσιος καὶ εὐτυχίας εἰς ταυτὸ συνδραμοίσας. αἰεὶ γὰρ δεῖ τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν ἔχεν ὃ περανεῖ τε καὶ συντάξει, τὰν δὲ ἄῤῥητον καὶ ἄλογον ἔχεν ὑφ' ὧ περανθήσεταί τε καὶ συνταχθήσεται. Ἔχει γὰρ οὕτως ὁ λόγος κατὰ πάντων, ὅ τε τᾶς ἀπείρου φύσιος καὶ τᾶς περαινοίσας. τὰ μὲν γὰρ ἄπειρα φύσιν ἔχει περαίνεσθαί τε καὶ συντετάχθαι ὑπὸ τῶν λόγον ἐχόντων αἰεὶ [a] καὶ φρόνασιν· ὕλας γὰρ καὶ οὐσίας ἔχοντι τάξιν· τὰ δὲ περαίνοντα ἐξ αὐτῶν [b] συντετάχθαι τε καὶ ὡρίσθαι· τέχνας γὰρ καὶ αἰτίας ἐνεργετικᾶς ἐπέχοντι τάξιν.

(Stobæus Flor. III, 74. Scripsi : [a] αἰεὶ; codd. ἀεὶ. [b] αὐτῶν; membranæ αὐτέων.)

β'. Ἃ δὲ συναρμογὰ ταυτᾶν τᾶν φυσίων κατ' ἄλλα καὶ ἄλλα γινομένα μεγάλαν καὶ ποικίλαν πεποίηκε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἔν τε γὰρ τᾷ τῶν ὅλων περιοχᾷ συναρμογὰ ἀμφοτέρων τᾶν φυσίων, τᾶς τε ἀεικινάτω φύσιος καὶ τᾶς ἀειπαθέος, κόσμος ἐντί· ἄλλως γὰρ οὔ κα ἐνεδέχετο σώζεσθαι τό τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῶ γεννατῶ ποτὶ τὸ θεῖον καὶ τῶ ἀειπαθέος ποτὶ τὸ ἀεικίνατον. ἔν τε τῷ ἀνθρώπῳ ἁ συναρμογὰ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον, ἀρετά. οὔτε γὰρ ἐν τούτοις ἐνδέχεται, στάσιος ἐοίσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἀποτελεσθῆμεν ἀρετάν. καὶ ἐν πόλι δὲ τῶν [b] ἀρχομένων ποτὶ τὼς ἄρχοντας συναρμογὰ ἀποτελεῖ κράτος καὶ ὁμόνοιαν· τὸ μὲν γὰρ ἄρχεν ἴδιον τῶ κρείσσονος, τὸ δ' ἄρχεσθαι ἔργον τῶ χείρονος, τὸ δὲ κρατὲν καὶ ὁμονοὲν κοινὸν ἀμφοτέρων. ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐπὶ τῶ ὅλω καὶ τᾶς ἐπὶ τῶ οἴκω συναρμογᾶς· συντίθεταί τε καὶ συντάσσεται, σπωδᾶς [c] καὶ παιδιᾶς ποτὶ λόγον ἐς τὸ αὐτὸ συνδραμοίσας, καὶ λύπας δὲ καὶ ἀδονᾶς καὶ εὐτυχίας καὶ ἀτυχίας. Χρῄζει γὰρ ὁ βίος τυγχάνειν καὶ ἀνέσιος καὶ ἐπιτάσιος, καὶ σκυθρωπότατος καὶ διαχύσιος, κοὶ εὐτυχίας καὶ ἀτυχίας. ἃ μὲν γὰρ συνέχειν καὶ συνάγειν δύναται τὸν νόον ἐς τὰν εὐμαχανίαν καὶ ἐς τὰν φρόνασιν, ἃ δ' ἄμπαυσιν καὶ διάχυσιν παρεχόμενα καινότερον καὶ εὔψυχον αὐτὸν αὖ παρασκευάζοντι ποτὶ τὰς πράξιας. εἰ δὲ τὸ ἓν τούτων ἐνδυναστεύοι κατὰ τὸν βίον, ἑτερομερής τε καὶ ἑτεροκλινὴς γίνεται ὁ βίος, ὅκα

---

lendis paribus atque æqualibus. Sciendum igitur est, his opponi posse quæ metum hominibus incutiant, et quæ verecundiam, et quæ desiderium : metum quidem legum, verecundiam autem deorum, desiderium denique ingenuarum artium. Quocirca jam ab ineunte ætate pueri sunt deorum cultu et legum observantia imbuendi : ex his enim appareat, omnem actionem humanam vitamque sancte et per virtutem actam etiam felicem fore.

2. Mihi quidem Cliniæ Pythagorici dictum admodum probatur, qui interrogatus, quando res cum uxore esset habenda, respondit : Cum maxime lædi voles.

7.

E CRITONIS VEL DAMIPPI PYTHAGOREI LIBRO DE PRUDENTIA ET FELICITATE.

I. Prudentia et bona fortuna sic se habent altera ad alteram, ut prudentia res dicenda et rationis particeps sit, quandoquidem ordinatum quiddam ac definitum est; bona autem fortuna res tacenda et rationis expers sit, quia inordinatum atque indefinitum quiddam est. Illa prior est dignitate et potentia, hæc utroque nomine posterior : nam ut illa gubernare ac determinare, ita gubernari hæc ac determinari solet. Junguntur tamen etiam, utraque et prudentia et fortuna in unum coeunte. Semper enim natura dicenda et ratione prædita habere debet, quod terminet atque componat, tacenda et rationis expers, a quo terminetur et componatur debet habere. Sic enim et infinitæ et finientis naturæ ratio per omnia se habet, ut quæ quidem infinita sint ab iis quæ ratione et prudentia semper valeant finiantur et componantur, propterea quod materiæ et substantiæ locum tenent : quæ autem finiunt per sese composita et finita sint, quia artis et efficientis causæ locum obtinent.

II. Harum porro naturarum in variis rebus facta compositio magnam et variam peperit compositorum differentiam. Namque in universo utriusque tam semper mobilis quam semper patibilis naturæ compositio mundus est : neque enim aliter rerum compages et universitas salva posset manere, nisi genitum cum divino et semper patibilis portio cum semper mobili essent copulata. In homine vero partis animi ratione carentis cum rationis compote concordia fit virtus. Nam hic quoque, partibus utrimque dissidentibus, virtus exsistere non potest. Similiter in civitate principum cum civibus conjunctio potentiam et concordiam efficit : quippe ut imperium potioris proprium est, ita obtemperatio deterioris, potentia autem et concordia ad utrosque pertinet. Jam idem in universo et in familia concinnitatis modus est, quæ componitur et constituitur, seriis et jocis, tristibus et lætis, prosperis et adversis rationi convenienter in unum coeuntibus. Requirit enim vita tum remissionem et intentionem, tum mœsti-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν ἐπὶ τὸ σκυθρωπόν τε καὶ χαλεπὸν καταφερόμενος, ὄκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον. Ἁ δὲ συναρμογὰ τούτων ἁπάντων ὀφείλει γίνεσθαι ποτὶ τὰν φρόνασιν· αὕτα [d] γὰρ ἃ διενεργοῖσά ἐντι τό τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξισι, διόπερ καὶ τᾶν ἀλλᾶν ἀρετᾶν αὕτα καὶ [e] ἀγεμών ἐντι καὶ μάτηρ. πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. Περαίνεται δὴ ὁ λόγος ἤδη μοι κατ' εὐθεῖαν. τὸ γὰρ ἄλογον καὶ τὸ ῥητὸν ἐν πᾶσιν ἕνι, καὶ τὸ μὲν ὁρίζει καὶ περαίνει, τὸ δὲ ὁρίζεται καὶ περαίνεται, τὸ δ' ἐξ ἀμφοτέρων αὐτῶν συγκείμενον ἅ τε τῷ ὅλῳ καὶ τῷ παντὸς συναρμογά ἐντι.

(Stobæus Flor. III, 75. Posui : [a] οὔ κα ἐνεδέχετο; codd. οὐκ ἐνεδέχετο· [b] τῶν ἀρχομένων; libri τῶν μὲν ἀρχομένων. [c] σπωδὰς καὶ παιδιᾶς cum Hirschigio; membranæ ἐπῳδὰς καὶ παιδείας. [d] αὕτα; libri αὐτὰ. [e] αὕτα καὶ; libri αὕτ' ἀν.)

γ'. Ὁ γὰρ θεὸς οὕτως ἐτεχνάσατο τὸν ἄνθρωπον, δηλόμενος [a] αὐτὸν μήτ' ἀδυνάτως ἔχειν ποττὰν τῶν καλῶν ὁρμάν, μήτε μὰν πάλιν ἀπροαιρέτως. ἀρχὰν γὰρ αὐτῷ ἐνεφύτευσε τοιαύταν, ἅτις καὶ τὸ δυνατὸν ἅμα περιέχει καὶ τὸ προαιρετόν, ἵνα τᾶς μὲν δυνάμιος καὶ κατοχᾶς τῶν ἀγαθῶν αὐτὸς αἴτιος ᾖ, τᾶς δ' ἐπὶ ταῦτα παρορμάσιος καὶ κατ' ὀρθὸν λόγον ὀπαδήσιος, ὁ θεός. Καὶ διὰ τοῦτο ἀναθροῦντα [b] αὐτὸν ἐποίησεν εἰς τὸν οὐρανόν, καὶ πάντων [c] νοατικόν, καὶ ὄψιν αὐτῷ ἐνέφυσε τοιαύταν, τὸν προσαγορευόμενον νόον, ᾧ τὸν θεὸν ὄψεται. οὔτε γὰρ ἄνευ θεῶ τὸ ἄριστον καὶ τὸ κάλλιστον ἦν εὑρεῖν, οὔτ' ἄνευ νόω ἰδεῖν τὸν θεὸν αὐτόν, ἐπειδὴ πᾶν τὸ θνατὸν φύσιν ἔχει μετ' ἀφροσύνας συγγενέος ῥιζοῦσθαι· καὶ ταύταν οὐχ ὁ θεός ἐντι ὁ δωρούμενος, ἀλλ' ἃ τᾶς γενέσιος ὠσία καὶ τᾶς αὐτῶν ψυχᾶς ἁ προαίρεσις.

(Stobæus Eclog. lib. II. cap. 8, p. 350 ed. Heeren; vol. II, pag. 651 ed. Gaisford. Reposui : [a] δηλόμενος; codd. δηλούμενος. [b] ἀναθροῦντα; libri ἀναθρώσκοντα. [c] καὶ πάντων; membranæ καὶ αὐτὸν.)

8.

ΕΚ ΤΩΝ ΠΩΛΟΥ ΛΕΥΚΑΝΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΠΕΡΙ ΔΙΚΑΙΟΣΥΝΗΣ.

Δοκεῖ μοι τῶν ἀνδρῶν τὰν δικαιοσύναν ματέρα τε καὶ τιθάναν τᾶν ἀλλᾶν ἀρετᾶν προσειπέν· ἄτερ γὰρ ταύτας οὔτε σώφρονα, οὔτε ἀνδρῆον, οὔτε φρόνιμον οἷόν τε ἦμεν. Ἁρμονία γάρ ἐντι καὶ εἰράνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. Δηλοφανέστερον δέ κα γένοιτο τὸ ταύτας κράτος ἐτάζουσιν ἁμῖν τὰς ἄλλας ἕξιας. μερικὰν γὰρ ἔχοντι αὗται [a] τὰν ὠφέλειαν καὶ ποθ' ἕν [b], ἃ δὲ ποθ' ὅλα τὰ συστάματα καὶ ἐν πλάθει. Ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν ὅλαν ἀρχὰν διαστραταγοῖσα πρόνοιά τε καὶ ἁρμονία καὶ δίκα καὶ νόος [c] τινὸς θεῶν οὕτω ψαφιξαμένω· ἐν πόλι [d] δὲ εἰράνα τε καὶ εὐνομία δικαίως κέκληται· ἐν οἴκῳ δ' ἐντὶ ἀνδρὸς μὲν καὶ γυναικὸ

---

tiam et hilaritatem, tum prosperam fortunam et adversam. Nam res adversæ contrahere animum ingeniique vim ad industriam ac prudentiam convertere possunt, prosperæ quietem et voluptatem animo afferentes recentiorem promptioremque ad actiones eum reddunt. Quodsi alterutrum solum in vita superet, nimium in alteram partem verget atque inclinabit, aut ad tristitiam et molestiam proclivior, aut ad negligentiam et levitatem. Cæterum concinna horum omnium conjunctio ad prudentiæ normam dirigi debet : hæc enim actionum et infinitam et finitam naturam efficit, ideoque etiam reliquarum virtutum dux et mater est : quia omnes virtutes ad hujus præscriptum et regulam compositæ constitutæque sunt. De reliquo mea oratio hic recte finitur. Nam res irrationalis itemque res dicenda omnibus ita continentur, ut altera determinet ac finiat, altera determinetur ac finiatur. Quamobrem quod ex utraque constat rerum compagis atque universitatis concinnitas est.

III. Etenim deus sic hominem fabricatus est, quia volebat, eum nec potestate nec voluntate ab honestarum rerum studio abhorrere. Namque tale principium illi ingenuit, quod et potestatem simul et voluntatem contineret, ut potestatis quidem et possessionis bonorum ipse auctor sit, appetitus autem et justi desiderii deus. Quocirca in cœlum eum erectum finxit omniumque rerum intelligentem, visumque talem indidit, qui mentis nomine appellatur, cujus ope deum conspiceret. Nam neque sine deo optimum et honestissimum consequi licebat, neque sine mente deum ipsum videre, quandoquidem omne mortale ingeneratæ imprudentiæ adhærescere solet, non tam dei munere, quam ortus proprietate et animi impetu.

8.

E POLI LUCANI PYTHAGOREI LIBRO DE JUSTITIA.

Justitia inter homines videtur mihi reliquarum virtutum mater et nutrix appellanda, siquidem sine ea neque temperantem, neque fortem, neque prudentem cuiquam esse licet. Est enim animi totius cum concinnitate pax atque harmonia. Fiet autem ejus vis manifestior, si cæteros habitus consideraverimus. Ut enim hi ex parte atque ad unum aliquid prosunt : ita illa ad integros cœtus constituendos atque in hominum multitudine valet. In mundo igitur ipsa omnem principatum obtinens providentia et harmonia et jus et mens dei cujusdam, a quo cuncta ita descripta sunt, vocatur : in civitate autem pax et æquitas merito nominatur : in domo vero mutua mariti et uxoris

τοτ' ἀλλάλως ὁμοφροσύνα, οἰκετᾶν δὲ ποτὶ δεσπότας ὔνοια, δεσποτᾶν δὲ ποτὶ θεράποντας καδεμονία· ἐν σώματι δὲ πρᾶτα μὲν καὶ ἅπασιν ἀγαπατότατα ζῴοις τέ τε ὑγίεια καὶ ἀρτιότας· ἐν δὲ ψυχᾷ σοφία ἁ ἐκ τᾶς ἐπιστάμας τε καὶ δικαιοσύνας γενομένα παρ' ἀνθρώποις. Αἱ δ' αὔτα[e] τὸ ὅλον καὶ τὰ μέρεα οὕτω παιδαγωγεῖ τε καὶ σώζει ὁμόφρονα καὶ ποτάγορα ἀλλάλοις ἐπεργαζομένα, πῶς οὐ μάτηρ καὶ τιθάνα πασᾶν τε καὶ πάντων παμφαεί κα λέγοιτο;

(Stobæus Flor. IX, 54. Posui : [a] αὗται; codd. αὐταὶ. [c] ἓν cum Orellio; libri ἕνα. [c] νόος: libri οὗς. [d] πόλι; codd. πόλει. [e] αἱ δ' αὗτα, libri ἡ δ' αὐτά.)

9.

ΔΙΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΚΑΛΛΟΝΗΣ.

Τίς ἀγωγὰ βιοτᾶς ναμερτέως[a] εὐδαίμων ζωά; καὶ τίνας ποκὰ χρὴ κρίνειν εὐδαίμονας; ἢ νὴ Δία τὼς σκάνεος καλλονὰν ἔχοντας, δώραμα φύσιος; τούτως γὰρ ὡς ἔνι μασσότατα[b] οἱ πλεῦνες ὡς θεὼς ἢ θεῶν ἱδρύματα ὑποτρέχοντι[c] καὶ θεραπεύοντι, θρησκεύοντες τὰν καλὰν θρησκείαν. Καὶ ὄντως ἔμοιγε κατοπτίλλεται ἔχεν τι σεμνὸν καὶ θαυμασμῶ ἄξιον. τὼς μὲν γὰρ ἄτερως τῶν ἀνθρώπων χάριν ἀπαιτεῦντι οἱ εὖ ἔρξαντες, τοῖς δ' εὐμόρφοις τοὐναντίον οἱ εὐεργετήσαντες χάριν ἔχοντι, ὅτι καὶ ὑπέμειναν εὖ παθὲν[d] ὑπ' αὐτῶν. Τούτως ὦν εὐδαίμονες[e] οἶδα ὅτι ἔμμεν δοκεῦντι τοῖς τὰν ὥραν αὐτῶν βολλομένοις[f] ὀπωρίξασθαι· ποθ' ὡς ὑπὸ νομοθέτα τοιόσδε ἀπαντασεῖται λόγος οὐκ ἀσυφάλως μυθεύμενος τάδε· Ἐγών, ὦ κράτιστοι ἀνδρῶν, ποτιβλέπων ἅπαντα τὰ νέα φυλακᾶς τε καὶ ἐπιμελείας δεόμενα, καθάπερ τὰ ζωΰφια[g] περὶ τὸν πρᾶτον καιρὸν τᾶς αὐξήσιος, τῷ ἀκροσφαλέως ἔχεν ποτὶ σωτηρίαν, ὑπέλαβον μὴ παρέργως δεῖν αὐτῶν με φυλάσσεν τὰν ἀσθένειαν. ὑμεῖς δέ γα, οἱ ὀριγνᾶσθε[h] σωματικᾶς ἁδονᾶς, τέλος ποιεύμενοι, καθάπερ κνώδαλα, τὸν κόρον τῶ πλατιασμῶ, οὐχ ὅτι χάριτος καὶ τιμᾶς, ἀλλὰ καὶ μέμψιος ποτὶ κολάσι[i] δικαίως ἐστὲ ἄξιοι τυγχάνεν, διὰ τᾶς αὐταυτῶν ἀκολασίας ἐμβαλλόμενοι ῥύπον ἐς ζωὰν[k] ἐλευθέρων παίδων.

(Ἐν ταυτῷ.) Ἃ δέ γα εὐμορφία τοῖς ποτοκέλλουσιν[l] ἁδονὰς παρέχει, ποθερπύζοισα καθάπερ ἄγαλμα ἢ γραφὰ ἢ ἄτερον χειρόκματον ἐπίτευγμα. Διὸ κἂν θέλοιμι ἔγωγα ἄτερον ἔχεν τὸ κάλλος ἢ αὐτὸς ἦμεν εὔμορφος· ὥσπερ καὶ οἶνον πιὲν ἁδὺν καὶ πολύωρον, ἢ αὐτὸς ἦμεν οἶνος,[m] καὶ χιλὸν ποτιφέρεσθαι ἁδὺν καὶ ἀμπέχεσθαι ἀμπεχόναν καλάν, ἢ ἦμεν αὐτὸς χιλὸς ἢ ἀμπεχόνα. Ἀλλ' ὑποδραμών τις σχεδὸν φάσει· ἀλλ' ἐγὼ χαίρων ἐπὶ τᾷ ἐμαυτῶ εὐμορφίᾳ ταύτᾳ καὶ ἀτρεκέως ἀγάλλομαι.[n] Ποθ' ὃν ὑποβλήδαν φατίζω[o] πάλιν· Ἀγάλλευ, μειράκιον, εὐδαίμονα μὲν γὰρ οὐκ ἔχω ὅπως τυ φατίζω[p] ναμερτέως μυθεύμενος.

(Stobæus Flor. LXV, 16-17. Scripsi : [a] τίς ἀγωγὰ βιοτᾶς ναμερτέως εὐδαίμων ζωά; cum Valc-

---

concordia, famulorum erga heros benevolentia, dominorum de famulis cura : præterea in corpore, quæ prima sunt et omnibus animalibus carissima, sanitas ac membrorum integritas : in animo denique sapientia quæ inter homines e scientia et justitia constat. Quum igitur hæc virtus totum simul ac singulas partes ita moderetur et conservet, ut mutuam earum concordiam et concentum efficiat, quomodo non mater et nutrix qua virtutum qua rerum omnium cunctorum suffragiis dicatur?

9.

DII PYTHAGOREI E LIBRO DE PULCHRITUDINE.

Quænam vitæ agendæ ratio dicenda est vita vere beata? et qui mortalium beati prædicandi? illine per Jovem, qui corporis pulchritudine præditi sunt naturæ dono? Hos enim plurimi tanquam deos aut deorum delubra quam maxime colunt et venerantur, obsequia iis præstantes haud sane laudanda. Et revera mihi videtur pulchritudo nescio quid reverendum et admiratione dignum continere. A cæteris enim hominibus qui eis benefecerunt gratiam reposcunt, formosis vero contra ipsi beneficiorum auctores gratiam habent, quod ea accipere ab ipsis sustinuerint. Hos igitur scio beatos esse videri illis qui istorum pulchritudine frui volunt : quibus talis a legumlatore profecta oratio non male in hunc modum respondebit : « Quum videam, viri optimi, omnes puerulos custodia ac diligentia indigere, haud secus atque bestiolas primo incrementi tempore, propterea quod de salute sua periclitentur, existimavi non levem infirmitatis eorum mihi curam agendam esse. Vos autem qui corpoream voluptatem desideratis, finem belluarum instar libidinis satietatem vobis proponentes, non solum nulla gratia et honore digni estis, sed præter pœnam etiam in reprehensionem merito incurratis, quoniam vestra intemperantia ingenuorum puerorum in vitam sordes introducitis. »

(*In eodem libro.*) Quippe pulchritudo aspicientibus voluptatem affert, tanquam statua aut pictura aut aliud opus affabre factum occurrens. Quamobrem malim equidem alium pulchritudine excellere, quam ipse formosus esse, et vinum suave ac vetustum bibere, quam ipse vinum esse, et suavem sumere cibum et veste indui pulchra, quam ipse vel cibus vel vestis esse. Sed blandis verbis aliquis fere objiciet : At ego mea pulchritudine lætus vere ea etiam superbio. Cui equidem interrupto sermone responderim : Superbi tu quidem, adolescens, non possum tamen te beatum prædicare, si verum dicendum est.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

kenario epist. ad Rœver. Opp. tom. I, p. 381; libri τίς ἀγὼν ἢ βιοτᾶς ὄντως ναμερτᾶς εὐδαίμων ζωά; [b] μασσότατα; codd. μασσότερον. cf. Maittaire de Dial. p. 188. [c] ὑποτρέχοντι καὶ θεραπεύοντι cum Gesnero; membranæ ὑπερέχουσι καὶ θεραπεύουσιν· [d] παθὲν; libri παθεῖν. [e] τούτως ὧν εὐδαίμονες οἶδα ὅτι ἔμμεν; libri τουτέως οὖν εὐδαίμονας οἶδα τᾷ ἔμμεν. [f] αὐτῶν βολλομένοις cum Toupio apud Schæfer. ad Greg. Corinth. p. 192; codd. αὐτοῖς βαλλομένοις. [g] ζωύφια cum Meinekio; libri ζωόφυτα. [h] ὑμεῖς δέ γα, οἳ ὀριγνᾶσθε σωματικᾶς ἁδονᾶς cum Sopingio ad Hesych. v. Ἀρόχεται et Kœn. ad Greg. Corinth. p. 247; libri ὑμεῖς δέ γ' ἃ ὀριγνᾶσθ' ἀρωματικᾶς ἁδονᾶς vel ὀρίγνεσθαι ἀρωματικᾶς. [i] κολάσι; libri κολάσει. [k] ἐς ζωὰν ἐλευθέρων cum Salmasio, nisi quod ille poetas partemque Dorum secutus ἐν ζωὰν posuit (cf. Ahrens. de dial. Dor. p. 359); codices ἐν ζωᾷ ἀνελευθέρων. [l] ποτοκέλλουσιν i. e. προσορῶσιν ab inusitato ὄκελλος quod pro ὀφθαλμός in Magna Græcia videtur invaluisse. Confer Annotationes ad Ocellum. [m] οἶνος cum Meinekio; codd. βουνός. [n] χαίρων ἐπὶ τᾷ ἐμαυτῶ εὐμορφίᾳ ταύτᾳ καὶ ἀτρεκέως ἀγάλλομαι; libri χαίρω ἐπὶ τᾷ ἐμαυτῶ εὐμορφίᾳ τῷ καὶ ἀτρεκῶς ἀγάλλεσθαι. [o] φατίξω; libri φατίζω. [p] φατίξω; libri φατίζω.)

10.

ΒΡΥΣΩΝΟΣ ΕΚ ΤΟΥ ΟΙΚΟΝΟΜΙΚΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΟΝ.

Οὕτως ἔχει ποτ' ἄλλαλα τἀνθρώπινα πράγματα, καθάπερ καὶ τᾶς ἁλύσιος τοὶ κρίκοι. τῆνοί τε γὰρ ἐξ ἀλλάλων ἄρτηνται, ἀλλάλοις τ' ἀκολουθίοντι, καὶ ἑνὸς ἐξ αὐτῶν ἑλκυσθέντος ὁποίου δή ποκα τό τε ὅλον καὶ τὰ ἐξ ἀρχᾶς ἀκολουθεῖ· καὶ τῶν τῶ βίω δὲ πραγμάτ[ων] ὁποῖα ἂν βούλῃ ἑλέσθαι, εὑρήσεις καὶ τὰ λοιπὰ ἀνάγκας κατὰ τὸ ἑξῆς ἀλλάλοις ἑπόμενα. Αὐτ[ίκα] γάρ, εἰ τὰ κατὰ γεωργίαν τις ἐπιτηδεύοι, ἆρ' οὐ πρ[ό]τον ἦμεν δεῖ τεκτονικάν; εἰ τεκτονικάν, δεῖ δὴ χαλκευτικάν· εἰ χαλκευτικάν, δεῖ δὴ μεταλλευτικάν. ἀλ[λ]ὰ ἵνα ἀγραυλεῖν δυνατοὶ ὦντι, δεῖ σκέπαν ἦμεν τὰν περὶ τὸ σῶμα· τοιγαρῶν [a] ὑφαντικᾶς καὶ οἰκοδομικᾶς ἐπ[ι]χρεία. Καὶ τἄλλα δὲ πάντα μαστευόμενος καὶ ἀνερ[ε]νῶν οὕτως εὑρήσεις ἔχοντα ποτ' ἄλλαλα.

Δοῦλος δὴ πᾶς ὀνομαίνεται [b] τριχῶς· ὁ μὲν [γ]ί τις δοῦλος κατὰ νόμον γίνεται [c], ὁ δὲ κατὰ φύσιν [d], ὁ δὲ καττὸν τρόπον τᾶς ψυχᾶς, ὁ κρατούμενος ὑπὸ τ[ῶ]ν ἰδίων παθημάτων τᾶς ψυχᾶς. ὁ δὲ τοιοῦτος [οὐ] ἁπλῶς δοῦλος οὐδὲ τᾷ φύσι [e] δοῦλος, ἀλλὰ τῶν π[ρ]οθῶν δοῦλος καὶ ἐν καταχρήσι [f] δοῦλος, καὶ μᾶλλ[ο]ν μοχθηρὸς ἄνθρωπος ἢ δοῦλος κατὰ φύσιν. κατὰ φύ[σ]ιν δὲ δοῦλος ὁ δυνάμενος αὐτάρκως τὰς διὰ τῶ σώματ[ος] ὑπηρεσίας παρέχεσθαι τοῖς δεσπόταις καὶ ἐν τῷ ὁδὸ πορευθῆναι καὶ φορτία βαστάξαι καὶ κακοπαθείας [κ]αὶ διακονίας ὑπομένειν, μήτε δὲ ἀρετὰν μήτε κακ[ί]αν ἐπιδεχόμενος ψυχικάν.

(Stobæus Flor. LXXXV, 15. Reposui: [a] τα[ι]γαρῶν; codd. τοιγαροῦν. [b] δοῦλος δὴ πᾶς ὀνομα[ί]νεται cum Gaisfordo; libri οὕτως δὴ πᾶσιν ἡμ[ῖ]ν ἄγρα vel ὑμῖν ἔγρετε. [c] γίνεται; codd. γίγνετα[ι]. [d] ὁ δὲ κατὰ φύσιν cum Orellio; deest in membr[a]nis. [e] οὐδὲ τᾷ φύσι; libri οὐδὲ ὁ τᾷ φύσει. [f] κατ[α]χρήσι; codd. καταχρήσει.)

11.

ΚΑΛΛΙΚΡΑΤΙΔΑ ΛΑΚΩΝΟΣ ΤΟΥ ΠΥΘΑΓΟ[ΡΕ]ΙΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΟΙΚΩΝ ΕΥΔΑΙΜΟ[Ν]ΙΑΣ.

α'. Τὸν μὲν ὦν οἶκον [a] ὑπολαπτέον ἦμεν σύσταμ[α]

10.

BRYSONIS FRAGMENTUM EX OECONOMICO.

Eo modo res humanæ invicem se habent, quo catenæ annuli, qui mutuo complexu hærent seque invicem sequuntur: quod si unum ex iis, quemcunque tandem, attrahas, tota catena cum suo principio consequetur. Ita etiam quæcunque vitæ negotia tibi sumas, reliqua necessario deinceps sequi videbis. Verbi gratia, si quis agriculturæ studeat, nonne prius haberi oportet artem fabrorum lignariorum, et ante illam æreariorum? quam rursus metallicorum ars præcedat necesse est. Sed ut rusticari possint agricolæ, corporum tegumentis indigent: ad quem finem textores ac domuum structores adesse convenit. Sic et cætera omnia, si quæras et scruteris, inter se connexa reperies.

Servus igitur omnis tripliciter nominatur: alius eni[m] ex præscripto legum servus fit, alius natura, alius pr[o]pter animi habitum, quoniam propriis animi affectibu[s] vincitur. Est autem talis neque simpliciter servus neq[ue] natura servus, sed affectuum servus et per abusum voca[bu]li servus, et homo magis improbus quam servus na[tu]ra. Cæterum natura servus est qui corporis functionu[m] dominis præstare prolixe potest, itineribus faciendis, onu[s]ribus portandis, laboribus et ministeriis tolerandis, int[e]rim neque virtutem animi neque vitiositatem accipiens.

11.

CALLICRATIDÆ LACONIS PYTHAGOREI EX LIBRO DE FAMILIARUM FELICITATE.

1. Familiam igitur existimandum est esse communem

οινωνίας συγγενικᾶς. Σύσταμα μὲν πᾶν ἔκ τινων ναντίων καὶ ἀνομοίων σύγκειται, καὶ ποτὶ ἕν τι τὸ ριστον συντέτακται, καὶ ἐπὶ τὸ κοινὸν συμφέρον ταμφέρεται. ὅ τε γὰρ ὀνομαινόμενος χορὸς σύταμά τί ἐντι κοινωνίας ᾠδικᾶς, καὶ ποτὶ ἕν τι κοιον ἐπαμφέρεται, τὰν συνῳδίαν, ἔν τε ναὶ τὸ σύταμα τῶ σώματος περὶ τὰν νᾶα ἔκ τινων ἀνομοίων αὶ ἐναντίων συνέστακε, καὶ ποτὶ ἕν τι τὸ ἄριστον υντέτακται, τὸν κυβερνάταν, καὶ ἐπὶ τὸ κοινὸν συμέρον ἐπαμφέρεται, τὰν εὔπλοιαν. οὕτως δὲ καὶ ὁ κος, σύσταμα κοινωνίας συγγενικᾶς ὑπάρχων, ἔκ νων ἀνομοίων συνέστακε καὶ ἐναντίων μερέων, καὶ οτὶ ἕν τι τὸ ἄριστον συντέτακται, τὸν οἰκοδεσπόταν, αὶ ποτὶ τὸ κοινὸν συμφέρον ἐπαμφέρεται, τὰν ὁμοροσύναν. Ὡς δ' ἁπλῶς εἰπέν, πᾶς ὁ οἶκος καθάπερ αλτήριον τριῶν τούτων χρῄζει τυχέν, ἐξαρτύσιος, υναρμογᾶς, ἁφᾶς τινος καὶ χρήσιος μωσικᾶς. ἐξάρυσις μὲν ὦν ἐντι ἁ σύνθεσις τῶν αὐτῶ [b] μερέων πάντων, ἐξ ὧν συμπλαροῦται τό τε ὅλον καὶ τὸ πᾶν ύσταμα τᾶς συγγενικᾶς κοινωνίας· τῶν δὲ μερέων ὑτῶ [c] δύο πρᾶτα καὶ μέγιστα ἄνθρωπος καὶ κτᾶσις, ὁ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαρεχόμενον, ὥσερ δὲ καὶ ζῴω τὰ πρᾶτα μέρεα καὶ τὰ μέγιστα ψυχὰ αὶ σῶμα, καὶ ψυχὰ μέν ἐντι τὸ κυβερνῶν καὶ χρεόμεον, σῶμα δὲ τὸ κυβερνώμενον καὶ τὰν χρᾶσιν ἐμπαεχόμενον, καὶ ὁ μὲν βίος ὄργανον ἐπίκτατον ζωᾶς τᾶς νθρωπίνας, τὸ δὲ σῶμα ὄργανον σύμφυτον καὶ συγγεὲς τᾶς ψυχᾶς. Τῶν δὲ συμπλαρούντων τὸν οἶκον ἀνθρώπων τοὶ μὲν συγγενέες, τοὶ δ' οἰκῆοι· καὶ συγγενέες μὲν ἀπὸ τοῦ αὐτοῦ αἵματος γενόμενοι, ἢ τὰν αὐτὰν ἀρχὰν ἔχοντες ἐκ τῶν κατασπειράντων πράτων τὸ γένος, οἰκῆοι δὲ ἐπίκτατοι συγγενέες, ἀπὸ τᾶς τῶ γάμω κοινωνίας λαμβάνοντες τὰν καταρχάν. οὗτοι δὲ τυγχάνοντι ἤτοι πατέρες ἢ ἀδελφοὶ ἢ ματροπάτορες ἢ πατροπάτορες ἢ ἔν γέ τι τούτων ἔχοντες τῶν ἐς τὸν γάμον συνελθόντων. Εἰ δὲ καὶ τὸ τῶν φίλων ἀγαθὸν ἐπὶ τὸν οἶκον ἐπαμφέρεται (μέζων γὰρ οὕτως γίνεται καὶ μεγαλοπρεπέστερος οὐ μόνον οὐσίᾳ καὶ συγγενείᾳ πολυάριθμος [d] γενόμενος ἀλλὰ καὶ φίλων πολυπλαθίᾳ), φανερὸν ὡς καὶ τοῦτο μέζονα ποοῦν [e] τὸν οἶκον, τὸ ἑταιρικὸν εἶδος τᾶς φιλίας, συγκαταριθματέον ἐν τᾷ συμπλαρώσι [f] τῶ οἴκω. Τᾶς δὲ κτάσιος ἁ μέν ἐντι ἀναγκαία ἁ δὲ ἐλευθέριος, ἀναγκαία μὲν ἁ ποτ' αὐτὰς ἐξυπηρετοῦσα τὰς τῶ βίω χρήας, ἐλευθέριος δὲ ἁ ποτὶ κόσμον καὶ διαγωγὰν ἄγοισα τὸν ἄνθρωπον, ὥστε μὴ ἑτέρων δέεσθαι. ἁ δ' ὑπερβάλλοισα κόσμον ἐλευθέριον καὶ διαγωγάν, καταρχὰ ὕβριος καὶ ὀλέθρω ριζοῦται τοῖς ἀνθρώποις. ἀνάγκα γὰρ τὼς πολλὰ ἔχοντας τετυφῶσθαι πρᾶτον, τετυφωμένως δὲ ἀλαζόνας γίνεσθαι, ἀλαζόνας δὲ γενομένως ὑπερηφάνως ἦμεν καὶ μήτε ὁμοίως μήτε ἴσως ὑπολαμβάνεν τὼς συγγενέας καὶ ὁμοφύλως καὶ φυλέτας, ὑπερηφάνως δὲ γενομένως ὑβριστὰς ἦμεν· ὕβριος δὲ πάσας ἔσχατον καὶ πέρας ὄλεθρος. ὅκα ὦν ἐν οἴκῳ καὶ πόλι περιουσιάζῃ, τὰ περισσὰ τὸν νομοθέταν δεῖ περικόπτεν [g] καὶ περιτέμνεν [h] ὡς ἀγαθὸν γεωργὸν τὰ φυλλομα-

---

cognatorum cœtum. Omnis autem cœtus e contrariis quibusdam ac dissimilibus constat atque ad unum aliquid idque optimum compositus est et ad communem utilitatem refertur. Qui enim chorus appellatur communis est symphoniacorum cœtus et ad unum eumque communem finem, concentum, spectat: porro in navi cœtus hominum nauticorum quibusdam dissimilibus et contrariis continetur et ad unum idque optimum, hoc est gubernatorem, respicit atque communem utilitatem, prosperam nimirum navigationem, sibi proponit. Sic etiam familia, quum sit communis cognatorum cœtus, e quibusdam dissimilibus et contrariis partibus conflata est, et ad unum aliquid optimumque, videlicet patremfamilias, composita ad communem utilitatem, nempe concordiam tendit. Et ut summatim dicam, omnis familia haud secus ac psalterium his tribus indiget, apparatu, concinnitate, denique contrectatione quadam usuque musico. Apparatus igitur est compositio omnium ejus partium, quibus membrorum universitas totusque ordinis cognati cœtus absolvitur: sunt autem partium ejus duæ primæ et maximæ, homo, inquam, et res sive possessio quæ regitur usumque sui præbet, quemadmodum etiam animalis partes duæ sunt primæ et maximæ, anima et corpus e quibus illa regit et utitur, hoc regitur et usurpatur. Et opes quidem ac facultates instrumentum sunt ascititium vitæ humanæ, corpus vero nativum et cognatum animæ instrumentum. Porro hominum familiam efficientium alii quidem sunt cognati, alii affines: et cognati quidem sunt ex eodem sanguine prognati, aut ex iisdem, qui primi genus illud disseminarunt, originem trahentes; affines vero cognati ascititii, ex conjugii communione principium ducentes. Hi vero sunt vel patres vel fratres vel avi aut materni aut paterni, vel saltem aliquid eorum habent qui nuptiis conjunguntur. Quodsi etiam amicorum bonum ad familiam refertur (hoc enim pacto major fit et magnificentior, non solum substantia et cognatione adaucta, sed etiam amicorum multitudine), manifestum est hinc etiam ampliorem fieri familiam et sociale amicitiæ genus familiæ perfectioni ascribendum esse. Possessio vero alia est necessaria, alia liberalis; necessaria quidem quæ vitæ necessitatibus subvenit, liberalis vero quæ ornat et oblectat hominem, ita ut aliis non indigeat. Quæ autem ornatum liberalem et oblectamentum excedit, contumeliæ et exitii radix inter homines pullulat. Necesse est enim eos qui multa possident primo inflari, inflatos vero arrogantes fieri, arrogantes factos superbire et cognatos, gentiles tribulesque suos neutiquam sui similes aut pares existimare, superbos denique factos etiam contumeliosos evadere: contumeliæ autem omnis extremum est ac finis exitium. Quando ergo in familia ac civitate abundare cœperint facultates,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

νίοντα τᾶς κτάσιος. Τῶ δὲ συγγενικῶ καὶ οἰκηακῶ μέρεος τῶ ἀνθρώπω τριττὸν τὸ εἶδος· τὸ μὲν γάρ ἐντι ἄρχον, τὸ δ' ἀρχόμενον, τὸ δ' ἐπίκουρον τῶ οἴκω καὶ τᾶς συγγενείας· καὶ ἄρχον μὲν ὁ ἀνήρ, ἀρχόμενον δ' ἁ γυνά, ἐπίκουρον δὲ τὸ γεννατὸν ἐκ τούτων.

(Stobæus Flor. LXXXV, 16. Emendavi : [a] τὸν μὲγ ὦν οἶκον; libri τὸ μὲν ὅλον. [b] αὐτῶ μερέων; codd. αὐτῶν μερέων. [c] αὐτῶ; codd. αὐτᾶς vel αὐτῶν. [d] πολυάριθμος cum Orellio; codd. πολήριθμος vel πολύριθμος. [e] ποοῦν cum Meinekio; libri ποιεῖ. [f] συμπλαρώσι; codd. συμπλαρώσει. [g] περικόπτεν; libri περικόπτειν. [h] περιτέμνεν; libri περιτέμνειν.)

β'. Ἔχει δὲ τὸ ἴχνος τοῦτο τᾶς διακοσμάσιος πρᾶτον καὶ αὐτὸς ὁ ἄνθρωπος ἐν τᾷ διαιρέσι[a] τᾶς ψυχᾶς· ταύτας γὰρ[b] ὁ μέν τί ἐντι λογισμός, ὁ δὲ θυμός, ὁ δὲ ἐπιθυμία. Ὁ μὲν ὦν λογισμὸς οἰκοδεσπότᾳ καὶ ἄρχοντι ποτεμφερής ἐντι, πρεσβύτερός τε γάρ ἐντι τᾷ φύσι[c] καὶ τᾷ γενέσι, διανοητικώτατος καὶ διακριτικώτατος· ἁ δ' ἐπιθυμία, θᾶλυ καὶ νεαρὸν καὶ ὑγρὸν πάθος ὑπάρχοισα ψυχᾷ τᾷ γυναικὶ ποτιφερής ἐντι· ὁ δὲ θυμός, ὁρμᾶς καὶ ζέσιος μεστὸς ἐὼν καὶ συνακούων καὶ ἑπακολουθῶν πολλάκις τῶ λογισμῶ ἢ τῶ νῶ, νεανίᾳ[d] ποθωμοίωται. Ἁ μὲν γὰρ μονὰς ἐντι τὸ γεννῶν καὶ ὁρίζον, ἁ δὲ δυὰς τὸ ὁριστὸν καὶ ὁριζόμενον· καὶ τὸ μὲν περιττὸν ἐκ τᾶς καθ' αὐτὸ φύσιος, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι· διότι τὸ μὲν ἐκ τᾶς καθ' αὐτὸ φύσιος περαίνει, τὸ δὲ ἄρτιον ἐκ τᾶς πρός τι. καὶ τὸ μὲν κατὰ περισσὰς χώρας συντάσσον ἑξομοιάζει αὐτῶ, τὸ δὲ μόνον ὥσπερ ὕλα ὑποκείμενον. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τᾶν γραμμᾶν καὶ χωρίων. τὸ μὲν γὰρ τετράγωνον ὁρίζει καὶ συντάσσει, τὸ δ' ἑτερόμακες ὥσπερ ὕλα ὑποκειμένα ὁρίζεται καὶ συντάσσεται, τεταγωνιζόμενον καὶ ἐξισούμενον. Δεῖ δὲ τὸν μωσ μιμέεσθαι τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθόντα πειρᾶσθαι τὰν μέσαν καθιστάμεν,[c] ὅκως καὶ ἐπ βαρέα καὶ ἐπὶ τὰ ὀξέα διαρκέσαι δύνηται[f] καὶ ῥήξη μήτ' ἀπολίπῃ τὴν τάσιν.[g] Οὕτως ὦν δεῖ καὶ μον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυ ὅκως μὴ μόνον ἐν εὐτυχίαις συνεκτρέχεν ἀλλάλοις νατοὶ ὦντι, ἀλλὰ καὶ ἐν δυστυχίαις.[h] καὶ γὰρ αὐ ὁ αὐλατὰς ποτὶ τὸν ἴδιον τόνον διαρκέσαι δυναμ λαμβάνει, καὶ παδάλια ὁ κυβερνάτας ποτὶ τὸ μέγ τᾶς ναός.

(Stobæus Flor. LXX, 11. Scripsi : [a] διαιρε codd. διαιρέσει. [b] γὰρ cum Halmio; deest membranis. [c] φύσι; libri φύσει. [d] νεανίᾳ; li καὶ νεανία. [e] καθιστάμεν; libri καθιστάνειν. C Stob. Flor. LXXXV, 16. [f] δύνηται; codd. δύ ται. [g] τάσιν; libri στάσιν. [h] ἀλλὰ καὶ ἐν δυσ χίαις cum Spondano e fragm. sequenti; dess hæc in codd.)

γ'. Γαμησίοντα[a] δὲ δεῖ γαμὲν ποτὶ τὰν αὐτῶ χαν, ἵνα μήτε ὑπὲρ τὰν δύναμιν μήτε μῆονα τᾶς νάμιος τὸν γάμον ἐπάγηται, ἀλλὰ ποτὶ λόγον τᾶς ἰᾶ δυνάμιος. οἱ μὲν γὰρ ὑπὲρ τὰν δύναμιν ἐπάγον στασιάζοντι διὰ τὰν ἀγεμονίαν. ἁ μὲν γὰρ τῷ πλ τῳ καὶ τῷ γένει καθυπερέχοισα ἀνδρὸς ἄρχειν προ ρεῖται, ὁ δὲ ἀνάξιον ἀγεῖται καὶ παρὰ φύσιν συγ ρέν. οἱ δὲ μῆονα τᾶς δυνάμιος τὸ ἀξίωμα καὶ μέγεθος τῶ οἴκω συναιροῦντι. Δεῖ δὲ τὸν μωσι μιμεῖσθαι, ὃς τὸν ἴδιον τόνον τᾶς φωνᾶς ἐκμαθὼν οὔ πειρᾶται τὰν μέσαν καθιστάμεν, ὅπως καὶ ἐπὶ τὰ ὀ καὶ ἐπὶ τὰ βαρέα διαρκέσαι δύνηται[b], καὶ μήτε ῥῆ μήτε ἀπολίπῃ τὰν τάσιν. Οὕτως ὦν δεῖ καὶ τὸν γ μον συναρμόζεσθαι ποτὶ τὸν ἴδιον τόνον τᾶς ψυχᾶ

---

oportet per legumlatorem supervacanea resecari ac circumcidi ut a bono agricola frondes luxuriantes. Cognati vero ac domestici hominum ordinis tres sunt species : prima enim imperat, altera paret, tertia auxiliaris est familiæ et cognationi : et imperat quidem maritus, paret uxor, auxiliatur vero quod ex utroque progenitum est.

II. Habet enim hoc primum ordinis vestigium etiam ipse homo in animi sui partibus. Sunt enim animi partes ratio, iracundia, cupiditas. Ratio quidem patrifamilias et principi similis est, utpote natura senior et generatione sua ad cogitandum dijudicandumque maxime apta : cupiditas vero quum sit muliebris, tenera ac mollis animi affectus, mulierem repræsentat ; iracundia autem, impetu ac fervore plena et rationi aut menti sæpius parens, et obsequens, juvenem refert. Quippe altera illarum animi partium unitas est quæ generat ac definit, altera vero binarius numerus quæ finitur ac terminatur : illa suapte natura impar est, hæc vero par et aliunde pendens : propterea quod illa per se perficitur, hæc ab alio. Et illa per locos impares disponens res sibi assimilat, hæc materiæ solum et subjecti vice fungitur. Eadem vero etiam linearum spatiorum ratio est. Figura quadrata finit ac determin quæ vero in alteram partem longior est, materiæ subjec instar terminatur, conformatur, ad figuram quadratam æqualitatem redigitur. Oportet autem imitari musicc qui postquam proprium vocis tonum didicit, tum demn conatur mediam constituere vocem, ut et gravibus acutis sufficere possit intentione neque abrupta nec laxata. Eodem modo nuptiæ jungendæ sunt juxta p prium animi tenorem, ut non solum rerum prosperaru sed etiam adversarum participes esse possint. Nam et hicen deligit tibias quæ ad proprium tenorem sufficiant, gubernator clavum pro magnitudine navis.

III. Qui uxorem ducere cupit, ducat eam oportet facultatibus, ut neque fortuna sua majus neque mi matrimonium contrahat, sed pro facultatis et conditio suæ ratione. Qui enim supra suam facultatem nupt conficiunt, illis de principatu dissensio nascitur. N uxor opibus et genere superior maritum regere ani intendit, ille vero indignum judicat præterque natura

ὅπως μὴ μόνον ἐν εὐτυχίᾳ συνεκτρέχεν[c] ἀλλάλοις δυνατοὶ ὦντι, ἀλλὰ καὶ ἐν δυστυχίᾳ[d]. Ποτὶ λόγον δὲ μναστευσάμενον τὸν γάμον δεῖ καὶ ἐπίτροπον καὶ κύριον καὶ ἐπιστάταν τᾶς αὐτῶ γυναικὸς ἦμεν· ἐπίτροπον μὲν τῷ φροντίζεν τῶν ἐκείνας, κύριον δὲ τῷ ἄρχεν καὶ κυριεύεν, διδάσκαλον δὲ τῷ διδάσκεν τὰ δέοντα. Τοῦτο δὲ ἐσσεῖται μάλιστα, αἴκα τις ἀγαθῶν προγόνων σκοπιασάμενος παιδίον ἀκμάζουσαν γαμήσῃ[e]. καὶ γὰρ εὔπλαστοι καὶ εὐάγωγοι τυγχάνοντι πρωτονύμφευτοι, καὶ ποτὶ τὸ μαθὲν εὐφυῶς ἔχοντι καὶ ποτὶ τὸ φοβηθῆμεν καὶ ἀγαπάζαι ἑκάστα[f] τὸν αὐταύτας ἄνδρα.

(Stobæus Flor. LXXXV, 18. Scripsi : [a] γαμησήοντα ex emendatione Gesneri (cf. Valck. ad Eur. Phœn. p. 373); codd. γαμίσκοντα. [b] δύνηται; libri δύναται. [c] συνεκτρέχεν; libri συνεκτρέχειν. [d] ἀλλὰ καὶ ἐν δυστυχίᾳ cum Spondano; desunt hæc in membranis. [e] γαμήσῃ; libri γαμίσκῃ. [f] ἑκάστα addidi, quod in codicibus desideratur.)

δ'. Ἔτι δὲ[a] τᾶς πρακτικᾶς καὶ κατὰ λογισμὸν ἀρχᾶς ἁ μέν ἐστι δεσποτικά, ἁ δὲ ἐπιστατικά, ἁ δὲ πολιτικά. καὶ δεσποτικὰ μέν ἐντι ἁ τῷ ἰδίῳ συμφέροντος ἄρχοισα, ἀλλ' οὐ τῶν ἀρχομένων· ταύταν γὰρ ἄρχει τὰν ἀρχὰν ὁ μὲν δεσπότας τῶν δούλων, ὁ δὲ τύραννος τῶν ὑποτεταγμένων. ἐπιστατικὰ δὲ ἕνεκα τῶν ἀρχομένων, ἀλλ' οὐχ αὐτᾶς. ταύταν δ' ἄρχοντι τὰν ἀρχὰν τοὶ μὲν ἀλεῖπται τῶν ἀθλητᾶν, καὶ τοὶ ἰατροὶ τῶν νοσιόντων, καὶ τοὶ διδάσκοντες τῶν διδασκομένων. οὐ γὰρ αὐτοῖς τὸ συμφέρον ἀλλὰ τοῖς ἀρχομένοις ποτιποιοῦντι, τοῖς μὲν καμνόντεσι τοὶ ἰατροί, τοῖς δὲ σωμασκεῦσιν τοὶ ἀλεῖπται, τοῖς δὲ ἀνεπιστάμοσιν τοὶ ἐπιστάμονες. Πολιτικὰ δέ ἐντι ἀρχά, ἅτις τέλος ἔχει τὸ κοινᾷ συμφέρουν καὶ τῶν ἀρχόντων καὶ τῶν ἀρχομένων. κατὰ γὰρ ταύταν τὰν ἀρχὰν ἐν μὲν τοῖς ἀνθρωπίνοις ὅ τε οἶκος καὶ ἁ πόλις συνάρμοσται, ἐν δὲ τοῖς θήοις ὁ κόσμος. Μίμαμα δ' οἶκος καὶ πόλις καττὰν ἀναλογίαν τᾶς τῶ κόσμω διοικάσιος. ἄρχη[b] μὲν γὰρ τὸ θῆον τᾶς φύσιος, οὔτε τὸ ἐκείνας[c] συμφέρον σκοπεύμενον οὔτε μὰν τὸ ἴδιον ἀπολελυμένως, ἀλλὰ τὸ κοινᾷ. καὶ διὰ τοῦτο ποταγορεύεται ὁ κόσμος ἀπὸ τᾶς τῶν συμπάντων διακοσμάσιος, ποθ' ἓν τὸ ἄριστον συντεταγμένος. τὸ δ' ἕν ἐστιν ἄριστον αὐτὸς, ὁ θεός[d], ὅπερ ἐστὶ καττὰν ἔννοιαν, ζῷον οὐράνιον, ἄφθαρτον, ἀρχά τε καὶ αἰτία τᾶς τῶν ὅλων διακοσμάσιος. Ἐπεὶ ὦν καὶ ὁ ἀνὴρ ἄρχη τᾶς γυναικός, ἤτοι τὰν δεσποτικὰν ἄρχη ἀρχάν, ἢ τὰν ἐπιστατικάν, ἢ τό γε ἔσχατον τὰν πολιτικὰν ἄρχη· οὔτε δὲ τὰν δεσποτικὰν ἀρχάν, κάδεται γὰρ καὶ ἐπιμελῆται τᾶς αὐτῶ γυναικός· οὔτε τὰν ἐπιστατικὰν καθάπαξ· καὶ αὐτὸς γὰρ μέρος ἐντὶ τᾶς κοινωνίας. ἀπολείπεται ὦν τὰν πολιτικάν, καθ' ἃν τίθεται καὶ ὁ ἄρχων καὶ ὁ ἀρχόμενος τὸ κοινᾷ συμφέρον. διόπερ καὶ ὁ γάμος ἐπὶ βίω κοινωνίᾳ συνίσταται. Οἱ μὲν ὦν τὰν δεσποτικὰν ἄρχοντες ἀρχὰν τῶν ἀνδρῶν μισεῦνται ὑπὸ τᾶν[c] γυναικῶν, οἱ δὲ τὰν

---

mulieri concedere. At qui facultatibus suis inferiorem ducunt uxorem, dignitatem et amplitudinem familiæ simul tollunt. Musicum autem imitari oportet, qui postquam proprium suæ vocis tenorem observavit, ita demum mediam vocem constituere conatur, quæ et acui et gravari possit, cum opus est, quæque neque abrumpat intentionem neque deficiat. Similiter etiam nuptias ad proprium animi tenorem accommodari decet, ut conjuges non solum in secunda, sed etiam in adversa fortuna consentiant. Porro in conjugio, ut par est et ratio exigit, adepto maritum uxoris suæ tutorem, dominum ac magistrum esse convenit; et tutorem quidem in illius rebus diligenter curandis, dominum vero in regendo ac dominando, magistrum denique docendo quæ sunt ejus officii. Hoc autem maxime continget, si quis, probitate parentum explorata, puellam ætate florentem duxerit. Tales enim marito primo nubentes facile flecti instituique possunt, et ad discendum promptæ sunt et ad suum quæque virum tum metuendum tum amandum.

IV. Præterea activum et rationale imperium partim herile est, partim præfectorium, partim civile. Atque herile quidem est, quod propter suum, non propter subjectorum emolumentum dominatur : ista enim ratione dominus servis, tyrannus civibus præest. Præfectorium vero ad subjectorum, non ad propriam utilitatem refertur. Eo autem imperii genere imperant aliptæ athletis, medici ægrotis, præceptores discipulis. Neque enim suo, sed subjectorum commodo serviunt, ægrotis medici, corpus exercentibus unctores, indoctis denique docti prospicientes. Civile vero imperium est, cui finis est præpositus communis utilitas tam illorum qui imperant quam qui iis parent. Quippe ad eam imperii formam in rebus humanis qua familia qua civitas comparata est, in divinis autem mundus. Imitatur vero familia et civitas analogia quadam totius mundi administrationem. In mundo enim numen naturam gubernat, neque illius utilitatem, neque suam per se spectans, sed communem utriusque. Atque idcirco mundus appellatur a concinna et quasi munda omnium rerum dispositione, ad unum idque optimum confermatus. Est vero unum illud optimum ipse deus, qui ex nostra opinione est animal cœleste, incorruptum, principium et causa concinnæ omnium rerum dispositionis. Quum igitur vir regat mulierem, nimirum aut herili regit imperio, aut præfectorio, aut denique civili : atqui herili imperio non imperat, curam enim eamque sedulam suæ uxoris sustinet : neque omnino præfectorio, nam et ipse pars est communionis. Reliquum est ergo, ut civili utatur imperio, in quo imperio communis tum regentis tum obedientis utilitas requiritur. Itaque et nuptiæ ad vitæ communionem ineundam conciliantur. Qui ergo ex viris herili utuntur imperio, in mulierum odium perveniunt; qui præfectorio, contemnuntur, videntur enim quasi

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπιστατικὰν καταφρονέονται· προσθῆκαι γὰρ ἂν φαίνοιντο τᾶν [f] γυναικῶν καὶ κόλακες· οἱ δὲ τὰν πολιτικὰν καὶ θαυμαίνονται καὶ φιλέονται. Ἀμφότερα δὲ ταῦτα ἐσσεῖται, αἴκα ἀδονᾷ καὶ σεμνότατι κεχραμέναν ποτιφέρηται τις τὰν ἀρχάν, τὰν μὲν ἀδονὰν ἐν τῷ ἀγαπᾶν ποτιφερόμενος, τὰν δὲ σεμνότατα ἐν τῷ μηδὲν εὐτελὲς μηδὲ ταπεινὸν πράττειν.

(Stobæus Flor. LXXXV, 17. Posui : [a] ἔτι δὲ; codd. ἔπειτα. [b] ἄρχη i. e. ἄρχει; in libris ἀρχά. [c] οὔτε τὸ ἐκείνας cum Spondano; libri οὐδὲ τὸ ἐκείνων. [d] αὐτὸς ὁ θεός, ὅπερ cum Orellio; membranæ αὐτός, ὅπερ. [e] τᾶν; libri τῶν. [f] τᾶν; codd. τῶν.)

12.

ΠΕΜΠΕΛΟΥ ΕΚ ΤΟΥ ΠΕΡΙ ΓΟΝΕΩΝ.

Γονέων ἀμελὲν οὔτε δαίμων οὔτε ἄνθρωπος σύμβωλος ἄν ποκα γένοιτό τινι σύμμετρον ψυχᾶς κεκταμένος ἐπιστάμαν. Διόπερ οὐθὲν ἂν ποτὶ θεῶν [a] ξόανον τιμιώτερον [b] ἔχοιμεν ἐν χρημάτων κτήσι [c] πατέρος ἢ καὶ προπάτορος γήραϊ παρειμένων ἢ καὶ ματέρων τὰν αὐτὰν [d] δύναμιν ἐχοισᾶν. Ὁκόταν γὰρ ἀγάλλῃ τις γέρασι καὶ τιμαῖς τὼς γενέτορας, ἀγαθὰ τίθητι θεός· καὶ γὰρ οὐδ' ἂν ἐπάκοος ἔπελεν αὐτῶν. Σεμνὸν γάρ τι καὶ θείας φύσιος πεπαμένον ἁμῖν τὸ τῶν φιτυσάντων ἵδρυμά ἐντι, καὶ ζωόντων πολὺ μᾶλλον [e] ἢ τῶν ἀψύχων [f] ἱδρυμάτων. Τὰ μὲν γὰρ καλλυνόμενα καὶ λαμπριζόμενα ὑφ' ἁμέων ἑκάστοτε συνεύχεται ἁμῖν δωτίνας ἀγαθάς· σκυβαλιζόμενα δὲ τοὐναντίον· τὰ δὲ ῥὠδ' ὁκότερα τῶνδε ἔρδει. Ὥστε αἴκα δεόντως τις χρῆται πατέρι καὶ ματέρι καὶ προπάτορι καὶ οὔλως τοῖς ὁμοιορύσμοις, πάντων ποτὶ θεοφιλῆ μοῖραν πεπάσεται ἀγαλμάτων κυριώτατα. Πᾶς δὴ νόον ἔχων τιμήτω καὶ σεβέτω καὶ δειδίετω γονέων εὐχὰς ἢ κατάρας, εἰδὼς πλεύνεσσι πολλάκις ἐπιτελέας συμβεβακυίας. Τούτων ὦν οὕτως φύσι [g] διακεκοσμαμένων, τοῖς μὲν ἔμφροσι καὶ κοσμίοις τῶν βροτῶν ἔρμαιον προγενέτορες γηραλέοι ζῶντες μέχρι τᾶς ἐσχάτας βιοτᾶς, καὶ ἄφερποντες αἰζηοὶ [h] σφόδρα [i] ποθεινοί, ῥωμαλέοι ψυχᾷ ἐόντες διὰ τὸ πολλὰ εἰδέμεν, τοῖς δὲ φλαύροις καὶ ἀσυνέτοις εὖ μάλα ζοφοειδέες καὶ φοβεροί [k]. Εἰ δέ τινα φάμα ἀμύητος ὤτων ποτὶ κώφωσιν κατίσχει τοιῶνδε λόγων, εἰδύλλεται ὡς καὶ δαίμοσιν ἐχθρὸς πέλει καὶ ἀνδράσιν τοῖς ποτὶ συνέσιος ἐρπύζασιν ἀτραπόν.

(Stobæus Flor. LXXIX, 52. Convenit autem hic locus magna ex parte cum Platonis disputatione de Legg. lib. XI cap. XI, p. 930 E et 931 D, unde quædam verba ad hoc fragmentum emendandum petita sunt. Scripsi : [a] ποτὶ [πρὸς] θεῶν e Platone; codd. θεῶ. [b] τιμιώτερον; vulgo ἢ ἱερὸν, [c] κτήσι; vulgo κτήσει. [d] αὐτὰν; codd. ἰδίαν. [e] μᾶλλον; codd. μαλλότερον. [f] ἀψύχων; libri ἀνεφίκτων. [g] φύσι; libri φύσει. [h] ἀφέρποντες αἰζηοὶ cum Kœnio ad Greg. Corinth. pag. 243 ed. Schæf., nisi quod αἰζηοῖς in αἰζηοὶ converti; vulgo ἐφέρποντες αἰζηοῖς νέοις. [i] σφόδρα ποθεινοί, quod post ψυχᾷ legebatur, cum Jacobsio transposui. [k] ζοφοειδέες καὶ φοβεροί; codd. φοβοειδέες καὶ ζοφεροί.)

13.

ΠΕΡΙΚΤΙΟΝΗΣ ΤΗΣ ΠΥΘΑΓΟΡΕΙΑΣ ΕΚ ΤΟΥ ΠΕΡΙ ΣΟΦΙΑΣ.

α'. Γέγονε δὲ καὶ συνέστα ὁ ἄνθρωπος ποττὸ θεωρῆ-

---

uxorum appendices vel adulatores : qui vero civili, eos et admirantur mulieres et diligunt. Horum autem utrumque continget, si quis imperium gerat voluptate simul gravitateque temperatum, voluptatem quidem amando, gravitatem vero nihil vile aut humile faciendo repræsentans.

12.

PEMPELI EX LIBRO DE PARENTIBUS.

Parentes negligere nec deus neque homo vel mediocri sapientia præditus unquam cuiquam suaserit. Quapropter per deos nullum simulacrum magis honorandum in possessionibus nostris habere possimus quam patres aut avos senio confectos aut matres eadem dignitate præcellentes. Etenim quum quis muneribus et honoribus parentes ornavit, vicissim deus bona rependit : alioquin eos non exaudiret. Venerandum enim et divinæ naturæ particeps nobis est considerandum parentum simulacrum, et vivorum quidem magis quam vita carentium. Illa enim si ornentur a nobis et colantur assidue, optima dona nobis precantur; si vero contemnantur, contra : hæc autem neutrum horum faciunt. Itaque si quis decenter se adversus parentes et avos cæterosque ejusdem generis gesserit, is ad deos sibi conciliandos simulacrorum omnium pretiosissima possidebit. Quisquis igitur sana mente est præditus, colat et revereatur ac reformidet parentum preces vel exsecrationes, sciens multis sæpe eas eventu comprobatas tum profuisse tum obfuisse. Quæ quum natura ita comparata sint, prudentibus et modestis mortalium seniores parentes et avi ad ultimum vitæ terminum viventes utilissimi vel florenti ætate defuncti admodum desiderabiles videntur, quia multarum rerum scientia pollent, improbis vero et insipientibus valde tenebricosi et horribiles. Cæterum si quis mente profana ad hos sermones surdus esse dicitur, liquet eum simul diis invisum esse simul hominibus prudentiæ ac virtutis viam ingressis.

13.

PERICTIONES PYTHAGOREÆ EX LIBRO DE SAPIENTIA.

1. Natus compositusque est homo ad contemplandam

σαι τὸν λόγον τᾶς τῶν ὅλων φύσιος· καὶ τᾶς σοφίας ἔργον ἐστὶν αὐτὸ τοῦτο [a] κτήσασθαι καὶ θεωρῆσαι τὰν τῶν ἐόντων φρόνασιν.

Γαμετρία μὲν ὧν καὶ ἀριθμητικὰ καὶ τἄλλα τὰ θεωρητικὰ καὶ ἐπισταμονικὰ περί τινα τῶν ἐόντων κατασχολέονται, ἃ δὲ σοφία περὶ πάντα τὰ γένεα [b] τῶν ἐόντων. Οὕτως γὰρ ἔχει σοφία περὶ πάντα τὰ ὄντα, ὡς ὄψις περὶ πάντα τὰ ὁρατά, καὶ ἀκοὰ περὶ πάντα τὰ ἀκουστά. Τὰ δὲ συμβεβακότα τοῖς ἐοῦσιν τὰ μὲν καθόλω πᾶσι συμβέβακεν, ἃ δὲ πλείστοις αὐτῶν, ἃ δὲ καὶ [c] ἑνὶ ἑκάστῳ. Τὰ μὲν ὧν καθόλω πᾶσι συμβεβακότα συνιδὲν καὶ θεωρῆσαι τᾶς σοφίας οἰκῆον, τὰ δὲ τοῖς πλείστοις τᾶς περὶ φύσιν ἐπιστάμας, τὰ δ' ἴδια καθ' ἕκαστον τᾶς περί τι ἀφωρισμένον ἐπιστάμας. καὶ διὰ τοῦτο σοφία μὲν τὰς τῶν ἐόντων ἁπάντων ἀρχὰς ἀνευρίσκει, φυσικὰ δὲ τὰς τῶν φύσι γινομένων [d], γαμετρία δὲ καὶ ἀριθμητικὰ καὶ μωσικὰ τὰς περὶ τὸ ποσὸν καὶ τὸ ἐμμελές. Ὅστις ὧν ἀναλῦσαι οἷός τ' ἐντὶ πάντα τὰ γένεα ὑπὸ μίαν καὶ τὰν αὐτὰν ἀρχάν, καὶ πάλιν ἐκ ταύτας συνθεῖναι καὶ ἀρτίσασθαι [e], οὗτος σοφεῖ καὶ σοφώτατος ἦμεν καὶ παναλαθέστατος, ἔτι δὲ καὶ καλὰν σκοπιὰν ἀνευρηκέναι, ἀφ' ἃς δυνατὸς ἐσσεῖται τόν τε θεὸν κατοψεῖσθαι [f] καὶ πάντα τὰ ἐν τᾷ συστοιχίᾳ τε καὶ τάξι [g] τὰ ἐκείνω κατακεχωρισμένα.

(Stobæus Flor. I, 62-63. Scripsi : [a] αὐτὸ τοῦτο cum Meinekio; vulgo αὐτῷ τούτῳ. [b] γένεα; codd. ἔνη. [c] καὶ; codd. παρ'. [d] φύσι γινομένων; libri φύσει γιγνομένων. [e] ἀρτίσασθαι; libri ἀριθμάσασθαι vel εὐρυθμίσασθαι. [f] κατοψεῖσθαι e Jamblich. Adhort. ad Philos. cap. IV; vulgo κατόψεσθαι. [g] τάξι; libri τάξει.)

ΤΗΣ ΑΥΤΗΣ
ΕΚ ΤΟΥ ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΑΡΜΟΝΙΑΣ.

β'. Οὔτε λέξαι δεῖ κακὸν γονέας οὔτε ἔρξαι, πείθεσθαι δὲ ἐν [a] σμικροῖσί τε καὶ μεγάλοισι γονεῦσι [b], ἐν πάσῃ δὲ ψυχῆς τε καὶ σώματος τύχῃ καὶ τῶν ἔσωθεν καὶ τῶν [c] ἔξωθεν, καὶ ἔν τε εἰρήνῃ καὶ πολέμῳ καὶ ὑγιείῃ καὶ νούσῳ [d] καὶ πλούτῳ καὶ ἀπορίῃ καὶ δόξῃ καὶ ἀδοξίῃ, καὶ ἰδιώτῃσι καὶ ἄρχουσι ὁμουρέειν ἀεὶ [e] καὶ φεύγειν μηδέποτε, πείθεσθαι δὲ μονονουκὶ καὶ μανεῖσι [f]· πεπνυμένα γὰρ ταῦτα καὶ κρήγυα τοῖσι εὐσεβέσι. Εἰ δέ τις γονέας ὑπερφρονέοι ἐν ἰδέῃ κακῶν ἠτινιῶν [g], ταύτῃ καὶ ζώσῃ καὶ θανούσῃ ἁμαρτίης δίκη [h] παρὰ θεοῖσι γράφεται, ὑπό τε ἀνθρώπων μισέεται, καὶ ὑπὸ γῆν μετὰ τῶν ἀσεβέων ἐν τουτέων [i] τῷ χώρῳ δι' αἰῶνος κακοῖσι ἰαπτομένη [k] ὑπὸ δίκης καὶ τῶν ἔνερθεν θεῶν, οἳ τουτέων [l] ἐπίσκοποι ἐτάγησαν τῶν πρηγμάτων. Θείη γὰρ καὶ καλὴ ὄψις γονέων, καὶ ἡ τουτέων ὄψις [m] καὶ θεραπείη ὁκόση οὐδὲ ἡλίου οὐδὲ πάντων ἄστρων, τὰ οὐρανῷ ἐνημμένα [n] ἀμφιχορεύει, καὶ εἴ τι ἄλλο δοκέει τις χρῆμα μέζον [o] εἶναι ἐόντων κατὰ θεωρίην [p]. δοκέω δὲ τωὐτὸ καὶ [q] θεοὺς φρονέειν, ὁκότε τοῦτο ὁρέωσι γινόμενον [r]. Καὶ ζῶντας ὧν καὶ ἀποιχομένους σέβειν χρὴ καὶ μηδέποτε ἀντι-

---

rum naturæ rationem : estque sapientiæ officium id ipsum consequi rerumque sapientiam intueri.

Geometria quidem et arithmetica reliquaque tum contemplativa tum litteraria circa res nonnullas versantur : sapientia circa omnia illarum genera. Sic enim sapientia circa omnia quæ sunt occupata est, ut visus circa aspectabilia cuncta et auditus circa universa illa quæ auribus percipiuntur. Eorum vero quæ rebus accidunt alia omnino omnibus accidunt, alia earum plurimis, alia denique singulis. Ea igitur quæ in universum omnibus accidunt perspicere et considerare sapientiæ munus est, ea vero quæ plurimis physiologiæ, propria denique cujusque ea accidentia nosse scientiæ circa separatum quid occupatæ. Quocirca sapientia omnium quæ sunt principia indagat, physica vero eorum quæ natura gignit, geometria denique et arithmetica et musica quantitatis et consonantiæ. Quisquis igitur resolvere potest omnia genera ad unum idemque principium rursusque ex eo componere et inde conjungere, hic et sapientissimus et verissimus esse videtur, quin et pulchram speculam invenisse, ex qua possit et deum contemplari et omnia quæ in eadem serie sunt rectoque ordine ab eo collocata.

EJUSDEM EX LIBRO
DE MULIERIS CONCINNITATE.

II. Neque dicto neque facto mali quidquam parentibus afferre oportet, sed obedire illis in parvis magnisque rebus; item in quacunque animi, corporis rerumque tum internarum tum externarum fortuna, in pace, bello, sanitate, morbo, divitiis, paupertate, gloria, infamia, sive privatis sive magistratum adeptis parentibus semper adesse neque unquam deserere oportet, obediendumque tantum non etiam insanis : hæc enim sapienter et recte a piis hominibus fieri existimant. Quæ vero mulier parentes quocunque malorum genere pressos contemserit, ei et vivæ et mortuæ peccati pœna divinitus irrogabitur, siquidem ab hominibus, dum vivit, odio habetur, et sub terra in loco impiorum cum reliquis improbis perpetuo cruciatu afficitur a Justitia diisque infernis, qui ad has res inspiciendas constituti sunt. Honestissima enim atque adeo divina parentum facies est eorumque aspectus et cultus tantus, quantus neque solis neque omnium siderum, quæ cœlo infixa circumcirca choreas agunt, et si qua alia res earum quæ sub oculos cadunt major esse existimatur. Arbitror autem idem et deos sentire, quando parentes observari videant. Quamobrem et vivos et mortuos colere nos par est, neque unquam iis obloqui, verum si quid ignorent aut morbi vitio aut errore, consolandi ac docendi sunt, nequaquam autem inimicitiæ cum iis gerendæ. Majus enim inter homines peccatum majorque injustitia non reperitur, quam erga parentes impietas

λεσχαίνειν, ἀλλ' ἢν καὶ ἀγνοέωσι[s] νούσῳ ἢ ἀπάτῃ, παρηγορέειν καὶ διδάσκειν, ἐχθρεύειν δὲ μηδαμῇ. μέζων γὰρ ἁμαρτίη καὶ ἀδικίη ἀνθρώπων οὐκ ἂν γένοιτο ἢ ἐς πατέρας ἀσεβέειν.

(Stobæus Flor. LXX, 50. Scripsi : [a] δὲ ἐν cum Kœnio ad Greg. Corinth. p. 403 ed. Schæfer.; vulgo δὲ. [b] γονεῦσι; libri γονεῦσιν. [c] ἔσωθεν καὶ τῶν cum Meinekio; quæ verba in membranis desiderantur. [d] καὶ νούσῳ cum eodem; quæ desunt in codicibus. [e] ἀεὶ; libri δεῖ. [f] μανεῖσι cum Gesnero; codd. μανίῃ. [g] ὑπερφρονέοι ἐν ἰδέῃ κακῶν ἥτινιῶν cum Halmio; libri ὑπερφρονέοιεν ἰδέῃ κακῶν ἥ τινιῶν. [h] ἁμαρτίης δίκη cum Orellio; codd. ἁμαρτία. [i] τουτέων; libri τοὐτῳ. [k] ἰαπτομένη cum Meinekio; ἁπτομένη libri. [l] τουτέων; codd. τούτων. [m] ὄψις; vulgo ἄψις. [n] οὐρανῷ ἐνημμένα; libri οὐρανὸς ἐναψάμενος. [o] μέζον; libri μεῖζον. [p] ἐόντων κατὰ θεωρίην; libri ἐόντων καὶ θεωρίην. [q] τωὐτὸ καὶ; libri μὴ. [r] γινόμενον; codd. γιγνόμενον. [s] ἀγνοέωσι; codd. ἀγνοῶσι.)

γ'. Τὴν ἁρμονίην γυναῖκα νώσασθαι[a] δεῖ φρονήσιός τε καὶ σωφροσύνης πλείην· κάρτα γὰρ ψυχὴν πεπνῦσθαι δεῖ ἐς ἀρετήν, ὥστ' ἔσται καὶ δικαίη καὶ ἀνδρηίη καὶ φρονέουσα καὶ αὐταρκείῃ καλλυνομένη καὶ κενὴν δόξαν μισέουσα. Ἐκ τουτέων γὰρ ἔργματα καλὰ γίνεται γυναικὶ ἐς αὐτήν τε καὶ ἄνδρα καὶ τέκεα καὶ οἶκον, πολλάκις δὲ καὶ πόλιας, εἴγε πόλιας ἢ ἔθνεα ἡ τοιήδε[b] κρατύνοι, ὡς ἐπὶ βασιληίης κατορέομεν[c]. Κρατέουσα ὧν ἐπιθυμίης καὶ θυμοῦ, θείη καὶ ἁρμονίη γίνεται, ὥστε οὐδὲ ἔρωτες αὐτὴν ἄνομοι διώξουσι, ἀλλ' ἐς ἄνδρα τε καὶ τέκεα καὶ τὸν οἶκον ξύμπαντα φιλίην ἕξει. Ὁκόσαι γὰρ ἑράστριαι τελέθουσι ἀλλοτρίων λεχέων, αὗται δὲ πολέμιαι γίνονται πάντων τῶν ἐν οἰκίῃ ἐλευθέρων τε καὶ οἰκετέων, καὶ συντίθεται [illegible] λους ἀνδρί, καὶ ψεύδεα κατὰ πάντων μυθίζεται πτ τοῦτον, ἵνα μούνη δοκέῃ διαφέρειν εὐνοίῃ καὶ τῆς κίης κρατέῃ[d] ἀργίην φιλέουσα. ἐκ τουτέων[c] φθορὴ γίνεται συμπάντων ὁκόσα αὐτῇ τε καὶ τῷ ἀν ξυνά ἐστι. καὶ ταῦτα μὲν ἄχρι τῶνδε λελέχθω. Σῶ νος δὲ ἄγειν χρὴ πρὸς μέτρα φύσιος, τροφῆς τε πέ καὶ ἱματίων, καὶ λουτρῶν, καὶ ἀλειψίων, καὶ τρι θέσιος καὶ τῶν ὁκόσα ἐς κόσμον ἐστὶ χρυσοῦ καὶ θων. Ὁκόσαι γὰρ πολυτελέα πάντα ἐσθίουσι πίνουσι καὶ ἀμπέχονται καὶ φορέουσι γυναῖκες, ἁμαρτίην ἕτοιμαι κακίης συμπάσης, ἔς τε τὰ λέ καὶ ἐς τὰ ἄλλα ἀδικοπρηγέες. Λιμὸν ὧν καὶ δί ἐξάκέσασθαι δεῖ μοῦνον, κἢν ἐκ τῶν εὐτελέων καὶ ῥῖγος, κἢν νάκος κἢν σισύρη. Βρωτῆρας εἶναι τῶν τηλόθεν ἢ τῶν πολλοῦ πωλεομένων ἢ ἐνδόξων, κακίη οὐχὶ μικρὴ πέφαται· ἠμφιάσθω εἵματα λεπτὰ[f] λίην καὶ ποικίλα ἀπὸ θαλασσ βάψιος τοῦ κόχλου ἢ ἄλλης χρόης πολυτελέος, ῥίη πολλή. Σκῆνος γὰρ ἐθέλει μὴ ῥιγέειν μ γυμνὸν εἶναι χάριν εὐπρεπείης, ἄλλου δ' οὐδ χρηίζει· δόξα δὲ ἀνθρώπων μετὰ ἀμαθίης ἐς κενεά τε καὶ περισσὰ ἴεται. Ὥστ' οὔτε χρυσὸν φιθήσεται ἢ λίθον ἰνδικὸν ἢ χώρης ἐόντα ἄλλης, πλέξεται πολυτεχνίῃσι τρίχας, οὐδ' ἀλείψεται βίης ὀδμῆς ἐμπνέοντα, οὐδὲ χρίσεται πρόσωπον λευ νουσα ἢ ἐρυθραίνουσα τοῦτο ἢ μελαίνουσα ὀφρύα καὶ ὀφθαλμοὺς καὶ τὴν πολιὴν τρίχα βαφῇσι τεχν μένη, οὐδὲ λούσεται θαμινά. ἡ γὰρ ταῦτα ζητέε θηητῆρα ζητέει ἀκρασίης γυναικηίης. Κάλλος γὰ ἐκ φρονήσιος, οὐκὶ δὲ τὸ ἐκ τούτων ἀνδάνει τῇσι

III. Harmoniam nosse oportet mulierem prudentiæ et modestiæ plenam : omnino enim opus est, ingenium ejus virtutem spiret; quamobrem erit et justa et fortis et prudens et frugalitate decorata et gloriæ inanis inimica. Ex his enim actiones honestæ oriuntur uxori, quibus tum de se ipsa, tum de marito, liberis et familia, sæpe etiam de republica possit bene merere, siquidem civitates vel gentes talis regat, ut in regno videmus. Si ergo cupiditatem et iracundiam vicerit, divina etiam et concinna fiet; itaque nec turpes amores eam sollicitabunt, sed marito, proli totique familiæ amica erit. Nam quæ lectos alienos amant, eæ omnes qui in familia sunt simul liberos simul servos odio persequuntur : hujusmodi autem mulier dolos marito struit eique mendacia adversus omnes dicit, ut sola videatur illi maxime benevola esse et familiam regat, quamvis ipsa sit otii amans. Ex his autem vitiis exitium rebus omnibus nascitur, quas ipsa et maritus communes habent. Sed de his hactenus. Cæterum corpus ad naturæ modulum instituendum est circa victum, vestes, balnea, unctiones, capillorum componendorum rationem et omnia quæ ornatus gratia ex auro gemmisque comparantur. Quotquot enim mulieres sumptuosa omnia edunt, bibunt [illegible] duunt ac gestant, ad omnis nequitiæ crimen procliv[illegible] circa matrimonium et alia injustæ sunt. Quare fa[illegible] sitimque solam sedari oportet utcunque vilibus subs[illegible] item frigus satis sit pelle vel pænula propulsare. At [illegible] niis procul arcessitis, pretiosis aut delicatis vesci, [illegible] exiguum vitium perhibetur : vestibus vero indui admo[illegible] tenuibus et cochleæ marinæ cruore aut alio pretioso c[illegible] tinctis, insignis est stultitia. Corpus enim vult f[illegible] depellere ac tegi decoris causa, cæterum nulla alia re [illegible] get. At hominum opinio imperitiæ juncta ad inani[illegible] supervacanea fertur. Itaque uxor non auro se orn[illegible] non Indica aut alia peregrina gemma; neque vario [illegible] cio crines religabit, nec unguentis Arabicum odorem[illegible] rantibus ungetur, nec faciem cerussa aut fuco illinet [illegible] supercilia et oculos nigro colore pinget, neque canor[illegible] colore inficiet, denique non frequenter balneis u[illegible] Quæ enim talia quærit, spectatorem muliebris su[illegible] continentiæ quærit. Nam pulchritudo, quam pru[illegible] parit, non externis arcessita ornamentis, mulieribu[illegible] neste natis placet. Non debet autem necessaria p[illegible]

μένῃσι εὖ. Ἀναγκαῖα δὲ μὴ ἡγεέσθω εὐγενείην καὶ πλοῦτον καὶ μεγάλης πόλιος πάντως γενέσθαι καὶ δόξαν καὶ φιλίην ἐνδόξων καὶ βασιληίων ἀνδρῶν. Ἢν μὲν γὰρ ἔῃ, οὐ λυπέει· ἢν δὲ μὴ ἔῃ, ἐπιζητέειν οὐ ποιέει. τουτέων γὰρ δίχα φρονίμη γυνὴ ζῆν οὐ κωλύεται. Κἢν ἔῃ δὲ μικρὰ [g] τάπερ λέλαχε, [h] τὰ μεγάλα καὶ θωυμαζόμενα μήκοτε διζήσθω ψυχῇ [i], ἀλλὰ καὶ ἀπ' ὧν [k] αὐτέων βαδιζέτω· βλάπτει γὰρ μᾶλλον ἐς ἀτυχίην ἕλκοντα ἢ ὠφελέει· τούτοισι γὰρ ἐπιβουλή τε καὶ φθόνος καὶ βασκανίη προσκέεται, ὥστε ἐν ἀταραξίῃ οὐκ ἂν γένοιτο ἡ τοιήδε. Θεοὺς δὲ σέβειν δεῖ ἐς εὐελπιστίην εὐδαιμονίης, νόμοισί τε καὶ θεσμοῖσι πειθομένην πατρίοισι. Μετὰ δὲ τούτους μυθέομαι τοὺς θεοὺς γονέας τιμᾶν καὶ σέβειν· οὗτοι γὰρ ἴσα θεοῖσι πάντα πέλουσι καὶ πρήσσουσι τοῖσι ἐκγόνοισι [l]. Πρὸς δὲ τὸν ἄνδρα τὸν ἑωυτῆς ζώειν [m] ὧδε δεῖ νομίμως καὶ κρηγύως, μηδὲν ἐννενωμένην ἰδίῃ, ἀλλ' εὐνὴν τηρεῦσαν καὶ φυλάσσουσαν· ἐν τούτεῳ [n] γάρ ἐστι τὰ ξύμπαντα. Φέρειν δὲ χρὴ τοῦ [o] ἀνδρὸς πάντα, κἢν ἀτυχέῃ, κἢν ἁμάρτῃ κατ' ἄγνοιαν ἢ νοῦσον ἢ μέθην, ἢ ἄλλῃσι γυναιξὶ ξυγγένηται. ἀνδράσι μὲν γὰρ ἐπιχωρέεται ἁμαρτίη αὕτη· γυναιξὶ δὲ οὐκί, [p] τιμωρίη δ' ἐφέστηκε. Ἀκροάσασθαι [q] ὧν τὸν νόμον δεῖ καὶ μὴ ζηλοτυπέειν, φέρειν δὲ καὶ ὀργὴν καὶ φειδωλίην καὶ μεμψιμοιρίην καὶ ζηλοτυπίην καὶ κατηγορίην καὶ ἤν τι ἄλλο ἔχῃ ἐκ φύσιος, καὶ οὕτω θήσεται [r] πάντα ὅκως φίλον ἐστὶ αὐτέῳ σωφρονέουσα. Γυνὴ γὰρ ἀνδρὶ φίλη ἐοῦσα καὶ τἀνδρὸς πρήσσουσα κρηγύως, ἁρμονίη ὑπάρχει καὶ οἶκον τὸν ξύμπαντα φιλέει, καὶ τοὺς θύρηθεν εὐνόους τῇ οἰκίῃ ποιέει. Ἐπὴν δὲ μὴ φιλέῃ, οὔτε οἶκον, οὔτε παῖδας τοὺς ἑωυτῆς, οὔτε θεράποντας, οὔτε οὐσίην ἡντιναῶν ἐθέλει σῴην ἐσιδέειν, φθορὴν δὲ πᾶσαν ἀρέεται [s] καὶ εὔχεται εἶναι ὡς πολεμίῃ ἐοῦσα, καὶ τὸν ἄνδρα εὔχεται τεθνάναι ὡς ἐχθρόν, ὅκως ἄλλοισι ὁμουρέῃ, καὶ ὁκόσοι ἀνδάνουσι τουτέῳ ἐχθαίρει. Οὐ δρᾶν [t] δὲ αὐτὴν ὧδε δοκέω, εἰ πλείῃ [u] τελέθει φρονήσιός τε καὶ σωφροσύνης. οὐ γὰρ μοῦνον ὠφελήσει [x] τὸν ἄνδρα, ἀλλὰ καὶ παῖδας καὶ ξυγγενέας καὶ δούλους [y] καὶ τὴν οἰκίην ξύμπασαν, ἐν ᾗ καὶ κτήματα καὶ φίλοι πολιῆταί τε καὶ ξένοι εἰσί· καὶ ἀπεριεργίῃ τὸ σκῆνος διάξει τουτέων, λεσχαίνουσά τε καὶ ἀκούουσα καλά, καὶ ἀκολουθέουσά τε αὐτέῳ κατ' [z] ὁμοδοξίην τῆς ζυνῆς βιοτῆς, καὶ οἷς ἐκεῖνος αὔξει ξυγγενέσι τε καὶ φίλοισι ξυνομαρτέουσα, καὶ ταυτὰ ἡγεομένη γλυκέα τε καὶ πικρὰ τἀνδρί, ἢν μὴ ἀναρμόνιος ἐς τὸ πᾶν ἔῃ.

(Stobæus Flor. LXXXV, 19. Emendavi : [a] γυναῖκα νώσασθαι cum Valckenario ad Herod. IX, 54; codd. γυνὰ ἱκανώσασθαι. [b] τοιήδε; vulgo τοίηγε. [c] κατορέομεν cum Meinekio; codd. καὶ ὀρέομεν. [d] κρατέῃ; codd. κρατῇ. [e] τουτέων; codd. τούτων. [f] λεπτὰ; codd. εἰκότα. [g] μικρὰ τάπερ; codd. ταῦτα ἅπερ. [h] λέλαχε; membranæ λελάχαται. [i] μήκοτε διζήσθω ψυχῇ; libri μήποτε διζέσθω ψυχή. [k] ἀπ' ὧν; codd. ἄπουν. [l] τοῖσι ἐκγόνοισι; codd. τοῖς ἐγγόνοις. [m] ἑωυτῆς ζώειν; codd. ἑαυτῆς ζώην. [n] τουτέῳ; libri τούτῳ. [o] τοῦ; libri τῶ. [p] οὐκί; libri οὐκέτι. [q] ἀκροάσασθαι; codd. ὥσασθαι vel ἄσασθαι. [r] οὕτω θήσεται cum Meinekio; libri τοῦτο ζήσεται. [s] ἀρέεται cum eodem; codd. ἀγεῖται. [t] οὐ δρᾶν cum eodem; libri ὁρῆν vel ὁρᾶν. [u] πλείῃ; membranæ πλείως vel ἐπλεῖος. [x] ὠφελήσει cum

---

nobilitatem, divitias, in ampla civitate nasci, denique illustrium ac principum virorum gloriam atque amicitiam. Hæc enim si adsunt, non sunt molesta; si absunt, sui non incutiunt desiderium. Quippe prudens mulier sine hisce bene vivere non impeditur. Quare si parva sint ista quæ sorte ei obtigerunt, ne unquam animo magna illa et admiranda appetat, sed etiam sine iis pergat : obsunt enim magis quam prosunt ad calamitates pertrahentia : nam comites iis adsunt insidiæ, æmulatio, invidia : quamobrem mulier iis fruens tranquilla degere vix poterit. Cæterum oportet deos colat bona felicitatis spe freta, legibus ac ritibus patriæ obtemperans. Proximo a diis loco parentes honorandos colendosque esse ajo : quippe hi deorum instar omnia liberis suis sunt ac præstant. Porro cum marito suo ita eam vivere convenit legitime ac sincere, ut nihil reputet proprium, sed lectum conjugalem servet atque custodiat : in hoc enim sita sunt cuncta. Quæ marito contingunt omnia patienter ferenda sunt, sive infeliciter rem gerat, sive delinquat imprudenter, aut per morbum, aut per ebrietatem, sive cum aliis mulieribus rem habuerit. Viris enim hoc delictum conceditur, mulieribus vero minime, sed pœna iis instat. Quocirca legi parendum est et zelotypia omnis vitanda, ferenda insuper in marito iracundia, parsimonia, querela, zelotypia, criminatio ac si quod aliud vitium innatum habet, quia si sapit res omnes sic ex ejus sententia uxor ordinabit. Uxor enim, quæ viro cara est ejusque res recte administrat, harmoniæ vicem obtinet totamque familiam amat atque externorum quoque ei benevolentiam conciliat. Quodsi non amat : neque domum, neque liberos suos, neque famulos, neque ullius rem familiarem salvam videre vult, sed omne iis exitium, tanquam hostis, precatur et optat, suumque maritum quasi inimicum cupit mori, ut aliorum fruatur commercio, hominesque ei gratos odit. Neque vero ita eam acturam esse existimo, si prudentiæ modestiæque plena sit. Nam non solum viro proderit, sed etiam liberis, cognatis, famulis totique domui, in qua possessiones, amici, cives hospitesque versantur : atque eorum corpora sine luxu ornabit, honesta et loquens et audiens : porro se viro sociam communis vitæ præbebit, iisque quos maritus celebrat cognatis atque amicis familiariter utetur : denique eadem dulcia et amara, quæ maritus suus existimat, esse statuet, nisi plane inconcinna mulier sit.

Jacobsio Epist. ad Schowium; libri ἐθελήσει. [y] δούλους; codd. δούλως. [z] κατ'; codd. καθ'. [\]

14.

ΦΙΝΤΥΟΣ ΤΑΣ ΚΑΛΛΙΚΡΑΤΕΟΣ ΘΥΓΑΤΡΟΣ ΠΥΘΑΓΟΡΕΙΑΣ ΕΚ ΤΟΥ ΠΕΡΙ ΓΥΝΑΙΚΟΣ ΣΩΦΡΟΣΥΝΑΣ.

Τὸ μὲν ὅλον ἀγαθὰν δεῖ ἦμεν καὶ κοσμίαν· ἄνευ δ' [a] ἀρετᾶς οὐδέποκ' ἂν [b] γένοιτό τις τοιαύτα. Ἑκάστα [c] γὰρ ἀρετὰ περὶ ἕκαστον γινομένα τὸ αὐτᾶς δεκτικὸν ἀποδίδωτι σπουδαῖον· ἁ μὲν τῶν ὀπτίλων τὼς ὀπτίλως, ἁ δὲ τᾶς ἀκοᾶς τὰν ἀκοάν, καὶ ἁ μὲν ἵππω τὸν ἵππον, ἁ δ' ἀνδρὸς τὸν ἄνδρα· οὕτω δὲ καὶ ἁ [d] γυναικὸς τὰν γυναῖκα. Γυναικὸς δὲ μάλιστα ἀρετὰ σωφροσύνα· διὰ γὰρ ταύτας τὸν ἴδιον ἄνδρα καὶ τιμᾶν καὶ ἀγαπᾶν δυνασεῖται. Πολλοὶ μὲν ἴσως δοξάζονσι, ὅτι οὐκ εὐάρμοστον γυναικὶ φιλοσοφέν, ὥσπερ οὐδ' ἱππεύεν οὐδὲ δαμαγορέν· ἐγὼ δὲ τὰ μέν τινα νομίζω ἀνδρὸς ἦμεν ἴδια, τὰ δὲ γυναικός, τὰ δὲ κοινὰ ἀνδρὸς καὶ γυναικός, τὰ δὲ μᾶλλον ἀνδρὸς ἢ γυναικός, τὰ δὲ μᾶλλον γυναικὸς ἢ ἀνδρός. Ἴδια μὲν ἀνδρὸς τὸ στρατηγὲν καὶ πολιτεύεσθαι καὶ δαμαγορέν· ἴδια δὲ γυναικὸς τὸ οἰκουρὲν καὶ ἔνδον μένεν καὶ ἐκδέχεσθαι καὶ θεραπεύεν τὸν ἄνδρα. Κοινὰ δέ φαμι ἀνδρίαν καὶ δικαιοσύναν καὶ φρόνασιν· καὶ γὰρ τὰς τῶ σώματος ἀρετὰς πρέπον ἔχεν καὶ ἀνδρὶ καὶ γυναικὶ καὶ τᾶς ψυχᾶς ὁμοίως· καὶ ὡς ὑγιαίνεν τῷ σώματι ἀμφοτέροις ὠφέλιμον, οὕτως ὑγιαίνεν τᾷ ψυχᾷ· σώματος δὲ ἦμεν ἀρετὰς ὑγίειαν, ἰσχύν, εὐαισθησίαν, κάλλος. Τὰ δὲ μᾶλλον ἀνδρὶ καὶ ἀσκὲν καὶ ἔχεν οἰκεῖόν ἐντι, τὰ δὲ μᾶλλον γυναικί. ἀνδρότατα μὲν γὰρ καὶ φρόνασιν μᾶλλον ἀνδρὶ καὶ διὰ τὰν ἕξιν τῶ σώματος καὶ διὰ τὰν δύναμιν τᾶς ψυχᾶς, σωφροσύναν δὲ γυναικί. Διὸ δεῖ περὶ σωφροσύνας παιδευομέναν γνωρίζεν, ἐκ πόσων τινῶν καὶ ποίων τοῦτο τἀγαθὸν τᾷ γυναικὶ περιγίνεται [c]. Φαμὶ δὴ ἐκ πέντε τούτων· πρᾶτον μὲν ἐκ τᾶς περὶ τὰν εὐνὰν ὁσιότατός τε καὶ εὐσεβείας· δεύτερον δὲ ἐκ τῶ κόσμω τῶ περὶ τὸ σῶμα· τρίτον ἐκ τᾶν ἐξόδων τᾶν ἐκ τᾶς ἰδίας οἰκίας· τέταρτον δ' ἐκ τῶ μὴ χρέεσθαι τοῖς ὀργιασμοῖς καὶ ματρῳασμοῖς· πέμπτον δ' ἐκ τῶ [f] ἐν τᾷ θυσίᾳ τᾷ περὶ [g] τὸ θεῖον εὐλαβέεσθαι ἦμεν καὶ μετρίαν. Τούτων δὲ μέγιστον αἴτιον καὶ συνεκτικώτατον τᾶς σωφροσύνας τὸ περὶ τὰν εὐνὰν ἦμεν ἀδιάφθορον καὶ ἄμικτον θυραίῳ ἀνδρί. Πρᾶτον μὲν γὰρ ἐς τοῦτο παρανομοῖσα ἀδικεῖ τὼς γενεθλίως θεώς, [h] οἵκοις καὶ συγγενείᾳ οὐ γνασίως ἐπικούρως [i] ἀλλὰ νόθως [k] πορρεχομένα· ἀδικεῖ δὲ τὼς φυταλμίως [l] θεὼς τὼς εἶπεν ἐπομόσασα μετὰ τῶν αὐτᾶς πατέρων τε καὶ συγγενῶν συνελεύσεσθαι ἐπὶ κοινωνίᾳ βίω καὶ τέκνων γενέσι τὰ κατὰ νόμον. ἀδικεῖ δὲ καὶ τὰν αὐτᾶς πατρίδα, μὴ ἐμμένουσα τοῖς ἐνδιατεταγμένοις. Ἔπειτα ἐπὶ τούτοις ἀμβλακίσκει, ἐφ' οἷς τὸ μέγιστον τῶν προστίμων ὥρισται θάνατος διὰ τὰν ὑπερβολὰν τῶ ἀδικήματος· ἔχθεσμον γὰρ [o] καὶ ἀσυγγνωμονέστατον ἦμεν φαμι [p] ἀδωνᾶς ἕνεκεν ἁμαρτάνεν καὶ ὑβρίζεν· ὕβριν δὲ πάσας πέρας ὄλεθρος. Κἀκεῖνο δὲ χρὴ διαλογίζεσθαι, ὡς οὐδὲν καθάρσιον εὑρήσει τᾶς ἀμπλακίας ταύτας ἄκος, ὥστε ὡς ἱερὰ θεῶν καὶ βωμὼς ποτε

14.

PHINTYOS FILIÆ CALLICRATIS PYTHAGOREÆ EX LIBRO DE TEMPERANTIA MULIERIS.

Omnino bonam et modestam esse oportet : nunquam autem sine virtute talis evaserit. Singulæ enim virtutes singulis insitæ id cui contigerunt bonum faciunt; et oculorum quidem virtus oculos, auditus auditum, equi equum, viri virum, sic etiam mulieris mulierem. Est vero prima virtus mulieris temperantia : siquidem hujus beneficio virum suum et colere et amare poterit. Multi fortasse existimant, philosophari non decere mulierem, ut nec equitare neque concionari : ego vero arbitror opera quædam propria viri esse, alia mulieris, alia utriusque communia, item alia potius ad virum quam ad mulierem pertinere, alia contra. Viri propria sunt exercitum ducere, civitatem regere et concionari : mulieri autem peculiare est ædes custodire, domi inclusam manere, excipere virum atque ei ministrare. Communia autem dico fortitudinem, justitiam, prudentiam : quippe tum corporis virtutes et virum et mulierem habere par est, tum animi similiter : et ut bona corporis valetudine uti utrisque prodest, sic etiam animi sanitas : cæterum corporis virtutes esse : sanitatem, robur, sensuum integritatem, pulchritudine[illegible] Sunt vero ex virtutibus, quas magis virum et exercere[illegible] habere conveniat, aliæ mulierem magis decent. In viri[illegible] magis cadunt fortitudo ac prudentia tam propter corpo[illegible] habitum, quam propter animi facultatem, in mulier[illegible] vero temperantia. Quocirca hac virtute instituend[illegible] scire opus est, ex quot quibusque rebus bonum hoc m[illegible] lieri confletur. Constat igitur ex istis quinque, primu[illegible] ex sanctitate et pietate circa conjugium, deinde ex orna[illegible] corporis, tum ex egressibus e domo propria, denique a[illegible] tinendo Bacchanalibus et matris deûm sacris, postrem[illegible] cautione et moderatione in sacrificiis quæ ad deos ver[illegible] randos sunt adhibenda. Ex his maxima et gravissi[illegible] temperantiæ causa est castitas uxoris alienorumque vi[illegible] rum commercii vacuitas. Principio enim, hac parte [illegible] peccet, offendit deos penates, ut quæ domui et cognati[illegible] non germanos auxiliatores, sed spurios exhibeat : q[illegible] etiam injuriosa est in deos generationis præsides quos [illegible] testata cum parentibus et cognatis suis dixerat se cor[illegible] ecturam legitime cum marito ad vitæ communionem et [illegible] berorum procreationem. Sed in patriam quoque pec[illegible] non persistens in ejus decretis. Deinde in hisce re[illegible]

χομέναν ἦμεν ἀγνὰν καὶ θεοφιλάταν· ἐπὶ γὰρ ταύτᾳ τᾷ ἀδικίᾳ μάλιστα καὶ τὸ δαιμόνιον ἀσυγγνωμόνητον γίνεται. Κάλλιστος δὲ κόσμος γυναικὸς ἐλευθέρας μέγιστόν τε κῦδος[q] τὸ διὰ τῶν αὐτᾶς τέκνων ἐπιμαρτύρασθαι τὰν σωφροσύναν τὰν ποτὶ τὸν ἄνδρα, αἴκα τὸν τύπον τᾶς ὁμοιότατος ἐπιφέρωντι τῶ κατασπείραντος αὐτὼς πατρός. Καὶ περὶ μὲν εὐνᾶς οὕτως ἔχει· περὶ δὲ τῶ κόσμω τῶ περὶ τὸ σῶμα δοκεῖ μοι οὕτως. Δεῖ λευχείμονα ἦμεν καὶ ἁπλοϊκὰν καὶ ἀπερίσσευτον. Ἔσεῖται δὲ τοῦτο, αἴκα μὴ διαφανέεσσι μηδὲ διαποικίλοις μηδὲ ἀπὸ βόμβυκος ὑφασμένοις χρᾶται τοῖς περὶ τὸ σῶμα, ἀλλὰ μετρίοις καὶ λευκοχρωμάτοις. οὕτω γὰρ τὸ μᾶλλον κοσμεῖσθαι καὶ τρυφὰν καὶ καλλωπισμὸν φευξεῖται[r], καὶ ζᾶλον οὐκ ἐμποιήσει μοχθηρὸν ταῖς ἄλλαις. Χρυσὸν δὲ καὶ σμάραγδον ἁπλῶς μὴ περιτίθεσθαι· καὶ γὰρ πολυχρήματον καὶ ὑπεραφανίαν ἐμφαῖνον ποττὰς δαμοτικάς. Δεῖ δὲ τὰν εὐνομουμέναν πόλιν, ὅλαν αὐτὰν δι' ὅλας τεταγμέναν, συμπαθέα τε καὶ ὁμοιόνομον ἦμεν, ἀπερύκεν δὲ καὶ δαμιοεργὼς ἐκ τᾶς πόλιος τὼς ἐργαζομένως τὰ τοιαῦτα. Χρώματι δὲ φαιδρύνεσθαι τὰν ποτῶπα μὴ ἐπακτῷ καὶ ἀλλοτρίῳ, τῷ δ' οἰκείῳ τῶ σώματος δι' αὐτῶ τῶ ὕδατος ἀπολουομέναν, κοσμὲν δὲ μᾶλλον αὐτὰν αἰσχύνᾳ· καὶ γὰρ τὸν συμβιῶντα καὶ αὐτὰν ἔντιμον παρέξεται. Τὰς δὲ ἐξόδως ἐκ τᾶς οἰκίας ποιεῖσθαι τὰν γυναῖκα[s] τὰς δαμοτελέας θυσίας θύουσαν τῷ ἀρχαγέτᾳ θεῷ τᾶς πόλιος ὑπὲρ αὐτᾶς καὶ τῶ ἀνδρὸς καὶ τῶ παντὸς οἴκω· ἔπειτα μήτε ὄρφνας ἐνισταμένας[t] μήτε ἑσπέρας, ἀλλὰ πλαθυούσας ἀγορᾶς καταφανέα γινομέναν τὰν ἔξοδον ποιεῖσθαι θεωρίας ἕνεκά τινος ἢ ἀγορασμῶ οἰκήω, μετὰ θεραπαίνας μιᾶς ἢ καττὸ πλεῖστον δύο εὐκόσμως χειραγωγουμέναν. Τὰς δὲ θυσίας λιτὰς παριστάμεν τοῖς θεοῖς καὶ κατὰ δύναμιν, ὀργιασμῶν δὲ καὶ ματρωασμῶν τῶν κατ' οἶκον ἀπέχεσθαι. καὶ γὰρ ὁ κοινὸς νόμος τᾶς πόλιος ἀπερύκει ταῦτα[x] τὰς γυναῖκας ἐπιτελέν, καὶ ἄλλως καὶ ὅτι μέθας καὶ ἐκστάσιας ψυχᾶς ἐπάγοντι ταὶ θρησκεύσιες αὗται· τὰν δὲ οἰκοδέσποιναν καὶ προκαθεζομέναν οἴκω δεῖ σώφρονα καὶ ἀνέπαφον ἦμεν ποτὶ πάντα.

(Stobæus Flor. LXX, 61 et 61*a*. Emendavi : [a] δ' ἀρετᾶς; codd. γὰρ ἀρετᾶς. [b] οὐδέποχ' ἂν; codd. οὐδέποκα. [c] ἑκάστα; codd. ἑκάστη. [d] ἁ γυναικὸς cum Meinekio; codd. γυναικός. [e] περιγίνεται cum Nauckio; libri παραγίνεται. [f] πέμπτον δ' ἐκ τῶ ἐν τᾷ θυσίᾳ; libri πέμπτον δ' ἐν τᾷ θυσίᾳ. [g] περὶ; codd. πρὸς. [h] τὼς γενεθλίως θεὼς; libri γενεθλίους θεοὺς. [i] γνασίως ἐπικούρως; codd. γνασίους ἐπικούρους. [k] νόθως; libri νόθους. [l] τὼς φυταλμίως; codd. τοὺς φύσι. [m] τὼς εἶπεν; codd. οὕσπερ. [n] ἀμβλακίσκει; libri ἀμβλακίσκεν. [o] ἔκθεσμον γὰρ cum Meinekio; libri ἔκθεσμον. [p] ἦμέν φαμι; codd. ἦμεν. [q] μέγιστόν τε κῦδος; libri πράττεν εὖ τ' εἶδος. [r] φευξεῖται; libri φεύξεται. [s] τὰν γυναῖκα; codd. τὰς γυναῖκας. [t] τὰς δαμοτελέας θυσίας θύουσαν; libri τὰς δαμοτελέας θυηπολούσας. [u] ἐνισταμένας cum Gesnero; codd. ἀνισταμένας. [x] τᾶς πόλιος ἀπερύκει ταῦτα; codd. ἀπερύκει τᾶς πόλιος ταύτας.)

relinquit, quibus maxima pœna constituta est, mors ipsa, propter sceleris magnitudinem. Esse enim nefarii hominis atque immisericordis ajo, voluptatis causa noxam admittere aliosque injuria afficere : omnis autem injuriæ finis pernicies est. Considerandum porro et istud, talem mulierem nullum hujus delicti piaculum inventuram, ut quum ad templa et aras deorum accesserit, sancta sit et deo accepta : nam huic sceleri ipse etiam deus infestissimus est. Sed pulcherrimum matronæ ornamentum summaque gloria sita est in pudicitia conjugali per liberos testata, si illi simillimam genitoris sui imaginem referant. Et hactenus quidem de ipso conjugio : cæterum quod ad corporis ornatum attinet, de eo sic sentio. Oportet albam vestem gerere, simplicem esse, sed nimis exquisita munditia carere. Quod fiet, si non translucidas neque discolores neque ex bombyce contextas vestes ad tegendum corpus adhibuerit, sed moderatas et candidas. Sic enim nimium ornatum, luxum et lenocinia vitabit pravamque æmulationem aliis non injiciet. Aurum vero et smaragdum omnino ne gestet corpore : nam res pretiosissima est et superbiam in plebeias mulieres arguit. Civitatem autem bene constitutam, per omnes partes suas ex æquo ordinatam, concordare atque iisdem legibus uti ideoque hujusmodi rerum artifices a mœnibus arcere oportet. Facies vero non ascititio et alieno colore decoretur, sed proprio corporis, solaque aqua abluatur, ac pudore potius mulier ornetur : nam hac ratione et convictorem suum et se ipsam venerabilem exhibebit. Egrediatur autem domo matrona publice litatura deo civitatis præsidi pro se et marito totaque familia : porro nec instante nocte neque vespera, sed foro hominibus pleno exeat mulier, vel ad spectandum aliquid, vel emendum, ab una ancilla aut ad summum duabus honeste deducta. Fiant autem tenuia diis sacrificia et pro facultatibus; cæterum Bacchanalibus et matris deûm sacris domi abstineat. Nam publica civitatis lege mulieres obire talia prohibentur, præsertim quum ebrietatem istæ cærimoniæ adducant mentemque alienent : at matrem familias, quæ domui administrandæ præest, temperantem a rebus omnibus puramque esse convenit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΤΙΜΑΙΩ ΤΩ ΛΟΚΡΩ

ΠΕΡΙ ΨΥΧΑΣ ΚΟΣΜΩ

ΚΑΙ ΦΥΣΙΟΣ.

§ 1. Τίμαιος ὁ Λοκρὸς τάδε ἔφα, δύο αἰτίας εἶμεν τῶν ξυμπάντων, νόον μὲν τῶν κατὰ λόγον γινομένων· ἀνάγκαν δὲ τῶν βίᾳ καττὰς δυνάμιας τῶν σωμάτων. Τουτέων δὲ τὸν μὲν τᾶς τἀγαθῶ φύσιος εἶμεν θεόν τε ὀνυμαίνεσθαι ἀρχάν τε τῶν ἀρίστων, τὰ δ' ἐπόμενά τε καὶ συναίτια ὄντα ἐς ἀνάγκαν ἀνάγεσθαι. τὰ δὲ ξύμπαντα ἰδέαν, ὕλαν αἰσθητόν τε, οἷον ἔκγονον τουτέων. Καὶ τὸ μὲν εἶμεν ἀγέννατόν τε καὶ ἀκίνατον καὶ μένον τε καὶ τᾶς ταὐτῶ φύσιος, νοατόν τε καὶ παράδειγμα τῶν γεννωμένων, ὁκόσα ἐν μεταβολᾷ ἐντί· τοιοῦτον γάρ τι τὰν ἰδέαν λέγεσθαί τε καὶ νοῆσθαι. τὰν δ' ὕλαν ἐκμαγεῖον καὶ ματέρα τιθάναν τε καὶ γεννατικὰν εἶμεν τᾶς τρίτας οὐσίας· δεξαμέναν γὰρ τὰ ὁμοιώματα ἐς ἑαυτὰν καὶ οἷον ἀναμαξαμέναν ἀποτελῆν τάδε τὰ γεννάματα. Ταύταν δὲ τὰν ὕλαν ἀΐδιον μὲν ἔφα, οὐ μὰν ἀκίνατον, ἀμόρφωτον δὲ καθ' αὑτὰν καὶ ἀσχημάτιστον, δεχομέναν δὲ πᾶσαν μορφάν. τὰν δὲ περὶ τὰ σώματα μεριστὰν εἶμεν καὶ τᾶς θατέρω φύσιος. ποταγορεύοντι δὲ τὰν ὕλαν τόπον καὶ χώραν. Δύο ὧν αἵδε ἀρχαὶ ἐναντίαι, ἃν τὸ μὲν εἶδος λόγον ἔχει ἄῤῥενός τε καὶ πατρός, ἁ δ' ὕλα θήλεός τε καὶ ματέρος· τρίτα δὲ εἶμεν τὰ ἐκ τούτων ἔκγονα.

TIMÆI LOCRI

DE ANIMA MUNDI

ET NATURA.

§ 1. Timæus Locrus hæc dixit, duas esse rerum omnium causas, mentem quidem earum quæ ratione quadam nascuntur, necessitatem vero earum quæ violentia quadam pro corporum viribus exsistunt. Harum rerum, id est naturæ bonorum, optimum esse quoddam rerum optimarum principium et deum appellari : ea autem quæ consequuntur et tanquam adjutrices causæ accedunt, ad necessitatem revocari. Omnia enim esse ideam, materiam, sensibile, veluti illarum fœtum. Et hanc quidem esse ortus expertem atque immobilem et stabilem et ejusdem naturæ, porro intelligibilem rerumque genitarum quæ perpetuo mutantur exemplar : nam hujusmodi quid ideam dici et mente comprehendi. Materiam autem esse expressum rerum simulacrum et matrem et nutricem et ad generationem tertiæ essentiæ aptam : quum enim imagines rerum conceperit atque effinxerit, hos eam fœtus producere. Hanc vero materiam ajebat esse sempiternam, nec tamen immobilem, atque informem quidem per se et rudem, sed omnis formæ capacem. Præterea eam circa corpora dividuam esse et alterius naturæ participem.

τρία δὲ ὄντα τρισὶ γνωρίζεσθαι, τὰν μὲν ἰδέαν νόῳ κατ' ἐπιστάμαν, τὰν δ' ὕλαν λογισμῷ νόθῳ τῷ μήπω κατ' εὐθυωρίαν νοῆσθαι ἀλλὰ κατ' ἀναλογίαν, τὰ δὲ ἀπογεννάματα αἰσθήσι καὶ δόξᾳ.

§ 2. Πρὶν ὧν ὠρανὸν γενέσθαι λόγῳ ἦστην ἰδέα τ καὶ ὕλα καὶ ὁ θεὸς δαμιουργὸς τῶ βελτίονος. ἐπε δὲ τὸ πρεσβύτερον καῤῥον ἐστὶ τῶ νεωτέρω καὶ τ τεταγμένον πρὸ τῶ ἀτάκτω, ἀγαθὸς ὢν ὁ θεὸς ὁρῶν τ τὰν ὕλαν δεχομέναν τὰν ἰδέαν καὶ ἀλλοιουμέναν παν τοίως μέν, ἀτάκτως δέ, ἐδῆτ' ἐς τάξιν αὐτὰν ἄγεν κα ἐξ ἀορίστων μεταβολᾶν ἐς ὡρισμέναν καταστᾶσαι, ὅ ὁμόλογοι ταὶ διακρίσιες τῶν σωμάτων γίνοιντο καὶ μ κατ' αὐτόματον τροπὰς δέχοιντο. Ἐποίησεν ὦ τόνδε τὸν κόσμον ἐξ ἁπάσας τᾶς ὕλας, ὅρον αὐτὸν κο τασκευάξας τᾶς τῶ ὄντος φύσιος διὰ τὸ τἆλλα πάντ ἐν αὐτῷ περιέχειν, ἕνα, μονογενῆ, τέλειον, ἔμψυχόν καὶ λογικόν· (κρέσσονα γὰρ τάδε ἀψύχω καὶ ἀλόγ ἐστόν·) σφαιροειδὲς σῶμα· τελειότερον γὰρ τῶν ἄλλω σχημάτων ἦν τοῦτο. Δηλόμενος ὧν ἄριστον γέν ναμα ποιῆν, τοῦτον ἐποίη θεὸν γεννατόν, οὗ ποκ φθαρησούμενον ὑπ' ἄλλω αἰτίω ἔξω τῶ αὐτὸν ξυντετα γμένω θεῶ, εἴ ποκα ἐδήλετο αὐτὸν διαλύεν. ἀλ

Nominant autem materiam locum et sedem. Duo ha igitur sunt contraria principia, e quibus species maris patris, materia feminæ et matris vicem obtinet : tert loco esse fœtus ex his prognatos. Quum vero hæc t sint, tribus quoque modis cognosci, speciem quid mente ac scientia, materiam subditiva ratiocination quod non recta rei animadversione, sed ex proportio quadam intelligatur, sobolem denique illorum parentu sensu et opinione.

§ 2. Antequam igitur cœlum exstaret, verbo erant sp cies et materia atque ille rerum meliorum opifex de Quandoquidem autem ætate prius posteriori et ordinat inordinato præstat, deus quum esset bonus videretq materiam admittere formam et mutari varie quidem, s inordinate, necesse habebat eam in ordinem digerere que ex infinitis mutationibus ad certam finitamque re gere, ut corporum discrimina apte responderent ne temere conversionibus obnoxia essent. Hunc ergo mu dum ex omni materia procreavit deus eumque rer naturæ terminum constituit propterea quod cætera omn

ὐ γὰρ τἀγαθῶ ἐστιν ὁρμὰ ἐπὶ φθορὰν γεννάματος καλ-
ίστω· διαμένει ἄρα τοιόσδε ὢν ἄφθαρτος καὶ ἀνώλε-
ρος καὶ μακάριος. Κράτιστος δ' ἐστὶ γεννατῶν,
πεὶ ὑπὸ τῶ κρατίστω αἰτίω ἐγένετο, ἀφορῶντος οὐκ
ς χειρόκματα παραδείγματα ἀλλ' ἐς τὰν ἰδέαν καὶ ἐς
ὰν νοατὰν οὐσίαν, ποθ' ἅν περ τὸ γεννώμενον ἀπα-
ριβωθὲν κάλλιστόν τε καὶ ἀπαρεγχείρητον γίνεται.
έλειος δ' ἀεὶ κατὰ τὰ αἰσθητά ἐστιν, ὅτι καὶ τὸ πα-
άδειγμα τᾶνο αὐτῶ, περιέχον πάντα τὰ νοατὰ ζῶα
ν αὐτῷ, οὐδὲν ἐκτὸς ἀπέλιπεν ἄλλο, ὅρος ὢν νοατῶν
αντελής, ὡς ὅδε ὁ κόσμος αἰσθητῶν. Στερεὸς δὲ
ν ἁπτός τε καὶ ὁρατὸς γᾶς μεμόρακται πυρός τε καὶ
ῶν μεταξὺ ἀέρος καὶ ὕδατος. Ἐκ παντελέων δὲ ξυν-
τακε σωμάτων, τά περ ὅλα ἐν αὐτῷ ἐντι, ὡς μή
οκα μέρος ἀπολειφθῆμεν ἐκτὸς αὐτῶ, ἵνα ᾖ αὐταρ-
έστατον τὸ τῶ παντὸς σῶμα, ἀκήρατον τῶν ἐκτὸς
ηρῶν, οὐ γάρ τι ἦν δίχα τουτέων, ἀλλὰ καὶ τῶν
τός. τὰ γὰρ καττὰν ἁρίσταν ἀναλογίαν συντεθέντα
ἰσοδυναμίᾳ οὔτε κρατεῖ ἀλλάλων ἐκ μέρεος οὔτε
ατεῖται, ὡς τὰ μὲν αὔξαν, τὰ δὲ φθίσιν λαμβάνεν,
ένει δ' ἐν ξυναρμογᾷ ἀδιαλύτῳ κατὰ λόγον ἄριστον.
§ 3. Τριῶν γὰρ ὡντινῶν ὅρων ὅτε καὶ τὰ διαστά-
ατα καττὸν αὐτὸν ἐστάθη λόγον ποτ' ἄλλαλα, τότε
δὴ τὸ μέσον ῥυσμῶ δίκαν ὁρήμεθα ποττὸ πρᾶτον ὅ, τι
περ τὸ τρίτον ποτ' αὐτό, κἂν πάλιν καὶ παραλλὰξ
κατ' ἐφάρμοσιν τόπων καὶ τάξιος. Ταῦτα δ' ἀριθμή-
μεναι μὴ μετ' ἰσοκρατίας ἁμάχανον παντί· εὖ δ' ἔχει
καὶ καττὸ σχῆμα καὶ καττὰν κίνασιν, καθ' ὃ μὲν
σφαῖρα ὄν, ὡς ὅμοιον αὐτὸ αὑτῷ παντᾷ εἶμεν καὶ
πάντα τἄλλα ὁμογενέα σχήματα χωρῆν δύνασθαι,
καθ' ἂν δὲ ἐγκύκλιον μεταβολὰν ἀποδιδὸν δι' αἰῶνος.
Μώνα δὲ ἁ σφαῖρα ἐδύνατο καὶ ἀρεμέωσα καὶ κινω-
μένα ἐν τᾷ αὐτᾷ συναρμόσαι χώρᾳ, ὡς μήποκα ἀπο-
λείπεν μήτε λαμβάνεν ἄλλον τόπον, τῷ ἐκ μέσω ἴσον
εἶμεν πάντα. Λειότατον δ' ὂν ποτ' ἀκρίβειαν καττὰν
ἐκτὸς ἐπιφάνειαν, οὐ ποτιδέεται θνατῶν ὀργάνων, ἃ
διὰ τὰς χρείας τοῖς ἄλλοις ζώοις ποτάρτηταί τε καὶ
διᾶκται. Τὰν δὲ τῶ κόσμω ψυχὰν μεσόθεν ἐξάψας
ἐπάγαγεν ἔξω, περικαλύψας αὐτὸν ὅλον αὐτᾷ, κρᾶμα
αὐτὰν κερασάμενος ἔκ τε τᾶς ἀμερίστω μορφᾶς καὶ
τᾶς μεριστᾶς οὐσίας, ὡς ἓν κρᾶμα ἐκ δύο τουτέων
εἶμεν ᾧ ποτέμιξε δύο δυνάμιας, ἀρχὰς κινασίων, τᾶς
τε ταὐτῶ καὶ τᾶς τῶ ἑτέρω, ἃ καὶ δύσμικτος ἐᾶσα οὐκ
ἐκ τῶ ῥᾴστω συνεκίρνατο. Λόγοι δ' οἵδε πάντες ἐντὶ
κατ' ἀριθμὼς ἁρμονικὼς συγκεκραμένοι· ὡς λόγως
κατὰ μοῖραν διαιρήκει ποτ' ἐπιστάμαν, ὡς μὴ ἀγνοῇν

---

mplectitur, quum sit unus, unigena, perfectus, anima
ratione præditus (quippe hæc meliora sunt inanima-
et ratione carentibus), corpore globoso : hæc enim
ura reliquis figuris perfectior est. Quum igitur deus
let pulcherrimum fœtum producere, hunc effecit deum
nitum, nunquam alia causa interiturum, nisi ipsius dei
ificatoris opera, si quando dissolvere eum vellet. At
n est boni genitoris ad sui fœtus, et pulcherrimi qui-
m illius, perniciem impelli : permanet igitur mundus
is qualis est incorruptus et interitus expers et beatus.
t autem hæc compages rerum creatarum optima, quo-
m ab optimo auctore condita est, proponente sibi non
emplaria manu facta sed illam ideam et intelligibilem
sentiam; ad quam quum res illæ summa diligentia ac-
mmodarentur, pulcherrimæ et consummatæ exstiterunt.
rfectus vero semper est mundus in rebus sensibilibus,
ia etiam illud ejus exemplar, intelligibilia cuncta ani-
alia in sese continens, nihil extra reliquit aliud, quum
absolutus intelligibilium terminus, ut hic mundus sen-
ilium. Est porro solidus, tractabilis, aspectabilis
oque terram et ignem mediaque elementa aerem et
uam sortitus. Ex integris autem constat corporibus,
æ tota in eo sunt, ita ut nulla unquam pars extra
m relicta sit, ut plenissimum sit universi corpus atque
nalis tam externis quam internis liberum. Neque enim
idquam sine his elementis est. Namque ipsa pro
tima portione comparata in virium æqualitate neque
perant alia aliis ex parte neque parent, ut illa augean-
r, hæc minuantur, sed optima proportione perpetuo in-
solubili compage continentur.

§ 3. Quum enim tres quidam sint termini interjectis paribus inter se intervallis, videmus medium radii instar ad primum esse, quod tertium est ad ipsum, atque e contrario alternis secundum locorum et ordinis convenientiam. Recensere autem proportiones ortas non servatis æqualibus intervallis et quasi imperiis nemo potest : sed bene se habet res in figurarum et motus ratione oculis subjecta, qua mundus globosa præditus figura est, ita ut undique sui similis sit cæterasque omnes unius generis figuras capere possit, circularem motum perpetuo conservans. Atqui globosa figura sola potest et dum quiescit et dum movetur eidem loco convenire, ut nunquam vel deficiat vel in alium locum commigret, quoniam omnia paribus ab ipso medio distant intervallis. Quum porro levissimus externa specie et prorsus æquabilis sit, non indiget mortalibus instrumentis, quæ ad naturæ necessitatem cæteris animantibus aptata sunt et accommodata. At mundi animam mediæ rerum universitati indidit deus atque etiam extra eduxit, totius rerum compagis integumentum futuram certoque temperamento temperatam ex forma individua atque e dividua essentia, ita ut unum temperamentum ex his duabus rebus exsisteret, cui duas potentias admiscuit, motuum principia, ejusdem videlicet et alterius, quæ quidem anima quum haud facile mixtionem admittat, ægre etiam miscebatur. Sunt autem omnes hæ proportiones temperatæ ad numeros harmonicos; quas rationes ipse mundi opifex certis scientiæ legibus congruenter distinxerat, ita ut ignorare nemo possit, ex quibus rebus mundi anima conflata sit. Hanc autem non post corpoream essentiam composuit deus, quemad-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐξ ὧν ἁ ψυχὰ καὶ δι' ὧν συνεστάκει. ἂν οὐχ ὑστέραν τᾶς σωματικᾶς οὐσίας συνετάξατο ὁ θεός, ὥσπερ λέγομες ἁμές, (πρότερον γὰρ τὸ τιμιώτερον καὶ δυνάμι καὶ χρόνῳ,) ἀλλὰ πρεσβυτέραν ἐποίη, μίαν ἀφαιρέων τὰν πράταν μονάδων οὐσᾶν τεττόρων ποτὶ ὀκτὼ δεκάσι καὶ τρισὶν ἑκατοντάσι. Ταύτας δὲ τάν τε διπλασίαν καὶ τριπλασίαν ῥᾷον ξυλλογίξασθαι ἑσταμένῳ τῷ πράτῳ. Δεῖ δ' εἶμέν πως πάντας σὺν τοῖς συμπληρώμασι καὶ τοῖς ἐπογδόοις ὅρους ἓξ καὶ τριάκοντα, τὸν δὲ ξύμπαντα ἀριθμὸν γενέσθαι μυριάδων ἕνδεκα καὶ τεττόρων χιλιάδων ἑξακοσίων ζε'. ταὶ δὲ διαιρέσιες αὗταί ἐντι μυριάδες ια', δ' χ., χιε'. Τὰν μὲν ὧν τῷ ὅλῳ ψυχὰν ταῦτά πως διεῖλε.

§ 4. Θεὸν δὲ τὸν μὲν αἰώνιον νόος ὁρᾷ μόνος, τὸν πάντων ἀρχαγὸν καὶ γενέτορα τουτέων· τὸν δὲ γενατὸν ὄψι δρέομες, κόσμον τε τόνδε καὶ τὰ μέρεα αὐτῷ ὁκόσα ὠρανιά ἐντι, τάπερ αἰθέρια ὄντα διαιρετὰ δίχα, ὡς τὰ μὲν τᾶς ταὐτῷ φύσιος εἶμεν, τὰ δὲ τᾶς τῷ ἑτέρῳ. Ὧν τὰ μὲν ἔξωθεν ἄγει πάντα ἐν αὐτοῖς τὰ ἐντὸς ἀπ' ἀνατολᾶς ἐπὶ δύσιν τὰν καθ' ἅπαν κίνασιν, τὰ δὲ τᾶς τῷ ἑτέρῳ ἐντὸς ἀπὸ ἑσπέρας τὰ ποθ' ἕω μὲν ἐπαναφερόμενά τε καὶ καθ' αὑτὰ κινεόμενα, συμπεριδινέεται δὲ κατὰ συμβεβακὸς τᾷ ταυτῷ φορᾷ, κράτος ἐχοίσᾳ ἐν κόσμῳ κάρρον. Ἁ δὲ τῷ ἑτέρῳ φορὰ μεμερισμένα καθ' ἁρμονικὼς λόγως ἐς ἑπτὰ κύκλως συντέτακται. Ἁ μὲν ὧν σελάνα ποτιγειοτάτα ἐᾶσα ἔμμηνον τὰν περίοδον ἀποδίδωσι, ὁ δ' ἐ μετὰ ταύταν ἐνιαυσίῳ χρόνῳ τὸν αὐτῷ κύκλον ἐκτ Δύο δ' ἰσόδρομοι ἀελίῳ ἐντί, Ἑρμᾶ τε καὶ Ἥ τὸν Ἀφροδίτας καὶ φωσφόρον· τοὶ πολλοὶ καλέ νομῆς γὰρ καὶ πᾶς ὅμιλος οὐ σοφὸς τὰ περὶ τὰν ἰ ἀστρονομίαν ἐντὶ οὐδ' ἐπιστάμων ἀνατολᾶν τᾶν ἑ ρίαν καὶ ἑῴαν. ὁ γὰρ αὐτὸς ποκὰ μὲν ἕσπερος γίνε ἑπόμενος τῷ ἀλίῳ τοσοῦτον ὁκόσον μὴ ὑπὸ τᾶς α αὐτῷ ἀφανισθῆμεν, ποκὰ δὲ ἕῳος, αἴ κα προαγέητα ἀλίῳ καὶ προανατέλλῃ ποτ' ὄρθρον. φωσφόρο πολλάκις μὲν γίνεται ὁ τᾶς Ἀφροδίτας διὰ τὸ ὁμ μῆν ἀλίῳ, οὐκ ἀεὶ δέ, ἀλλὰ πολλοὶ μὲν τῶν ἀ νέων, πολλοὶ δὲ τῶν πλαζομένων· πᾶς δὲ ἐν με ἀστὴρ ὑπὲρ τὸν ὁρίζοντα πρὸ ἀλίῳ προγενόμενος ραν ἀγγέλλει. Τοὶ δ' ἄλλοι τρεῖς Ἄρεός τε καὶ καὶ Κρόνου, ἔχοντι ἴδια τάχεα καὶ ἐνιαυτὼς ἀνί ἐκτελέοντι δὲ τὸν δρόμον περικαταλάμψιας ποιεύ φάσιάς τε καὶ κρύψιας καὶ ἐκλείψιας, γεννᾷ ἀτρεκέας τε ἀνατολὰς καὶ δύσιας· ἔτι δὲ φάσιας ρὰς ἑῴας ἢ ἑσπερίας ἐκτελέοντι ποτὶ τὸν ἅλια ἁμέραν ἀποδίδωτι τὸν ἀπ' ἀνατολᾶς ἐπὶ δύσιν δρόμον, νύκτα δὲ τὰν ἀπὸ δύσιος ἐπ' ἀνατολὰν σιν κατ' ἄλλο ποιέεται, ἀγόμενος ὑπὸ τᾶς ταὐτ ρᾶς, ἐνιαυτὸν δὲ καττὰν αὐτῷ καθ' ἑαυτὸν κίν Ἐκ δὲ τουτέων τῶν κινασίων, δύο ἐασᾶν, τὰν ἐκτυλίσσει, ποθέρπων μὲν κατὰ μοῖραν ἐν ἁμε χρόνῳ, περιδινεύμενος δὲ ὑπὸ τᾶς τῶν ἀπλανέων

---

modum nos affirmamus, (quod enim honoratius est et potestate et tempore prius est,) sed multo ante creavit, ablata una ex quattuor primis quæ erant unitatibus ad octo decusses et tres centurias. Hujus vero duplum et triplum facile est colligere primo numero constituto. Cæterum omnes numeros cum suis supplementis et sesquioctavis oportet esse terminos sex et triginta, universum autem numerum fieri centenorum quattuordecim millium sexcentorum nonaginta quinque. Divisiones vero hæ sunt centies quater decies mille sexcentæ nonaginta quinque. Universi igitur animam hunc in modum fere divisit.

§ 4. Deum porro æternum sola mens videt, horum omnium auctorem et parentem : genitum autem oculis cernimus cum hunc mundum, tum ejus partes cœlestes, quæ in æthere sitæ bifariam dividuntur, ut quædam ejusdem naturæ, nonnullæ alterius sint. Harum aliæ quidem extrinsecus ducunt omnes quæ in ipsis sunt internas partes ab oriente ad occidentem communi quodam motu : eæ vero quæ ad motum alterius pertinent intra ab occidente ad orientem redeuntes peculiari quidem motu cientur, sed per accidens una circumaguntur ejusdem motu, qui in mundo majorem potentiam habet. At motus ille alterius harmonicis rationibus convenienter distributus septem circulorum ordinibus distinguitur. Luna igitur terræ proxima menstruum conficit circulum, sol autem post hanc annuo tempore orbem suum implet. Duo vero pari cun cursu eunt, Mercurii et Junonis astrum, quod Vene Luciferum vulgus vocat. Neque enim rerum astr carum scientia in pastoribus aut quolibet hominum est, qui etiam occidentis et orientis discrimina ign Idem enim modo vesperus est (i. e. occiduus), dum sequitur, eatenus ut ejus luce non obscuretur, modd sive orientalis vocatur, quum solem adventantem a dit et sub diluculum prior oritur. Lucifer igitur numero est Veneris stella, quod eodem cum sole feratur, nec tamen semper, quia idem faciunt stellæ tam inerrantes quam errantes : omnis enim magnitudinis stella quæ super circulum finitorem solem exstat, diem denuntiat. Jam vero alii tres pl Martis videlicet, Jovis et Saturni, habent peculiare ritates et inæquales annos : cursus autem suos justi tiis conficiunt, quippe qui certis temporibus et app et lateant et deficiant verosque ortus et occasus gene præterea manifestas apparitiones orientales et occide perficiunt ad solem, qui diem reddit eo cursu q oriente ad occidentem pergit, noctem vero alio contrario modo, dum ab occidente ad orientem m efficit, illo nimirum ejusdem motu se propipiens, a vero suo et peculiari motu. Propter duos hos duplicem orbem peragrat sol, partim ut decet diurn tio accedens, partim ab inerrantium stellarum

ρας καθ' ἑκάσταν περίοδον ὄρφνας καὶ ἀμέρας. Χρόνω δὲ τὰ μέρεα τάσδε τὰς περιόδως λέγοντι, ὃν ἐκόσμησεν ὁ θεὸς σὺν κόσμῳ· οὐ γὰρ ἦν πρὸ κόσμω ἄστρα, διόπερ οὐδ' ἐνιαυτὸς οὐδ' ὥρᾶν περίοδοι, αἷς μετρέεται ὁ γεννατὸς χρόνος οὗτος. Εἰκὼν δέ ἐστι τῶ ἀγεννάτω χρόνω, ὃν αἰῶνα ποταγορεύομες· ὡς γὰρ ποτ' ἀΐδιον παράδειγμα τὸν ἰδανικὸν κόσμον ὅδε ὁ ὠρανὸς ἐγεννάθη, ὡς πρὸς παράδειγμα τὸν αἰῶνα ὅδε ὁ χρόνος σὺν κόσμῳ ἐδαμιουργήθη.

§ 5. Γᾶ δ' ἐν μέσῳ ἱδρυμένα, ἑστία θεῶν, ὅρος τε ὄρφνας καὶ ἀμέρας γίνεται, δύσιάς τε καὶ ἀνατολὰς γεννῶσα κατ' ἀποτομὰς τῶν ὁριζόντων, ὡς τᾷ ὄψι καὶ τᾷ ἀποτομᾷ τᾶς γᾶς περιγραφόμενα. πρεσβίστα δ' ἐντὶ τῶν ἐντὸς ὠρανῶ σωμάτων. Οὐδέ ποκα ὕδωρ ἐγεννάθη δίχα γᾶς, οὐδὲ μὰν ἀὴρ χωρὶς ὑγρῶ, πῦρ τε ἔρημον ὑγρῶ καὶ ὕλας ἃ ἐξάπτεται οὐ κα διαμένοι. ὥστε ῥίζα πάντων καὶ βάσις τῶν ἄλλων ἃ γᾶ ἐρήρεισται ἐπὶ τᾶς αὐτᾶς ῥοπᾶς. Ἀρχαὶ μὲν ὦν τῶν γεννωμένων ὡς μὲν ὑποκείμενον ἃ ὕλα, ὡς δὲ λόγος μορφᾶς τὸ εἶδος· ἀπογεννάματα δὲ τουτέων ἐστὶ τὰ σώματα, γᾶ τε καὶ ὕδωρ ἀήρ τε καὶ πῦρ, ὧν ἃ γέννασις τοιαύτα. Ἅπαν σῶμα ἐξ ἐπιπέδων ἐστί, ταῦτα δὲ ἐκ τριγώνων, ὧν τὸ μὲν ὀρθογώνιον ἰσοσκελὲς ἡμιτετράγωνον, τὸ δὲ ἀνισόπλευρον, ἔχον τὰν μέζονα δυνάμι τριπλασίαν τᾶς ἐλάσσονος. ἃ δ' ἐλαχίστα ἐν αὐτῷ γωνία τρίτον ὀρθᾶς ἐστι, διπλασία δὲ ταυτας ἃ μέσα· δύο γὰρ τρίτων ἅδ' ἐστίν· ἃ δὲ μεγίστα ὀρθά, ἀμιόλιος μὲν τᾶς μέσας ἐᾶσα, ριπλασία δὲ τᾶς ἐλαχίστας. Τοῦτο δ' ὦν τὸ τρίγωνον ἀμιτρίγωνόν ἐστιν ἰσοπλεύρω τριγώνω, δίχα τετμαμένω καθέτῳ ἀπὸ τᾶς κορυφᾶς ἐς τὰν βάσιν ἐς ἴσα μέρεα δύο. Ὀρθογώνιον μὲν ὦν ἐστι ἑκάτερον, ἀλλὰ ἐν ᾧ μὲν ταὶ δύο πλευραὶ ταὶ περὶ τὰν ὀρθὰν μόναι ἴσαι, ἐν ᾧ δὲ ταὶ τρεῖς πᾶσαι ἄνισοι. Σκαληνὸν δὲ τοῦτο μὲν καλεέσθω, κεῖνο δὲ ἀμιτετράγωνον, ἀρχὰ συστάσιος γᾶς. Τὸ γὰρ τετράγωνον ἐκ τουτέων τῶν τεττόρων ἡμιτετραγώνων συντιθέμενον, ἐκ δὲ τῶ τετραγώνω γεννᾶσθαι τὸν κύβον, ἑδραιότατον καὶ σταδαῖον παντᾷ σῶμα, ἓξ μὲν πλευράς, ὀκτὼ δὲ γωνίας ἔχον. Κατ τοῦτο δὲ βαρύτατόν τε καὶ δυσκίνατον ἃ γᾶ, ἀμετάβλητόν τε σῶμα ἐς ἄλλο διὰ τὸ ἀκοινώνατον εἶμεν τῶ ἄλλω γένεος τῶ τριγώνω. Μόνα γὰρ ἃ γᾶ ἴδιον στοιχεῖον ἔχει τὸ ἀμιτετράγωνον, τοῦτο δὲ στοιχεῖον τῶν ἄλλων σωμάτων ἐστί, πυρός, ἀέρος, ὕδατος. Ἑξάκις γὰρ συντεθέντος τῶ ἀμιτετραγώνω τρίγωνον ἐξ αὐτῶ ἰσόπλευρον γίνεται, ἐξ ὦ ἃ πυραμὶς τέττορας βάσιας καὶ τὰς ἴσας γωνίας ἔχοισα συντίθεται, εἶδος πυρὸς εὐκινατότατον καὶ λεπτομερέστατον. Μετὰ δὲ τοῦτο ὀκτάεδρον, ὀκτὼ μὲν βάσιας, ἓξ δὲ γωνίας ἔχον, ἀέρος στοιχεῖον. Τρίτον δὲ τὸ εἰκοσάεδρον βασίων μὲν εἴκοσι, γωνιῶν δὲ δώδεκα, ὕδατος στοιχεῖον πολυμερέστατον καὶ βαρύτατον. Ταῦτα δ' ὦν ἀπὸ ταὐτῶ στοιχείω συγκείμενα ἐς ἄλλαλα τρέπεται. Τὸ δὲ δωδεκάεδρον εἰκόνα τοῦ παντὸς ἑστά-

---

cum reliquo cœlo omni noctis et diei ambitu circumactus. Cæterum hosce ambitus partes temporis vocant, quod deus cum ipso mundo ordinavit : non enim erant astra ante mundum ideoque nec annus neque anni temporum circuitus, quibus genitum hoc tempus definitur. Est autem hoc simulacrum temporis non geniti, quod æternitatis nomine appellamus : quemadmodum enim ad æternum mundi intelligibilis exemplar hoc cœlum creatum est, sic ad æternitatem, velut exemplar quoddam, hoc tempus cum mundo a rerum parente constitutum est.

§ 5. Terra porro in medio stabilita, deorum sedes, terminus est noctis et diei, occasusque et ortus generat secundum orbium finientium divisiones, ut e terræ aspectu atque margine circumscriptos. Est vero eorum quæ cœlo continentur corpus antiquissimum. Neque enim unquam aqua nata est sine terra, neque aer sine humido : ignis autem humido et materia qua inflammetur destitutus haudquaquam maneat. Quamobrem omnium radix ac cæterorum fundamentum terra eodem momento firmata est. Principia igitur rerum creatarum sunt ut subjectum materia, ut formæ proportio idea : harum autem fœtus corpora, terra scilicet et aqua, et aer et ignis, quorum hujusmodi est generatio. Omne corpus ex planis constat, hæc vero ex triangulis, quorum alterum quidem est ex rectis angulis æqualium crurum semiquadrangulum, alterum inæqualium laterum, habens majorem angulum potentia triplum minoris. Minimus vero in eo angulus tertia recti pars est, hujus autem duplum medius est : hic enim duarum tertiarum partium est; maximus autem rectus ad medium sesquialteram proportionem habet, triplus vero ad minimum est. Hoc igitur triangulum dimidium est trianguli æquilateri demisso a vertice ad imum perpendiculo in duas easque æquales partes divisi. Utrumque igitur rectangulum est : at in uno duo quidem latera, quæ quidem in recto sunt, æqualia sunt tantum, in altero autem omnia tria inæqualia. Hoc quidem scalenum vocetur, illud vero semiquadrangulum primordium fuit constituendæ terræ. Nam quadratum ex his quattuor semiquadrangulis componitur, e quadrato vero cubus generatur, corpus firmissimum et ab omni parte statarium, utpote quod sex latera, octo autem habeat angulos. Quapropter terra elementum est et gravissimum et difficile ad movendum, neque in aliud corpus mutari potest, ut cui nulla sit cum ullo triangulorum genere communitas. Sola enim terra proprium habet elementum, semiquadrangulum; quod et cæterorum corporum est, ignis, aeris, aquæ. Sexies enim composito semiquadrangulo triangulum ex eo fit æquilaterum, ex quo pyramis quæ quattuor bases et æquales angulos habet componitur, species ignis admodum mobilis ac tenuis. Post hoc vero id quod octo constat lateribus, octo quidem bases, octo vero angulos habens, est aeris elementum.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σατο, ἔγγιστα σφαίρας ἐόν. Πῦρ μὲν ὧν διὰ τὰν λεπτομερίαν διὰ πάντων ἦκεν, ἀήρ τε διὰ τῶν ἄλλων ἔξω πυρός, ὕδωρ δὲ διὰ τᾶς γᾶς. Ἅπαντα δ' ὧν πλήρη ἐντί, οὐδὲν κενεὸν ἀπολείποντα. Συνάγεται δὲ τᾷ περιφορᾷ τῶ παντός, καὶ ἠρεισμένα τρίβεται μὲν ἀμοιβαδόν, ἀδιάλειπτον δὲ ἀλλοίωσιν ποτὶ γενέσιας καὶ φθορὰς ἀποδίδωσι.

§ 6. Τούτοις δὲ ποτιχρεόμενος ὁ θεὸς τόνδε τὸν κόσμον κατεσκεύαξεν, ἁπτὸν μὲν διὰ τὰν γᾶν, ὁρατὸν δὲ διὰ τὸ πῦρ, ἅπερ δύο ἄκρα. Δι' ἀέρος δὲ καὶ ὕδατος συνεδήσατο δεσμῷ κρατίστῳ ἀναλογίᾳ, ἃ καὶ αὐτὰν καὶ τὰ δι' αὐτᾶς κρατεόμενα συνέχεν δύναται. Εἰ μὲν ὧν ἐπίπεδον εἴη τὸ συνδεόμενον, μία μεσότης ἱκανά ἐστιν· αἰ δέ κα στερεόν, δύο χρήσει. Δυσὶ δὴ μέσοις δύο ἄκρα ξυναρμόζατο, ὅκως εἴη ὡς πῦρ ποτ' ἀέρα, ἀὴρ ποτὶ ὕδωρ καὶ ὕδωρ ποτὶ γᾶν, καὶ κατ' ἐναλλαγάν, ὡς πῦρ ποτὶ ὕδωρ, ἀὴρ ποτὶ γᾶν, καὶ ἀνάπαλιν, ὡς γᾶ ποτὶ ὕδωρ, ὕδωρ ποτ' ἀέρα καὶ ἀὴρ ποτὶ πῦρ, καὶ κατ' ἐναλλαγάν, ὡς γᾶ ποτ' ἀέρα, ὕδωρ ποτὶ πῦρ. καὶ ἐπεὶ δυνάμι ἴσα ἐντὶ πάντα, τοὶ λόγοι αὐτῶν ἐν ἰσονομίᾳ ἐντί. Εἷς μὲν ὧν ὅδε ὁ κόσμος δαιμονίῳ δεσμῷ τῷ ἀνὰ λόγον ἐστίν. Ἕκαστον δὲ τῶν τεττόρων σωμάτων πολλὰ εἴδεα ἴσχει, πῦρ μὲν φλόγα καὶ φῶς καὶ αὐγάν, διὰ τὰν ἀνισότητα τῶν ἐν ἑκάστῳ αὐτῶν τριγώνων· κατταὐτά τε καὶ ἀὴρ τὸ μὲν καθαρὸν καὶ αὐον, τὸ δὲ νοτερὸν καὶ ὁμιχλῶδες· ὕδωρ τε τὸ μὲν ῥέον, τὸ δὲ πακτόν, ὁκόσον χιών τε καὶ πάχνα χάλαζά τε καὶ κρύσταλλος. ὑγρόν τε τὸ μὲν ῥυτόν, ὡς μέλι, ἔλαιον, τὸ δὲ πακτόν, ὡς πίσσα, κηρός. πακτῶ δὲ εἴδεα τὸ μὲν χυτὸν χρυσός, ἄργυρος, χαλκός, κασσίτερος, μόλυβδος, σταγών, τὸ δὲ θραυστὸν θεῖον, ἄσφαλτον, νίτρον, ἅλες, στυπτηρία, λίθοι τοὶ ὁμογενέες.

§ 7. Μετὰ δὲ τὰν τῶ κόσμω σύστασιν ζώων θνατῶν γέννασιν ἐμαχανάσατο, ἵν' ᾖ τέλεος ποτὶ τὰν εἰκόνα παντελῶς ἀπειργασμένος. Τὰν μὲν ὧν ἀνθρωπίναν ψυχὰν ἐκ τῶν αὐτῶν λόγων καὶ δυναμίων συγκερασάμενος καὶ μερίξας διένειμε τᾷ φύσι τᾷ ἀλλοιωτικᾷ παραδούς· διαδεξαμένα δ' αὐτὸν ἐν τῷ ἀπεργάζεν θνατά τε καὶ ἐφαμέρια ζῷα, ὧν τὰς ψυχὰς ἐπιῤῥύτως ἐνάγαγε τὰς μὲν ἀπὸ σελάνας, τὰς δ' ἀπ' ἀλίω, τὰς δὲ ἀπὸ τῶν ἄλλων τῶν πλαζομένων ἐν τᾷ τῶ ἑτέρω μοίρᾳ, ἔξω μιᾶς τᾶς ταὐτῶ δυνάμιος, ἂν ἐν τῷ λογικῷ μέρει ἔμιξεν εἰκόνα σοφίας τοῖς εὐμοιρατοῦσι. Τᾶς μὲν γὰρ ἀνθρωπίνας ψυχᾶς τὸ μὲν λογικόν ἐστι καὶ νοερόν, τὸ δ' ἄλογον καὶ ἄφρον. τῶ δὲ λογικῶ τὸ μὲν κρέσσον ἐκ τᾶς ταὐτῶ φύσιος, τὸ δὲ χέρειον ἐκ τᾶς τῶ ἑτέρω. Ἑκάτερον δὲ περὶ τὰν κεφαλὰν ἵδρυται, ὡς τἄλλα μέρεα τᾶς ψυχᾶς καὶ τῶ σώματος ὑπηρετεῖν τούτῳ, καθάπερ ὑπάτῳ τῶ σκά-

---

Tertium autem quod viginti latera habet, bases quidem viginti, angulos vero duodecim, aquæ elementum est multipartitum et gravissimum. Hæc igitur ab eodem elemento composita inter se commutantur. At id quod duodecim constat sedibus imaginem universi statuit, quippe quod ad sphæricam figuram proxime accedat. Ignis igitur ob tenuitatem suam per omnia penetrat, aer item per cetera elementa excepto igne, aqua denique per terram. Omnia ergo plena sunt, neque quidquam vacui relinquunt. Cæterum illa universi circumactione congregantur, et firmata teruntur quidem vicissim, sed perpetuam variationem ad ortus et obitus perficiunt.

§ 6. Hisce usus deus hunc mundum ædificavit, qui tangi quidem potest propter terram, videri autem propter ignem, quæ duo sunt extrema. Per aerem vero et aquam firmissimi cujusdam vinculi proportione mundum colligavit, qua et ipsa et quæ per eam comprehenduntur contineri possint. Si igitur id quod colligatur planum fuerit, una medietas satis est; sin autem solidum, duplici medietate indiget. Cum duobus igitur mediis duo extrema copulavit, ut essent quemadmodum ignis ad aerem, aer ad aquam, aqua ad terram, et vicissim, ut ignis ad aquam, aer ad terram, atque e contrario, quemadmodum terra ad aquam, aqua ad aerem et aer ad ignem, et vicissim, quemadmodum terra ad aerem, aqua ad ignem. Quandoquidem autem omnia sunt potentia æqualia, eorum rationes in æqualitate sitæ sunt. Unus igitur hic mundus divini vinculi proportione consistit. Horum porro quattuor corporum unumquodque multas species habet ignis quidem flammam, lucem, splendorem propter triangulorum quæ in unoquoque eorum sunt inæqualitatem: eodem modo et aer partim quidem purus et siccus, partim humidus et nebulosus est; aqua etiam quædam fluida est, alia congelata, veluti nix, pruina, grando, glacies. Humor autem alius est fluidus, ut mel, oleum, alius compactus, ut pix, cera. Compacti vero species alia fusilis, ut aurum, argentum, æs, stannum, plumbum, ferrum purum; alia friabilis, ut sulfur, bitumen, nitrum, sal, alumen, lapides ejusdem generis.

§ 7. Jam vero post mundum procreatum mortalium animantium generationem deus molitus est, ut ad imaginem illam plane accommodatus esset. Humanam igitur animam ex iisdem rationibus ac potentiis temperatam ac divisam distribuit, naturæ cuncta mutanti tali ministerio delegato; quæ ipsi rerum opifici successit in mortalibus, ac temporariis animalibus efficiendis, quorum animas quasi per fluxum quendam instillabat, alias quidem a luna, alias a sole, alias a cæteris quæ in alterius parte oberrant astris deductas, præter unam animam ejusdem potentia præditam, quam in parte illa rationis participe admiscuit imaginem sapientiæ iis qui læta sorte fruuntur. Namque humanæ animæ altera pars rationis est particeps et intelligens, altera rationis expers atque insipiens. Ejus vero quæ rationis compos est melior pars ejusdem naturæ est, deterior alterius. Utraque autem circa caput sedem habet, ut reliquæ tum animæ tum corporis partes huic

ος ἅπαντος. Τῶ δ' ἀλόγω μέρεος τὸ μὲν θυμοειδὲς
ρὶ τὰν καρδίαν, τὸ δ' ἐπιθυματικὸν περὶ τὸ ἦπαρ.
ῶ δὲ σώματος ἀρχὰν μὲν καὶ ῥίζαν μυελῶ εἶμεν
κέφαλον, ἐν ᾧ ἁ ἀγεμονία· ἀπὸ δὲ τούτω οἷον ἀπό-
μα ῥεῖν διὰ τῶν νωτίων σπονδύλων τὸ λοιπόν, ἐξ ὧ
σπέρμα καὶ γόνον μερίζεσθαι. Ὀστέα δὲ μυελῶν
ριφράγματα. Τουτέων δὲ σκέπαν μὲν τὰν σάρκα
ἰ προκάλυμμα, συνδέσμοις δὲ ποττὰν κίνασιν τοῖς
ύροις συνᾶψε τὰ ἄρθρα. Τῶν δ' ἐντοσθίων τὰ μὲν
οφᾶς χάριν, τὰ δὲ σωτηρίας. Κινασίων δὲ τῶν
τὸ τῶν ἐκτὸς τὰς μὲν ἀναδιδομένας εἰς τὸν φρονέοντα
πον αἰσθήσιας εἶμεν, τὰς δ' ὑπ' ἀντίλαψιν μὴ πι-
τοίσας, ἀνεπαισθήτως, ἢ τῶ τὰ πάσχοντα σώματα
κιοειδέστερα εἶμεν, ἢ τῶ τὰς κινάσιας ἀμενηνοτέρας
νεσθαι. Ὁκόσαι μὲν ὦν ἐξίσταντι τὰν φύσιν, ἀλγει-
κί ἐντι· ὁκόσαι δὲ ἀποκαθίσταντι ἐς αὐτάν, ἁδοναὶ
υμαίνονται.

§ 8. Τᾶν δ' αἰσθησίων τὰν μὲν ὄψιν ἁμὶν τὸν θεὸν
νάψαι ἐς θέαν τῶν ὠρανίων καὶ ἐπιστάμας ἀνάλαψιν,
ὰν δ' ἀκουὰν λόγων καὶ μελῶν ἀντιλαπτικὰν ἔφυσεν,
ς στερισκόμενος ἐκ γενέσιος ὁ ἄνθρωπος οὐδὲ λόγον
τι προέσθαι δυνάσεται· διὸ καὶ συγγενεστάταν τῶ
όγω ταύταν αἴσθησίν φαντι εἶμεν. Ὁκόσα δὲ πάθεα
ῶν σωμάτων ὀνυμαίνεται, ποτὶ τὰν ἁφὰν κλῄζεται,
ἃ δὲ ῥοπᾶ ποτὶ τὰν χώραν. Ἁ μὲν γὰρ ἁφὰ κρίνει
ὰς ζωτικὰς δυνάμιας, θερμότατα, ψυχρότατα, ξηρό-

τατα, ὑγρότατα, λειότατα, τραχύτατα, εἴκοντα, ἀν-
τίτυπα, μαλακά, σκληρά· βαρὺ δὲ καὶ κοῦφον ἁφὰ
μὲν προκρίνει, λόγος δ' ὁρίζει τᾶ ἐς τὸ μέσον καὶ ἀπὸ
τῶ μέσω νεύσι. Κάτω δὲ καὶ μέσον ταὐτόν φαντι·
τὸ γὰρ κέντρον τᾶς σφαίρας, τοῦτό ἐστι τὸ κάτω, τὸ
δ' ὑπὲρ τούτω ἄχρι τᾶς περιφερείας ἄνω. Τὸ μὲν ὦν
θερμὸν λεπτομερές τε καὶ διαστατικὸν τῶν σωμάτων
δοκεῖ εἶμεν, τὸ δὲ ψυχρὸν παχυμερέστερον καὶ συμ-
πιλατικὸν πόρων ἐστί. Τὰ δὲ περὶ τὰν γεῦσιν ἔοικε
τᾷ ἁφᾷ· συγκρίσι γὰρ καὶ διακρίσι, ἔτι δὲ τᾷ ἐς τὼς
πόρως διαδύσι καὶ τοῖς σχημάτεσσιν ἢ στρυφνὰ ἢ λεῖα,
ἀποτάκοντα μὲν καὶ ῥύπτοντα τὰν γλῶτταν στρυφνὰ
φαίνεται, μετριάζοντα δὲ τᾷ ῥύψι ἁλμυρά, ἐκπυ-
ροῦντα δὲ καὶ διαιρέοντα τὰν σάρκα δριμέα. Τὰ δ'
ἐναντία λεῖά τε καὶ γλυκέα κεχύλωται. Ὁσμᾶς δὲ
εἴδεα μὲν οὐ διώρισται· διὰ γὰρ στενῶν πόρων διαθεῖ-
σθαι στερρότερων ὄντων ἢ ὡς συνάγεσθαι καὶ διίστα-
σθαι, σάψεσι δὲ καὶ πέψεσι γᾶς τε καὶ γεοειδέων εὐώ-
δεά τε καὶ δυσώδεα εἶμεν. Φωνὰ δ' ἐστὶ μὲν πλᾶξις
ἐν ἀέρι διικνουμένα ποτὶ τὰν ψυχὰν δι' ὤτων, ὧν τοὶ
πόροι διήκοντι ἄχρις ἥπατος χωρέοντες. Ἐν αὖ τού-
τοις πνεῦμα, οὗ ἁ κίνασις ἀκουά ἐστι. Φωνᾶς δὲ καὶ
ἀκουᾶς ἃ μὲν ταχεῖα ὀξεῖα, ἃ δὲ βραδεῖα βαρεῖα, μέσα
δ' ἃ συμμετροτάτα· καὶ ἃ μὲν πολλὰ καὶ κεχυμένα
μεγάλα, ἃ δὲ ὀλίγα καὶ συναγμένα μικρά· ἃ δὲ τετα-
γμένα ποτὶ λόγως μωσικὼς ἐμμελής, ἃ δὲ ἄτακτός τε

---

serviant, tanquam corporis universi præsidi. At partis
atione carentis portio irritabilis circa cor, portio ad con-
upiscendum prompta circa jecur versatur. Jam vero
orporis principium et radix cerebri medulla est, in quo
tiam animæ principatus consistit : ab hoc autem velut
ffluvium manat per dorsi vertebras reliquum, ex quo ad
emen et generationem distribuitur. Ossa autem me-
ullæ munimenta sunt. Caro horum tegmen et cooperi-
mentum est, vinculis autem ad motum nervis articulos
onnexuit. Ex internis vero instrumentis quædam ali-
menti gratia, alia salutis causa fecit. Ex motibus autem
extrinsecus profectis si qui ad sapientem illum locum ten-
dunt sensibus subjecti sunt : qui vero in conspectum non
cadunt, sensus effugiunt, sive quod corpora quæ afficiun-
tur magis sint terrena, sive quod motus sint imbecillio-
res. Quicunque igitur motus naturam corrumpunt,
faciunt dolorem : quicunque autem in naturalem statum
restituunt, voluptates nominantur.

§ 8. At vero ex sensibus visum quidem nobis deus
accendit ad rerum cœlestium contemplationem scientiam-
que comparandam, auditum autem creavit ad sermones
et concentus percipiendos, quo si homo ab ineunte ætate
destitutus sit, loquendi quoque facultate carebit : quo-
circa etiam maxime cognatum sermoni hunc sensum esse
ajunt. Quæcunque vero affectiones corporum nominan-
tur, nomen tactui accommodatum habent, ipsa vero incli-
natione ad locum. Tactus enim vitales facultates dijudi-
cat, calorem, frigus, siccitatem, humorem, levitatem,
asperitatem, cedentia, obsistentia, mollia, dura : cæte-
rum grave et leve tactus quidem præjudicat, ratio vero
definit tum inclinatione ad medium, tum medii declina-
tione. Deorsum autem et medium idem omnino esse
ajunt : nam centrum sphæræ ipsum est illud deorsum,
quod vero supra hoc est usque ad lineam circumcurren-
tem, sursum vocant. Calidum igitur tenuissimarum est
partium corporumque dirimendorum vim videtur habere,
frigidum vero crassiorum est partium et meatus constrin-
git. Gustus autem tactui similis est : nam concretione
ac secretione, præterea et subtili quodam in meatus trans-
itu et figuris aut acerba sunt aut levia quæ ad gustum
pertinent; siquidem ea quæ linguam liquant quasi ac
purgant, acerba apparent; quæ vero modice eam pur-
gant, salsa; at quæ eam inflammant carnemque diffin-
dunt, acria. At contraria et levia et dulcia in succum
vertuntur. Odoris porro species distinctæ non sunt :
per angustos enim meatus percolantur, qui solidiores
quidem sunt quam ut contrahi et dispesci possint, tabe
vero et concoctione terræ terrenarumque rerum vel ju-
cundi odoris sunt vel injucundi. Vox autem ictus est :
aere ad animum perveniens per aures, quarum meatus
procedentes usque ad jecur pertinent. In his porro est
spiritus, cujus motus est auditus. Vocis vero et auditus
alia velox, alia acuta, alia tarda, alia gravis est, media
autem justæ mensuræ : et alia quidem multa et fusa,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ἄλογος ἐκμελής τε καὶ ἀνάρμοστος. Τέταρτόν τε γένος αἰσθητῶν πολυειδέστατον καὶ ποικιλώτατον· ὁρατὰ δὲ λέγεται, ἐν ᾧ χρώματά τε παντοῖα καὶ κεχρωσμένα μυρία· πρᾶτα δὲ τέττορα, λευκόν, μέλαν, λαμπρόν, φοινικοῦν· τᾶλλα γὰρ ἐκ κιρναμένων τούτων γεννᾶται. Τὸ μὲν ὦν λευκὸν διακρίνει τὰν ὄψιν, τὸ δὲ μέλαν συγκρίνει, ὅκωσπερ τὸ θερμὸν διαχεῖ τὰν ἁφάν, τὸ δὲ ψυχρὸν συνάγεν δύναται, καὶ τὸ μὲν στυφνὸν συνάγεν τὰν γεῦσιν, τὸ δὲ δριμὺ διαιρῆν πέφυκε.

§ 9. Τρέφεσθαι δὲ τὸ σκᾶνος τῶν ἐναερίων ζώων καὶ συνέχεσθαι τᾶς μὲν τροφᾶς διαδιδομένας διὰ τῶν φλεβῶν εἰς ὅλον τὸν ὄγκον κατ' ἐπιῤῥοάν, οἷον δι' ὀχετῶν ἀγομένας, καὶ ἀρδομένας ὑπὸ τῶ πνεύματος, ὃ διαχεῖ αὐτὰν ἐπὶ τὰ πέρατα φέρον. Ἃ δ' ἀνάπνοια γίνεται μηδενὸς μὲν κενεῶ ἐν τᾷ φύσι ἐόντος, ἐπιῤῥέοντος δὲ καὶ ἑλκομένω τῶ ἀέρος ἀντὶ τῶ ἀποῤῥέοντος διὰ τῶν ἀοράτων στομίων, δι' ὧν καὶ ἁ νοτὶς ἐπιφαίνεται, τινὸς δὲ καὶ ὑπὸ τᾶς φυσικᾶς θερμότατος ἀπαναλουμένω. Ἀνάγκα ὦν ἀντικαταχθῆμεν τὸ ἴσον τῶ ἀναλωθέντι, εἰ δὲ μή, κενώσιας εἶμεν, ὅπερ ἀμάχανον. Οὐδὲ γὰρ ἔτι εἴη κα σύῤῥοον καὶ ἓν τὸ ζῶον, διαιρωμένω τῶ σκάνεος ὑπὸ τῶ κενῶ. Ἃ δ' ὁμοία ὀργανοποιία γίνεται καὶ ἐπὶ τῶν ἀψύχων καττὰν τᾶς ἀναπνοίας ἀναλογίαν· ἁ γὰρ σικύα καὶ τὸ ἤλεκτρον εἰκόνες ἀναπνοίας ἐντί. Ῥεῖ γὰρ διὰ τῶ σώματος ἔξω θύραζε τὰ πνεύματα, ἀντεπεισάγεται δὲ διὰ τᾶς ἀναπνοίας τῷ τε στόματι καὶ ταῖς ῥισίν, εἶτα πάλιν οἷον εὔριπος ἀντεπιφέρεται εἰς τὸ σῶμα, τὸ δὲ ἀνατείνεται καττὰς εἰσροάς. Ἃ δὲ σικύα ἀπαναλωθέντος ὑπὸ τῶ πυρὸς τῶ ἀέρος ἐφέλκεται τὸ ὑγρόν· τὸ δ' ἤλεκτρον ἐκκριθέντος τῶ πνεύματος ἀναλαμβάνει τὸ ὅμοιον σῶμα. Τροφὰ δὲ πᾶσα ἀπὸ ῥίζας μὲν τᾶς καρδίας, παγᾶς δὲ τᾶς κοιλίας ἐπάγεται τῷ σώματι, ὃ καὶ εἴ κα πλείω τᾶς ἀποῤῥεούσας ἐπάρδοιτο, αὔξα λέγεται, εἴ κα δὲ μείω, φθίσις· ἁ δ' ἀκμὰ μεθόριον τουτέων ἐστὶ καὶ ἐν ἰσότατι ἀποῤῥοᾶς καὶ ἐπιῤῥοᾶς νοέεται. Λυομένων δὲ τῶν ἁρμῶν τᾶς συστάσιος, αἴ κα μηκέτι δίοδος ᾖ πνεύματι ἢ τροφὰ μὴ διαδίδοται, θνάσκει τὸ ζῶον.

§ 10. Πολλαὶ δὲ κᾶρες ζωᾶς καὶ θανάτου αἰτίαι, ἐν δ' ὧν γένος νόσος ὀνυμαίνεται. Νόσων δ' ἀρχαὶ μὲν αἱ τᾶν πράτων δυναμίων ἀσυμμετρίαι, αἵ πα πλεονάζοιεν ἢ ἐλλείποιεν ταὶ ἁπλαῖ δυνάμιες, θερμότας ἢ ψυχρότας ἢ ὑγρότας ἢ ξηρότας. Μετὰ δὲ ταύτας αἱ τῶ αἵματος τροπαὶ καὶ ἀλλοιώσιες ἐκ διαφθορᾶς, καὶ αἱ τᾶς σαρκὸς τακομένας κακώσιες, αἱ καττὰς μεταβολὰς ἐπὶ τὸ ὀξὺ ἢ ἁλμυρὸν ἢ δριμὺ τροπαὶ αἵματος ἢ σαρκὸς τακεδόνες γένοιντο. Χολᾶς γὰρ ταὶ γενέσιες καὶ φλέγματος ἐνθένδε, χυμοὶ νοσώδεες καὶ ὑγρῶν σάψιες, ἀφαυραὶ μὲν αἱ μὴ ἐν βάθει, χαλεπαὶ δ' ὧν ἀρχαὶ γεννῶνται ἐξ ὀστέων, ἀνιαραὶ δὲ ἐκ μυελοῦ ἐξαπτόμεναι. Τελευταία δὲ νόσων ἐντὶ πνεῦμα, χολά, φλέγμα αὐξόμενα καὶ ῥέοντα ἐς χώρας ἀλλοτρίας ἢ τόπως ἐπικαιρίως. Τόκα

---

magna est, alia submissa et contracta, parva : alia vero ad rationes musicas accommodata, concinna est : alia confusa et incondita, absona atque absurda est. Quartum autem sensibilium genus multiplices habet variasque species : cæterum ea dicuntur aspectabilia, quo genere et varii colores et coloratæ res sexcentæ comprehenduntur : primi vero colores sunt quattuor, albus, niger, splendidus, puniceus : reliqui enim ex his permixtis generantur. Albus igitur color visum dispescit, niger confundit, quemadmodum calor diffundit tactum, frigus contrahere potest, et acerbitas quoque gustum contrahere, acrimonia vero diducere solet.

§ 9. Præterea animalium aeriorum corpus et nutritur et conservatur, dum alimentum per venas in universam corporis molem distribuitur et affluentia quadam velut per canales derivatur atque a spiritu irrigatur, qui illud ad extremas partes motu efficaci diffundit. Respiratio autem fit, quum nihil vacui in rerum natura sit; aer vero et attrahitur et influit in locum ejus qui effluxit per oscula invisibilia, e quibus etiam sudor madorque perspicue exsistit in superficie cutis, parte simul ejus per naturalem calorem pereunte. Necesse igitur est vicissim introduci motum consumpto æqualem; sin minus, vacuum aliquid in rerum natura esse, quod fieri nequit. Neque enim amplius conflatum animal et unum esset, si corpus vacuo divideretur. Similis quoque instrumentorum machinatio in ipsis inanimis est ad respirationis similitudinem : cucurbitula enim et succinum imagines sunt respirationis. Nam fluunt per corpus foras spiritus, vicissim autem introducuntur per respirationem et ore et naribus, deinde rursus velut Euripus vicissim inferuntur in corpus, quod secundum influxus extenditur. At cucurbitula consumpto aere ab igne humorem attrahit; succinum vero excreto spiritu simile corpus suscipit. Omne autem alimentum a radice quidem cordis, a fonte vero ventriculi in corpus inducitur, quod etiam si plus irrigatur quam defluat incrementum dicitur, si vero minus, deminutio : vigor autem in horum confinio est atque in defluxionis et influxionis æqualitate intelligitur. Quum autem concretionis compages dissolvuntur, si non amplius transitus est spiritui aut alimenti distributio cessat, animal interit.

§ 10. Multæ vero sunt vitæ pestes et mortis causæ, quarum unum genus nominatur morbus. Morborum vero præcipua causa est primarum facultatum inconcinnitas, si forte simplices facultates vel redundarint vel defecerint, calor, frigus, humor aut siccitas. Post has autem sunt sanguinis mutationes et variationes ex corruptione, et carnis marcidæ depravationes, si pro rerum vicissitudine ad acidum vel salsum vel acre sanguinis mutationes aut carnis tabes exsistant. Hinc enim bilis et pituitæ origines, humores morbosi et humorum putredo, tenuis quidem si non sit in profundo, sed curatu difficilis, cujus principia

ἀρ ἀντικαταλαμβάνοντα τὰν τῶν καῤῥόνων χώραν
καὶ ἀπελάσαντα τὰ συγγενέα, ἱδρύεται κακοῦντα τὰ
ώματα καὶ ἐς αὐτὰ ταῦτα ἀναλύεται. Καὶ σώματος
ἐν πάθεα τάδε, καὶ ἐκ τῶνδε ψυχᾶς νόσοι ἐντὶ πολ-
χί, ἄλλαι δ' ἄλλων δυναμίων ἐντί, αἰσθητικᾶς μὲν
ὐσαισθησία, μναμονικᾶς δὲ λάθα, ὁρμητικᾶς δὲ ἀνο-
ξία καὶ ἃ προπέτεια, παθητικᾶς δὲ ἄγρια πάθεά τε
αὶ λύσσαι οἰστρώδεες, λογικᾶς δὲ ἀμαθία καὶ ἐκφρο-
ύνα. Ἀρχαὶ δὲ κακίας ἄδοναί καὶ λῦπαι ἐπιθυμίαι
καὶ φόβοι, ἐξαμμέναι μὲν ἐκ σώματος, ἀνακεκρα-
έναι δὲ τᾷ ψυχᾷ, καὶ ἐξαγγελλόμεναι ὀνόμασι ποι-
ίλοις· ἔρωτες γὰρ καὶ πόθοι ἵμεροί τε ἔκλυτοι ὀργαί
σύντονοι καὶ θυμοὶ βαρεῖς ἐπιθυμίαι τε ποικίλαι
αὶ ἄδοναὶ ἄμετροί ἐντι. Ἁπλῶς δὲ ἀτόπως ἔχεν ποτὶ
ὰ πάθεα καὶ ἄρχεσθαι πέρας ἀρετᾶς καὶ κακίας ἐστί·
ὸ γὰρ πλεονάζεν ἐν ταύταις ἢ κάῤῥονα αὐτᾶν εἶμεν
ὔ ἢ κακῶς ἁμὲ διατίθητι. Ποτὶ δὲ ταύτας τὰς ὁρμὰς
εγάλα μὲν συνεργῆν δύνανται αἱ τῶν σωμάτων κρά-
ιες, ὀξεῖαι ἢ θερμαὶ ἢ ἄλλοτ' ἀλλοῖαι γινόμεναι ἔς τε
ελαγχολίας καὶ λαγνείας λαβροτάτας ἄγοισαι ἁμέ,
αὶ ῥευματιζόμενά τινα μέρεα δαξασμὼς ποιοῦντι καὶ
ορφὰς φλεγμαινόντων σωμάτων μᾶλλον ἢ ὑγιαινόν-
ων, δι' ὧν δυσθυμίαι καὶ λῆθαι παραφροσύναι τε καὶ
τοῖαι ἀπεργάζονται· ἱκανὰ δὲ τὰ ἔθεα, ἐν οἷς ἂν ἐν-
αφῶσι κατὰ πόλιν ἢ οἶκον, καὶ ἃ καθ' ἁμέραν δίαιτα,
ρύπτοισα τὰν ψυχὰν ἢ ῥωννῦσα ποτ' ἀλκάν. Ταὶ
γὰρ θυραυλίαι καὶ ἁπλαῖ τροφαὶ τά τε γυμνάσια καὶ
τὰ ἤθεα τῶν συνόντων τὰ μέγιστα δύνανται ποτὶ ἀρετὰν
καὶ ποτὶ κακίαν. Καὶ ταῦτα μὲν αἴτια ἐκ τῶν γενε-
τόρων καὶ στοιχείων ἐπάγεται μᾶλλον ἢ ἐξ ἁμέων, ὅτι
μὴ ἀργία ἐστίν, ἀφισταμένων ἁμῶν τῶν ποθακόντων
ἔργων. Ποτὶ δὲ τὸ εὖ ἔχεν τὸ ζῷον δεῖ τὸ σῶμα
ἔχεν τὰς ὑπ' αὐτῷ ἀρετάς, ὑγιείαν τε καὶ εὐαισθησίαν
ἰσχύν τε καὶ κάλλος. Ἀρχαὶ δὲ κάλλους συμμετρία
ποτί τ' αὐτῶ τὰ μέρεα καὶ ποτὶ τὰν ψυχάν· ἃ γὰρ
φύσις οἷον ὄργανον ἁρμόξατο τὸ σκᾶνος, ὑπακοῦόν τε
εἶμεν καὶ ἐναρμόνιον ταῖς τῶν βίων ὑποθέσεσι. Δεῖ
δὲ καὶ τὰν ψυχὰν ῥυθμίζεσθαι ποτὶ τὰς ἀναλόγως
ἀρετάς, ποτὶ μὲν σωφροσύναν οἷον ποτὶ ὑγίειαν τὸ
σῶμα, ποτὶ δὲ φρόνασιν οἷον ποτὶ εὐαισθησίαν, ποτὶ
δὲ ἀνδρειότατα οἷον ποτὶ ῥώμαν καὶ ἰσχύν, ποτὶ δὲ
δικαιοσύναν οἷον ποτὶ κάλλος τὸ σῶμα. Τουτέων δὲ
ἀρχαὶ μὲν ἐκ φύσιος, μέσα δὲ καὶ πέρατα ἐξ ἐπιμε-
λείας, σώματος μὲν διὰ γυμναστικᾶς καὶ ἰατρικᾶς,
ψυχᾶς δὲ διὰ παιδείας καὶ φιλοσοφίας. Αὗται γὰρ
δυνάμιες τρέφοισαι καὶ τονοῖσαι καὶ τὰ σώματα καὶ
τὰς ψυχὰς διὰ πόνων καὶ γυμνασίων καὶ διαίτας κα-
θαρότατος, ταὶ μὲν διὰ φαρμακειᾶν, ταὶ δὲ παιδευτικαὶ
τᾶν ψυχᾶν διὰ κολασίων καὶ ἐπιπλαξίων. Ῥωννύουσι
γὰρ διὰ προτροπᾶν ἐγείροισαι τὰν ὁρμὰν καὶ ἐγκε-
λευόμεναι τὰ ποτίφορα ποτὶ ἔργα. Ἀλειπτικὰ μὲν
ὧν καὶ ἃ τάυτα συγγενεστάτα ἰατρικά, σώματα τα-
χθεῖσα θεραπεύεν, ἐς τὰν κρατίσταν ἁρμονίαν ἄγοισα
τὰς δυνάμιας τό τε αἷμα καθαρὸν καὶ τὸ πνεῦμα σύρ-
ῥοον ἀπεργάζεται, ἵν' εἰ καί τι νοσῶδες ὑπογένοιτο
κράτος αὐτῷ ἔχοιεν ἐῤῥωμέναι ταὶ δυνάμιες αἵματος

ex ossibus generantur, molesta vero quæ ex medullis accenditur. Postremi autem sunt morbi spiritûs, bilis, pituitæ auctus et influxio in sedes alienas vel locos corporis principales. Tunc enim meliorum locum occupant cognatisque depulsis sedes sibi constituunt, et postquam corpora afflixerunt, in hæc ipsa dissolvuntur. Et corporis quidem hæ sunt affectiones, et ex his complures animi morbi exoriuntur, sed alii alias habent facultates, sentiendi quidem facultatem stupor, memoriæ vim oblivio, appetentiam edendi fastidium et nimium desiderium, patibilem naturam feræ affectiones et œstro percita rabies, cogitandi denique sollertiam ignorantia ac dementia. Vitiositatis autem principia sunt voluptates et dolores, cupiditates et timores, ex corpore quidem accensa, sed animo quasi immixta quæ variis nominibus appellantur : nam amores, desideria, dissolutæ cupidines iraque vehemens et gravis excandescentia, cupiditates variæ, voluptates denique incredibiles ex his animi motibus nascuntur. Omnino ita ineptire, ut animus cupiditatum imperio subjiciatur, virtutis et vitii terminus est : siquidem his sæpe indulgere aut iis superiorem esse nos vel bene vel male afficit. Ad hos animi impetus multum conferre possunt corporum temperamenta quæ vel vehementia et fervida vel alio tempore alia sint nosque ad atram bilem et effusissimas libidines perducant, porro quædam partes fluxionibus laborantes pruritum afferunt formasque intumescentium potius quam sanorum corporum, quibus ægritudines et oblivia et dementias et metus efficiunt : tantum etiam valent consuetudines quibus in sua quisque civitate vel familiia innutritus est, itemque quotidiana vivendi ratio, ut animum aut effeminent aut ad fortitudinem corroborent. Nam ante fores pernoctare et tenuis victus et exercitationes et eorum quibuscum versamur mores maximam habent vim in utramque partem sive ad virtutem sive ad vitium. Et harum quidem rerum causæ ab ipsis parentibus atque elementis potius inferuntur, quam a nobis, nisi socordia nostra accidit, ut a debitis officiis discedamus. Cæterum ad bonum animalis habitum opus est corpore propriis virtutibus, sanitate, sensuum integritate, viribus et pulchritudine prædito. Principia pulchritudinis sunt partium ejus tam inter sese quam cum animo congruentia; natura enim tanquam instrumentum hoc corpus composuit, quod et morigerum esset et vitæ institutis accommodatum. Animus quoque ad convenientes virtutes conformandus est, ad temperantiam ut corpus ad sanitatem, ad prudentiam ut ad sensuum vigorem, ad fortitudinem ut ad robur et vires, ad justitiam ut corpus ad pulchritudinem. Harum virtutum initia e natura, media et fines e diligentia repetenda sunt, siquidem corporis virtutes gymnasticæ et medicinæ ope, animi bona eruditionis et phi-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

καὶ πνεύματος· μωσικὰ δὲ καὶ ἁ ταύτας ἀγεμὼν φιλοσοφία, ἐπὶ τᾷ τᾶς ψυχᾶς ἐπανορθώσι ταχθεῖσαι ὑπὸ θεῶν τε καὶ νόμων, ἐθίζοντι καὶ πείθοντι, καὶ ποταναγκάζοντι, τὸ μὲν ἄλογον τῷ λογισμῷ πείθεσθαι, τῷ δ' ἀλόγῳ θυμὸν μὲν πρᾶον εἶμεν, ἐπιθυμίαν δὲ ἐν ἀρεμήσι, ὡς μὴ δίχα λόγω κινέεσθαι, μηδὲ μὰν ἀτρεμίζεν τῶ νῶ ἐκκαλεομένω ἢ ποτὶ ἔργα ἢ ποτὶ ἀπολαύσιας. Οὗτος γάρ ἐστιν ὅρος σωφροσύνας, εὐπείθειά τε καὶ καρτερία. Καὶ σύνεσις καὶ ἁ πρεσβίστα φιλοσοφία, ἀποκαθαράμεναι ψευδέας δόξας ἐνέθηκαν τὰν ἐπιστάμαν, ἀνακαλεσάμεναι τὸν νόον ἐκ μεγάλας τᾶς ἀγνοίας, χαλάσασαι ἐς ὄψιν τῶν θείων, τοῖς ἐνδιατρίβεν σὺν αὐταρκίᾳ τε ποττὰνθρώπεια καὶ σὺν εὐροίᾳ ἐπὶ τὸν σύμμετρον βίω χρόνον εὔδαιμόν ἐστιν.

§ 12. Ὅτῳ μὲν δὴ ὁ δαίμων μοίρας τᾶσδ' ἔλαχε, δι' ἀλαθεστάταν δόξαν ἄγεται ἐπὶ τὸν εὐδαιμονέστατον βίον. Αἱ δέ κά τις σκληρὸς καὶ ἀπειθής, τῷ δ' ἐπέσθω κόλασις ἅ τ' ἐκ τῶν νόμων καὶ ἁ ἐκ τῶν λόγων, σύντονα ἐπάγοισα δείματά τε ὑπουράνια καὶ τὰ καθ' Ἅδεω, ὅτι κολάσιες ἀπαραίτητοι ἀπόκεινται δυσδαίμοσι νερτέροις, καὶ τἄλλα ὅσα ἐπαινέω τὸν Ἰωνικὸν ποιητὰν ἐκ παλαιᾶς ποιεῦντα τὼς ἐναγέας· ὡς γὰρ τὰ σώματα νοσώδεσί ποκα ὑγιάζομες, αἴ κα μὴ εἴκῃ τοῖς ὑγιεινοτάτοις, οὕτω τὰς ψυχὰς ἀπείργομες ψευδέσι λόγοις, αἴ κα μὴ ἄγηται ἀλαθέσι. Λέγοιντο δ' ἂν ἀναγκαίως καὶ τιμωρίαι ξέναι, ὡς μετενδυομενᾶν τᾶν ψυχᾶν τῶν μὲν δειλῶν ἐς γυναικεῖα σκάνεα ποθ' ὕβριν ἐκδιδόμενα, τῶν δὲ μιαιφόνων ἐς θηρίων σώματα ποτὶ κόλασιν, λάγνων δ' ἐς συῶν ἢ κάπρων μορφάς, κούφων δὲ καὶ μετεώρων ἐς πτηνῶν ἀεροπόρων, ἀργῶν δὲ καὶ ἀπράκτων ἀμαθῶν τε καὶ ἀνοήτων ἐς τὰν τῶν ἐνύδρων ἰδέαν. Ἅπαντα δὲ ταῦτα ἐν δευτέρᾳ περιόδῳ ἁ Νέμεσις συνδιέκρινε σὺν δαίμοσι παλαμναίοις χθονίοις τε, τοῖς ἐπόπταις τῶν ἀνθρωπίνων, οἷς ὁ πάντων ἀγεμὼν θεὸς ἐπέτρεψε διοίκησιν κόσμω συμπεπληρωμένω ἐκ θεῶν τε καὶ ἀνθρώπων τῶν τε ἄλλων ζῴων, ὅσα δεδαμιούργαται ποτ' εἰκόνα τὰν ἀρίσταν εἶδος ἀγεννάτω καὶ αἰωνίω καὶ νοατῷ.

---

losophiæ beneficio contingunt. Hæ enim facultates alunt et roborant tum corpora tum animos laboribus, exercitationibus, pura denique vitæ ratione, partim medicamenta ad corpora reficienda adhibentes, partim animos castigationibus et reprehensionibus erudientes. Corroborant enim animum, cohortationis stimulis ejus impetum excitantes eumque ad apta facinora impellentes. Unctoris igitur ars et quæ huic cognata est medicina corporibus curandis destinata atque ad optimam harmoniam facultates illas adducens purum sanguinem spiritumque fluidum reddit, ut quamvis morbidi quid subsit, id validæ sanguinis spiritusque facultates vincere queant : musica vero et hujus dux philosophia ad animum emendandum a diis legibusque constitutæ assuefaciunt et suadent et cogunt partem animi rationis expertem rationi obtemperare, in eam autem partem quæ rationis sit expers lenem esse iram, cupiditatem quiescere, ita ut non sine ratione moveantur, nec contra quiescant, quum ipsas mens vel ad actiones vel ad voluptatis fructum vocaverit. Est enim temperantiæ terminus obedientia ac tolerantia. Sed et intelligentia et augusta illa philosophia mentem falsis opinionibus liberatam scientiæ dicarunt atque a magna ignorantia revocatam ad rerum divinarum contemplationem erexerunt, in qua rebus humanis convenienter versari justumque vitæ tempus bene collocare beati hominis est.

§ 12. Cujus igitur genio hæc obtigit sors, is per verissimam opinionem ad felicissimam vitam perducitur. Si quis vero durus et contumax fuerit, eum pœna consequetur tum ex legibus tum ex illis fabulis et rumoribus, quibus magna eaque simul cœlestia simul inferna terriculamenta denuntiantur, infelices videlicet manes inevitabilia supplicia manere, et reliqua quæ Ionicus poeta e vetere memoria repetita in sceleratos merito confinxit : quemadmodum enim corpora remediis quibusdam morbidis sanamus, nisi cedant saluberrimis, ita et animos falsis sermonibus deterremus, nisi ducantur veris. Quapropter etiam necessario commemorentur peregrina supplicia, quasi animæ e corporum vinculis elapsæ transeant, ignavorum quidem in muliebria corpora ad ignominiam data, homicidarum vero in ferarum corpora ad supplicium, porro libidinosorum in suum vel aprorum formas, levium et ventosorum hominum in aeriarum avium species, segnium denique, otiosorum, imperitorum, stolidorum in aquatilium speciem. Omnia autem hæc in secundo circuitu Nemesis dijudicavit cum diis inferis cædisque vindicibus, rerum humanarum inspectoribus, quibus ille omnium imperator deus supremus commisit administrationem mundi explet diis hominibusque et reliquis animalibus, quæ ad optimam non genitæ, æternæ, intelligibilis formæ effigiem sunt creata.

ΑΛΛΑ ΤΩΝ

ΠΥΘΑΓΟΡΕΙΩΝ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ

ΠΑΝΤΑΧΟΘΕΝ ΣΥΝΕΙΛΕΓΜΕΝΑ.

ΣΩΤΙΩΝΟΣ ΛΕΙΨΑΝΑ.

1. Οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

(Stobæus Flor. LXXXIV, 6.)

2. Ἀθήνησι νεμόμενοι κοινὴν οὐσίαν Ἀχαιὸς καὶ Δῖος ἀδελφοὶ οὕτως εὐγνώμονες ἦσαν, ὥσθ' ὁ μὲν Ἀχαιὸς γεγυμνασιαρχηκὼς ἠξίου τῆς ὑπολοίπου οὐσίας τὸ ἀνάλωμα τὸ εἰς τὴν γυμνασιαρχίαν προστίθεσθαι τῷ ἐκείνου μέρει, ὁ δὲ ἀντέλεγεν ὡς καὶ αὐτὸς ἄλλα τινὰ ἀνηλωκώς.

(Stobæus Flor. LXXXIV, 7. Scripsi ἐκείνου; codd. αὐτοῦ.)

3. Ὁ Καλλίας χειροτονηθεὶς ἵππαρχος νέος ὢν ἠξίωσεν ἐπιτραπῆναι αὐτῷ παραχωρῆσαι τῷ ἀδελφῷ Θεοφίλῳ· αὐτῷ γὰρ ἐπεῖναι ἡλικίαν. Ὥστε καὶ εὐδοκίμησεν καὶ ἐν τῷ ὑστέρῳ ἔτει πρῶτος ἐχειροτονήθη.

(Stobæus Flor. LXXXIV, 8.)

4. Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον ἢ μισάδελφον καὶ πλούσιον.

(Stobæus Flor. LXXXIV, 17.)

5. Κύνα μὲν χαλεπὸν ὄντα ἐπιχειρεῖς πραΰνειν, ὅπως σοι πρᾶος ᾖ, τὸν ἀδελφὸν δὲ οὔ.

(Stobæus Flor. LXXXIV, 18.)

ALIA

PYTHAGOREORUM

FRAGMENTA

UNDIQUE COLLECTA.

Ἐκ τοῦ περὶ ὀργῆς β'.

6. Τοῖς δὲ σοφοῖς ἀντὶ ὀργῆς Ἡρακλείτῳ μὲν δάκρυα, Δημοκρίτῳ δὲ γέλως ἐπῆει.

(Stobæus Flor. XX, 53.)

7. Ὥσπερ δὲ πλοῖα γενναῖα, οὐχ ὅσα ἐν εὐδίᾳ πλεῖ ἀλλ' ὅσα πρὸς χειμῶνα ἀντέχει καὶ σώζεται, οὕτω καὶ ἄνθρωποι ὀργῇ καὶ κινήσει ἀντέχοντες μεγάλοι καὶ ἀνδρεῖοι. Ὑποκριταῖς μὲν οὖν, καὶ μὴ ὀργιζομένοις, ὑποκρινομένοις ὀργὴν συνήνεγκεν, οἱ δὲ σπουδαῖοι ἄνδρες, οὐδ' ἐὰν ὡς ἀληθῶς ὀργίζωνται, οὕτω χρῶνται τῷ σχήματι.

(Stobæus Flor. XX, 54.)

8. Μῦθός τις περιφέρεται ἀστεῖος, ὅτι ἡ λύπη παρ' οἷς ἂν τρέφηται καὶ αὔξηται, παρ' ἐκείνοις ἡδέως καὶ μένει. Ὁ δὲ Κλεάνθης ἔλεγε τὴν λύπην ψυχῆς παράλυσιν. Ὁ δὲ φρόνιμος ἐρεῖ· « Τολμήεις μοι θυμός, ἐπεὶ μάλα πολλὰ πέπονθα———μετὰ καὶ τόδε τοῖσι γενέσθω. »

(Stobæus Flor. CVIII, 59. Posui ἀστεῖος; codd. γυναικὸς. Nam Plutarchus ejus dicti auctorem Æsopum perhibet Consolat. ad uxorem cap. 6 vol. X p. 393 ed. Hutten. Idem philosophi cujusdam sententiam esse vult Consolat. ad Apollon. vol. VII p. 343 ed. Hutten. Præterea

---

SOTIONIS RELIQUIÆ.

1. Qui neglectis fratribus alios amicos quærunt, similes illis sunt qui suo agro requiem dantes alienum colunt.

2. Achæus et Dius fratres Athenis quum hereditatem partirentur, adeo benigni erant, ut quum Achæus qui gymnasio præfuerat et sumptus in ea dignitate fecerat, eos de sua parte detractos illius parti adjici vellet, Dius id non permitteret ac se quoque alios sumptus fecisse dictitaret.

3. Callias juvenis adhuc magister equitum dictus petiit a civibus ut sibi liceret hunc honorem Theophilo fratri tanquam natu majori concedere. Quamobrem apud illos gratiosus fuit atque anno sequenti iterum primus creatus est.

4. Fratrum amantem et pauperem dici præstat, quam fratrum osorem ac divitem.

5. Canem tibi infensum mitigare conaris, ut fiat mansuetior, cum fratre vero non eodem modo agis.

E secundo libro de ira.

6. Sapientibus iræ loco, Heraclito quidem lacrimæ, Democrito autem risus oboriebatur.

7. Quemadmodum navigia præclara judicantur, non quæ in tranquillitate navigant, sed quæ tempestatibus obsistunt et salva evadunt; sic et homines qui iræ et commotionibus resistere possunt magni fortesque habentur. Histriones quidem, licet solum simulent, hominis irati faciem induunt; viri autem virtutis studiosi, etsi revera irascantur, vultu tamen et gestibus iratorum abstinent.

8. Facete dictum celebratur, dolorem libenter apud illos manere, a quibus alatur et augeatur. Porro Cleanthes dolorem animi demissionem vocabat. At vir prudens ita dicet: « Intrepidus mihi animus est, quoniam multa mala perpessus sum; cum illis hoc quoque fiat. »

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΤΡΩΝ

αὔξηται scripsi; codd. αὔξεται. Ultima τολμήεις μοι θυμὸς κτλ. petita sunt ex Odyss. lib. XVII, 284 seq.)

9. Ὅτι ἡ παραμυθία φάρμακον ἀνίας ἐστὶ μέγιστον « νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων. » Καλῶς δὲ καὶ ταῦτ' εἴρηται « λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλου, ἄγαν δὲ μωραίνοντι νουθετήματα. »

(Stobæus Flor. CXIV, 15. Verba νηπενθές τ' ἄχολόν τε κτλ. sumta sunt ex Odyss. lib. IV, 221. Quæ sequuntur λυπουμένῳ μὲν μῦθος κτλ. Euripidis sunt ex incerta tragœdia teste Plutarcho Consol. ad Apoll. vol. VII p. 317 ed. Hutten. Vid. Euripidis fragm. p. 842 ed. Wagner.)

10. Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι, πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκέλλουσιν. Οὕτως οἱ κόλακες ἐν εὐδίᾳ παραμένουσιν, ὡς οἱ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες μέχρι τῆς λείας συμπαρακολουθοῦσιν· ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν, ἀπίασιν.

(Antonius et Maximus serm. de adulatione p. 248. Scripsi ἐξοκέλλουσιν pro vulgata lectione ἐξοκείλουσιν. Præterea καὶ τοὺς φίλους mutavi in ὡς οἱ τοὺς φίλους.)

ΕΚ ΤΩΝ ΜΟΔΕΡΑΤΟΥ ΤΟΥ ΠΥΘΑΓΟΡΕΙΟΥ.

1. Ἔστι δ' ἀριθμός, ὡς τύπῳ εἰπεῖν, σύστημα μονάδων, ἢ προποδισμὸς πλήθους ἀπὸ μονάδος ἀρχόμενος, καὶ ἀναποδισμὸς εἰς μονάδα καταλήγων· μονάδας δὲ περαίνουσα ποσότης, ἥτις μειουμένου τοῦ πλήθους κατὰ τὴν ὑφαίρεσιν παντὸς ἀριθμοῦ στερηθεῖσα μονήν τε καὶ στάσιν λαμβάνει. Περαιτέρω γὰρ ἡ μονὰς τῆς ποσότητος οὐκ ἰσχύει ἀναποδίζειν· ὥστε μονὰς ἤτοι ἀπὸ τοῦ ἑστάναι καὶ κατὰ ταυτὰ ὡσαύτως ἄτρεπτος μένειν, ἢ ἀπὸ τοῦ διακεκρίσθαι καὶ παντελῶς μεμονῶσθαι τοῦ πλήθους εὐλόγως ἐκλήθη.

(Stobæus Eclog. lib. I cap. 2, 8, pag. 19 ed. Heer.)

2. Τινὲς τῶν ἀριθμῶν ἀρχὴν ἀπεφήναντο τὴν μονάδα, τῶν δὲ ἀριθμητῶν τὸ ἕν, τοῦτο δὲ σῶμα τεμνόμενον εἰς ἄπειρον· ὥστε τὰ ἀριθμητὰ τῶν ἀριθμῶν ταύτῃ διαλλάττειν ἢ διαφέρει τὰ σώματα τῶν ἀσωμάτων. Εἰδέναι δὲ καὶ τοῦτο χρή, ὅτι τῶν ἀριθμῶν εἰσηγήσαντο τὰς ἀρχὰς οἱ μὲν νεώτεροι τήν τε μονάδα καὶ τὴν δυάδα, οἱ δὲ Πυθαγόρειοι πάσας παρὰ τὸ ἑξῆς τὰς τῶν ὅρων ἐκθέσεις, δι' ὧν ἄρτιοί τε καὶ περιττοὶ νοοῦνται.

(Stobæus Eclog. lib. I cap. 2, 9 pag. 20 ed. Heer. Locum hunc atque item sequentem qui in Stobæi codicibus Moderati fragmento subjiciuntur eidem philosopho tribui, etsi eos ex illius libris depromtos esse non constat. Interesse aliquid inter unum et unitatem sive τὸ ἓν et τὴν μονάδα sæpius annotarunt Pythagorei. Id vero Anonymus de vita Pythag. p. 44 ed. Holsten. sic explicat : ὅτι διαφέρειν ἔλεγον οἱ ἀπὸ Πυθαγόρου μονάδα καὶ ἕν· μονὰς μὲν γὰρ παρ' αὐτοῖς ἐνομίζετο ἡ ἐν τοῖς νοητοῖς οὖσα, ἓν δὲ ἐν τοῖς ἀριθμοῖς (leg. ἀριθμητοῖς i. e. αἰσθητοῖς), ὁμοίως καὶ δύο τὸ ἐν τοῖς ἀριθμητοῖς. Est igitur unitas intelligibile, unum sensibile principium, ideoque monas notio universalis, unum rei singularis notio habetur. Ultima verba in quibus Πυθαγόρειοι e codice Monacensi cum Gaisfordo posui paulo obscuriora sunt. Sensum esse arbitramur, Pythagoreis non monadem et dyadem, sed omnino parem atque imparem numerorum rationem principia esse visa. Sunt enim αἱ τῶν ὅρων ἐκθέσεις, δι' ὧν οἱ ἄρτιοι καὶ περιττοὶ νοοῦνται Pythagoreorum dogmata quibus paris et imparis numeri natura aperitur. Cæterum Pythagoreos intelligit antiquos Samii philosophi assectatores, quibus opponuntur recentiores, hoc est Plato hominesque ex ejus

---

9. Consolatio maximum est remedium tristitiæ, luctum tollens iramque atque omnia mala in oblivionem adducens. Sed hæc quoque scite dicta sunt : « Mœrenti quidem benevolus amici sermo remedium est, nimis stulte vero se gerenti reprehensio. »

10. Delphini, quoad undæ suppeditant, comitantur natantes, in littus vero nunquam egrediuntur. Sic adulatores in rebus secundis manent, sicut qui amicos peregrinationem suscipientes, dum via plana est, deducunt, quum asperior esse incipit, recedunt.

MODERATI PYTHAGOREI FRAGMENTA.

1. Est autem numerus, ut verbo dicam, monadum congeries, vel progressus multitudinis a monade incipiens, simulque regressus in eam desinens : monadem porro definit quantitas, quæ decrescente multitudine deminutioni convenienter omni numero privata quietem ac statum accipit. Siquidem ultra quantitatem regredi monas non valet. Quocirca monas vel quod stet atque immota æquabiliter eodem statu maneat, vel quod a multitudine sit separata atque omnino distincta, recte sic vocatur.

2. Nonnulli numerorum principium dixerunt monadem, eorum vero quæ numerantur, unum : corpus autem id esse quod in infinitum secari potest, ut adeo quæ numerantur a numeris hoc pacto differant, quo a corporibus incorporea. Hoc quoque sciendum est, numerorum initium recentiores quidem statuisse monadem ac binarium numerum, Pythagoreos autem omnes deinceps disciplinæ formulas, quarum ope numeri et pares et impares cogitatione comprehenduntur.

iplina profecti. Quippe hunc monadem ac dem rerum principia esse voluisse testatur toteles Phys. lib. I cap. 6.)

Πυθαγόρας πλείστῃ σπουδῇ περὶ τοὺς ἀριθμοὺς σατο, τάς τε τῶν ζῴων γενέσεις ἀνῆγεν εἰς ἀρι- ς καὶ τῶν ἀστέρων τὰς περιόδους. Ἔτι δὲ τοῖς ἀπεικάζων ἐπωνόμαζεν, ὡς Ἀπόλλωνα μὲν τὴν δα οὖσαν, Ἄρτεμιν δὲ τὴν δυάδα, τὴν ἑξάδα ν καὶ Ἀφροδίτην, τὴν δὲ ἑβδομάδα Καιρὸν καὶ νᾶν, Ἀσφάλειον δὲ Ποσειδῶνα τὴν ὀγδοάδα, καὶ δεκάδα Παντέλειαν. Αὐτοῦ δὲ πάλιν τοῦ ἀρι- τὸν μὲν ἄρτιον ἀτελῆ, πλήρη δὲ καὶ τέλειον ἀπε- το τὸν περιττόν, ὅτι μιγνύμενός τε πρὸς τὸν ν ἀεὶ ποιεῖ [a] περικρατεῖν τὸν ἐξ ἀμφοῖν περισσόν, ό τε πάλιν συντιθέμενος γεννᾷ τὸν ἄρτιον, ὁ δ' ος οὐδέποτε τὸν περισσόν, ὡς οὐ γόνιμος ὢν οὐδὲ ν δύναμιν ἀρχῆς. Ὥστε ἐν τῷ διαιρεῖσθαι δίχα οἱ τῶν ἀρτίων εἰς περισσοὺς τὴν ἀνάλυσιν λαμ- υσιν, ὡς ὁ τεσσαρεσκαίδεκα [b], τῶν δὲ περισσῶν εἰς ους οὐδείς. Ἀδιαίρετον γὰρ ἡ ἀρχὴ καὶ τὸ στοι- ν εἰς ἕτερα· τοῖς δὲ ἄλλοις εἰς τὰ αὐτὰ πάλιν αἱ ύσεις. Ἔτι δὲ τῇ μονάδι τῶν ἐφεξῆς περισσῶν κόνων περιτιθεμένων, ὁ γινόμενος ἀεὶ τετράγωνος τῶν δὲ ἀρτίων ὁμοίως περιτιθεμένων, ἑτερομή- καὶ ἄνισοι πάντες ἀποβαίνουσιν· ἴσον δὲ ἰσάκις ς. Καὶ μὴν εἰς δύο διαιρουμένων ἴσα, τοῦ μὲν σσοῦ μονὰς ἐν μέσῳ περίεστι, τοῦ δὲ ἀρτίου κενὴ εται χώρα καὶ ἀδέσποτος καὶ ἀνάριθμος, ὡς δὴ [c] ρῦς καὶ ἀτέλοῦς ὄντος. Περὶ δὲ τοῦ κοινοῦ λόγου ἀριθμῶν τοῦτον διέξεισι τὸν τρόπον.

Stobæus Eclog. lib. I cap. 2, 10 pag. 20 q. ed. Heer. Quisquis fuit hujus de numeris putatiunculæ auctor, certum est eum pæne ad bum exscripsisse quæ de eodem argumento ntur apud Plutarchum de vita et poesi Ho- i cap. 145 vol. XIV pag. 547 ed. Hutten. Sic m ibi personatus ille Plutarchus : ὁ γὰρ Πυ- ρας τοὺς ἀριθμοὺς μεγίστην δύναμιν ἔχειν ἡγού- ς, καὶ πάντα εἰς ἀριθμοὺς ἀναφέρων, τῶν τε ρων τὰς περιόδους, καὶ τῶν ζῴων τὰς γενέσεις, δύο τὰς ἀνωτάτω ἀρχὰς ἐλάμβανε, τὴν μὲν ὡρισμένην, μονάδα, τὴν δὲ ἀόριστον, δυάδα καλῶν· τὴν μὲν ἀγαθῶν, τὴν δὲ κακῶν οὖσαν ἀρχήν. Ἡ μὲν γὰρ τῆς μονάδος φύσις ἐγγενομένη, τῷ μὲν περιέχοντι εὐκρασίαν, ψυχαῖς δὲ ἀρετήν, σώματι δὲ ὑγίειαν, πόλεσι δὲ καὶ οἴκοις εἰρήνην καὶ ὁμόνοιαν παρέσχε· πᾶν γὰρ ἀγαθὸν συμφωνίας οἰκεῖόν ἐστιν. Ἡ δὲ τῆς δυάδος, πᾶν τοὐναντίον, ἀέρι χειμῶνα, ψυχαῖς κακίαν, σώμασι νόσους, πόλεσι δὲ καὶ οἰκίαις στάσεις καὶ ἔχθρας ἐγέννησε· πᾶν γὰρ κακὸν ἐκ διαστάσεως καὶ διαφορᾶς γίνεται. Ὅθεν καὶ τῶν ἐφεξῆς ἀριθμῶν τὸν μὲν ἄρτιον, ἐνδεᾶ καὶ ἀτελῆ· τὸν δὲ περισσόν, πλήρη τε καὶ τέλειον ἀπέφηνεν (leg. ἀπεφήνατο), ὅτι μιγνύμενός τε πρὸς τὸν ἄρτιον, ἀεὶ τὴν ἑαυτοῦ δύναμιν διασώζει, τοῦ περισσοῦ καὶ ἐν τούτοις ἐπικρατοῦντος· ἑαυτῷ τε συντιθέμενος γεννᾷ τὸν ἄρτιον· γόνιμος γάρ ἐστι, καὶ ἔχει δύναμιν ἀρχῆς, καὶ διαίρεσιν οὐκ ἐπιδέχεται, ἀεὶ τῆς μονάδος ἐν αὐτῷ περιούσης. Ὁ δὲ ἄρτιος οὔτε γεννᾷ ποτε τὸν περισσόν, συντιθέμενος ἑαυτῷ, οὔτε ἐστὶν ἀδιαίρετος. Quæ autem apud Moderatum insuper dicuntur de deorum nominibus, ex aliis fontibus hausta videntur. Cf. Plutarch. de Isid. et Osir. cap. 76, vol. IX pag. 206 ed. Hutten. Nicomach. apud Phot. cod. 187 et Theol. Arithm. Neptuni cognomen explicat Plutarchus Thes. cap. 36 : καὶ γὰρ Ποσειδῶνα ταῖς ὀγδόαις τιμῶσιν· ἡ γὰρ ὀγδοάς, κύβος ἀπ' ἀρτίου πρῶτος οὖσα, καὶ τοῦ πρώτου τετραγώνου διπλασία, τὸ μόνιμον καὶ δυσκίνητον οἰκεῖον ἔχει τῆς τοῦ θεοῦ δυνάμεως, ὃν Ἀσφάλιον (al. Ἀσφάλειον) καὶ Γαιήοχον προσονομάζομεν. Aliter Cornutus de natura deor. p. 125 ed. Osann.: Κατ' ἄλλον δὲ τρόπον γαιήοχος λέγεται ὁ Ποσειδῶν καὶ θεμελιοῦχος ὑπό τινων· καὶ θύουσιν αὐτῷ ἀσφαλείῳ πολλαχοῦ, ὡσανεὶ ἐπ' αὐτῷ κειμένου τοῦ ἀσφαλῶς ἑστάναι τὰ οἰκήματα ἐπὶ τῆς γῆς καὶ αὐτοῦ δέοντος (leg. αὐτοῦ δὴ ὑπόντος). Hinc corrigendus Anatolius in Theol. Arithm. p. 56, qui ἡ ὀγδοὰς, inquit, ἀσφάλεια καλεῖται, ubi flagitatur Ἀσφάλειος. Vid. et Henr. Stephanum in Thesauro. Extrema ἔτι δὲ τῇ μονάδι τῶν ἐφεξῆς κτλ. illustrantur Joannis

---

Pythagoras summo studio circa numeros versatus quippe qui animalium quoque ortus et siderum cirus ad numeros rettulerit. Diis etiam illos comparans ina iis indidit, ut Apollinem monadem vocavit, Diadyadem, senarium numerum Connubium et Venee, septenarium Occasionem et Minervam, Neptunum orem octonarium, decadem autem Perfectionem. Ex s porro numeris parem imperfectum, imparem vero num ac perfectum appellavit, quoniam si hic additur semper ex utroque ut impar victor prodeat facit; n vero sibi ipse jungitur, producit parem; par contra nerus nunquam imparem, quod neque fecundus est ue vim principii habet. Quamobrem in bipartita divisione multi parium in impares solvuntur, verbi causa quattuordecim, nullus autem imparium in parem. Ipsum enim principium atque elementum in alia dividi nequit; reliqui autem omnes in eadem elementa dissolvi possunt. Porro si monadi unus e sequentibus numeris imparibus additur, prodit semper numerus quadratus; addito vero pari, prodeunt tantum impares et inæquales; nunquam vero numerus quadratus. Quin etiam numeris æqualiter in binas partes divisis, in imparibus in medio semper superest monas, in paribus vero vacuus relinquitur locus a nemine occupatus numeroque carens, quia par numerus indigus scilicet atque imperfectus est. De communi igitur numerorum ratione sic disseruit.

Philoponi testimonio ad Aristot. Phys. lib. III p. 131, qui omnes numeros impares γνώμονας vocatos esse scribit : Καὶ οἱ ἀριθμητικοὶ δὲ γνώμονας καλοῦσι πάντας τοὺς περιττοὺς ἀριθμούς. Ad quem locum Simplicius : γνώμονας δὲ ἐκάλουν τοὺς περιττοὺς οἱ Πυθαγόρειοι, διότι προστιθέμενοι τοῖς τετραγώνοις, τὸ αὐτὸ σχῆμα φυλάττουσι, ὥσπερ καὶ οἱ ἐν γεωμετρίᾳ γνώμονες. Cf. Tiedemann. *Geist der speculat. Philos.* p. 107 seq. Denique quod ad verborum scripturam attinet, tribus locis membranarum lectiones emendavi. Namque [a] ποιεῖ posui, quia ποιεῖται περικρατεῖν græcitas respuit. Possis etiam pro περικρατεῖν e libro Plutarcheo hic reponere ἐπικρατεῖν. [b] ὡς ὁ ἑξκαίδεκα mutavi in ὡς ὁ τεσσαρεσκαίδεκα. Scriptor enim probaturus numeros pares dividendo resolvi in impares, minime apto utitur exemplo ὡς ὁ ἑξκαίδεκα, cujus dimidium est octo, ut uterque numerus par sit. Quare τεσσαρεσκαίδεκα exaravi, cujus dimidium septem numerum imparem efficit. [c] ὡς ἂν in ὡς δὴ converti.)

ΕΚ ΤΩΝ ΒΟΥΘΗΡΟΥ ΠΕΡΙ ΑΡΙΘΜΩΝ.

Ἀριθμὸς ἐκ μονάδων σύγκειται, ὅπερ ἐστὶν ἀρχὴ τῶν ὄντων καὶ μέτρον καὶ ἀσύνθετον καὶ ἀγέννητον καὶ ἄϊδιον καὶ μόνον καὶ εἰλικρινές· ὃ χωρὶς τῶν ἄλλων ἐστί, καὶ αὐτὸ καθ' ἑαυτό, καὶ ἀρχὴ καὶ πρώτη φύσις. Καὶ ὅτι μαθεῖν αὐτὸ ἔξεστι μηδ' ἄλλο διορισαμένῳ, ὃ μόνον ἐστὶν εἰλικρινὲς καὶ αὐτὸ καθ' ἑαυτό, δῆλον [a].

Ὁ περισσὸς τοῦ ἀρτίου τελεώτερός ἐστιν. Ὁ μὲν γὰρ ἀρχὴν καὶ τέλος καὶ μέσον ἔχει, ὁ δὲ τοῦ μέσου ἐστέρηται [b]. Καὶ ὁ μέν, ὁπότ' ἂν γένηται [c] ἀνὰ λόγον καὶ πρὸς μονάδα, ταῖς αὑτοῦ χώραις καταλαμβάνει τὰ ταῖς γραμμαῖς περιεχόμενα σχήματα [d]· ὁ δ' ἐν οἰκείᾳ μὲν γιγνόμενος [e] οὐδέποτε περαίνεται, ὅταν δ' ἐν περισσῇ γένηται, αὐτός τε πέρατος τυγχάνει καὶ τὴν πλευρὰν λόγον ἔχουσαν ἴσχει.

Τὸ ἓν οὐσία καὶ φύσις καὶ νοῦς καὶ πλήρωμα· ἀρχὴν γὰρ καὶ μέσον καὶ πέρας ἔχον ἐστί. Καὶ τὰ ἄλλα [f] τούτου μετείληφεν ἃ ἔστι, καὶ νοεῖται τῇ τούτου φύσει ἕκαστον ἀπὸ τῶν ἄλλων εἰλικρινούμενον, καὶ εἰκών τε καὶ εἴδωλα τοῦ ἑνὸς γιγνόμενα.

καὶ βίος καλὸς καὶ τέλειος προηγούμενος, καὶ τὸ πάντων σαφέστατον [49], χρῆσις ἀρετῆς τελείας ἐν βίῳ τελείῳ [50] προηγουμένη. Βίῳ δὲ τελείῳ λέγει πρὸς τὴν διάστασιν τῆς χρήσεως τῶν ἀγαθῶν· προηγουμένην δέ, χάριν τοῦ τὴν χρῆσιν ἐν ἀγαθοῖς γίγνεσθαι, μὴ ἐν κακοῖς. Τοῦτο μὲν οὖν τέλος· τὸ δ' αὐτὸ συνωνύμως εὐδαιμονία παρὰ Πλάτωνος μετενηνεγμένον [51]. Σκοποὺς δ' ὑποτίθεται [52] τῆς ἐφέσεως τῶν ἀνθρωπίνων ὀρέξεων τρεῖς, τὸν τοῦ καλοῦ, τοῦ συμφέροντος, τοῦ ἡδέος. Καλὸν [53] μὲν οὖν ἐστιν ἀρετή, καὶ τὸ μέτοχον τῆς ἀρετῆς, ὥσπερ αὐτὸς ὁ σπουδαῖος, καὶ τὸ ἀπ' ἀρετῆς ἔργον, ὥστε ἀγαθόν, τὸ καλόν· καὶ τὸ ἐπαινετόν, καὶ τὸ παρέχον ἐπαινετούς. Συμφέρον δέ, τὸ πρὸς τὸ ζῆν εὔχρηστον· συμπαρατείνοι δ' ἂν ἡ ἔννοια καὶ πρὸς τὸ εὖ ζῆν. Ταῦτα δ' ἐστὶ τὰ κατὰ φύσιν ψυχῆς καὶ σώματος, περὶ ὧν προείρηται. Ἡδὺ δ' ἐστὶν οἰκεῖον ψυχῆς καὶ σώματος πάθος, εἰς τὸ κατὰ φύσιν ἐκ τοῦ παρὰ φύσιν ἀγωγόν, ὥσπερ ὁ Πλάτων ἐν τῷ Τιμαίῳ [54] ὡρίσατο. Ἀριστοτέλης ἐν τῷ δεκάτῳ τῶν Νικομαχείων [55] Εὔδοξον [56] τὸν ἀστρολόγον οἴεται τέλος δογματίζειν τὴν ἡδονήν.

Δημόκριτος καὶ Πλάτων κοινῶς ἐν τῇ ψυχῇ τὴν εὐδαιμονίαν τίθενται. Γέγραφε [57] δ' ὁ μὲν οὕτως· Εὐδαιμονίη ψυχῆς καὶ κακοδαιμονίη οὐκ ἐν βοσκήμασι οἰκέει, οὐδ' ἐν χρυσῷ, ψυχὴ δ' οἰκητήριον δαίμονος· τὴν δὲ εὐθυμίην καὶ εὐεστὼ καὶ ἁρμονίην, ξυμμετρίην τε καὶ ἀταραξίην καλεῖ· συνίστασθαι δ' αὐτὴν ἐκ τοῦ διορισμοῦ καὶ τῆς διακρίσεως τῶν ἡδονῶν· καὶ τοῦτ' εἶναι τὸ κάλλιστον καὶ τὸ συμφορώτατον ἀνθρώποις. Ὁ δὲ Πλάτων τῷ Δημοκρίτῳ κατὰ ταὐτὸ συνάδων, γράφει περὶ τοῦ κυριωτάτου τοῦ ἐν ἡμῖν δεῖν ὑπολαβεῖν ὡς ἄρ' αὐτὸ δαίμονα ἡμῖν δέδωκεν [ὁ θεός], ὅθεν καὶ ἐν αὐτῷ τὸ εὔδαιμον· λέγει δὲ τοῦτ' ἐν τῷ ἡγεμονικῷ τῆς ψυχῆς ἕξιν τινὰ ποιὰν καὶ διάθεσιν· τούτου δὲ τἀγαθοῦ τὰ μὲν πάθη κατάρχειν, ὅρον δὲ καὶ πέρας εἶναι τὸν λογισμόν. Ἀκούειν γοῦν πάρεστι· δύο [58] γὰρ αὗται φύσει πηγαὶ μεθεῖνται ῥεῖν, ἡδονὴ καὶ λύπη, ὧν ὁ μὲν ὅθεν τε δεῖ, καὶ ὅπη, καὶ ὅπως ἀρυτόμενος εὐδαιμονεῖ, ὁ δὲ μή, τοὐναντίον. Ἐν μὲν τοίνυν τῷ τὴν ἡδονὴν καὶ τὴν λύπην ὀνομάσαι, τὴν ἀπὸ τῶν παθῶν συνίστησι τῆς εὐδαιμονίας ἀρχήν· ἐν δὲ τῷ τὸν ἀρυτόμενον ὅθεν τε δεῖ, καὶ ὅπη, καὶ ὅπως, εὐδαιμονεῖν, τὸ τῷ λογικῷ διοριστικὸν εἴρηκε τῆς εὐδαιμονίας. Κατὰ τοῦτο μὲν οὖν ἀλλήλοις συμφέρονται· καθὰ δὲ Πλάτων μὲν ἐν τῇ εὐλογιστίᾳ τίθεται τὸ προηγούμενον ἀγαθόν, καὶ δι' αὐτὸ αἱρετόν, ἐν δὲ τῇ ἡδονῇ τὸ ἐπιγεννηματικόν, ὅπερ οἴεται καὐτὸς εἶναι χαράν τε καὶ ἀταραξίαν συνωνύμως, ἐξ ἐπακολουθήματος διαφέρουσιν [59].

Ἀγαθόν [60] ἐστιν ἀφ' οὗ συμβαίνει τὸ ὠφελεῖσθαι· καὶ οὗ πάντ' ἐφίεται τὰ λόγον ἔχοντα προηγουμένως· καὶ ὃ ἤτοι κατὰ φύσιν ἐστίν, ἢ ποιητικὸν τοῦ κατὰ φύσιν· καὶ τὸ ὀρεκτικὸν κατὰ φύσιν· καὶ τὸ κινητικὸν τῆς κατὰ φύσιν ἐχούσης ὀρέξεως, καὶ καθ' ὃ ἕκαστον

---

de quibus infra agemus. Multis vero modis felicitatem secundum eum definire licet, ut exercitationem virtutis perfectæ in vita perfecta cum successu, ut vitam honestam et perfectam rerum successu florentem, et, quod omnium est planissimum, usum virtutis perfectæ in vita perfecta cum successu. Nimirum ad discernendum bonorum usum vita perfecta ponitur, successus autem, quoniam usus in bonis, non in malis cernitur. Atque hic quidem finis est; idem vero Platonica translatione felicitas appellatur. Jam scopos desiderii rerum hominibus expetendarum tres ponit: honestum, utile et jucundum. Honestum quidem cum virtus est tum quidquid virtute est præditum, ut vir bonus et recte factum, ita ut bonum sit quod honestum est, ideoque etiam laudabile et quod laude dignos reddit. Utile autem est quod ad vitam prodest, quo simul indicatur, quod ad bene vivendum valet. Talia sunt animi corporisque bona, de quibus antea diximus. Jucundum vero est propria animi et corporis affectio, ad naturale ab eo quod naturæ repugnat ducens, quemadmodum in Timæo definivit Plato. Aristoteles in decimo librorum ad Nicomachum, Eudoxum astrologum existimat voluptatem pro fine habuisse.

Democritus et Plato communiter in animo felicitatem ponunt. Et ille quidem sic scribit: Animi felicitas et infelicitas non in (possidendis) gregibus et auro consistit; animus est domicilium numinis: cæterum animi tranquillitatem etiam bonum ejus statum, concentum, æquabilitatem et perturbationum vacuitatem nominat. Nasci autem eam ait ex voluptatum separatione ac distinctione, quam rem longe præstantissimam et hominibus utilissimam esse censet. Plato autem in hoc consentiens cum Democrito, de eo quod præcipuum in nobis est scribit, putandum esse, Deum nobis illud pro dæmone dedisse, ideoque etiam in eo felicitatem inesse: quippe in animi principatu bonum hoc habitum quendam et affectionem vocat, cujus initium quidem ab affectibus sumatur, finis vero ac terminus ratiocinatio sit. Quippe hæc ejus verba sunt: duo fontes natura emissi fluunt, voluptas et dolor, e quibus qui unde et ubi et quomodo fas sit, hauriat, beatus, qui minus, miser est. Itaque cum voluptatem ac dolorem memoravit, ab affectibus initium beatitudinis cepit; cum eum qui unde et ubi et quomodo fas sit, hauriat, beatum dixit, rationis discrimen beatitudini adjunxit. Atque in hoc quidem inter se consentiunt: quatenus autem Plato in ratione bene subducta ponit bonum antecedens et per se eligendum, in voluptate vero consequens, quod ipse quoque gaudium et perturbationum vacuitatem verbis idem declarantibus vocat, necessario discrepant.

Bonum est, unde utilitas percipitur, et quod omnia ratione prædita præcipue appetunt; et quod vel secundum naturam est vel ejus efficiens; item naturalis appetitus et quod naturalem appetitum movet, et cui convenienter

ἔχει ὅσον ἐπὶ τῇ ἐκείνου παρουσίᾳ, ἢ ποιητικόν
τι τοῦ τοιούτου· καὶ ὃ ἤτοι δι' αὑτό ἐστιν αἱρετόν,
ποιητικὸν τοῦ αἱρετοῦ· καὶ ὃ ἤτοι εὐδαιμονία ἐστίν,
συμβαλλόμενον πρὸς εὐδαιμονίαν· καὶ καθάπερ
ράτων [61], τὸ τελειοῦν τὴν δύναμιν, δι' ἧς τῆς ἐνερ-
ας τυγχάνομεν· καὶ τὸ σωστικὸν τῆς ἑκάστου οὐ-
ις, καθὸ κρατήσει τῶν μερῶν [62] τὰ μετέχοντα τῆς
αὐτης δυνάμεως, καὶ πολλαχῶς ἄλλως. Πλάτων
τοιαύτῃ χρῆται διαιρέσει, θήσω δὲ κατὰ λέξιν ἐκ
πρώτου τῶν Νόμων, καὶ διὰ τὸ κάλλος τῆς φρά-
ως, καὶ διὰ τὴν σαφήνειαν [63]. Διττὰ δ' ἀγαθά
τι, τὰ μὲν ἀνθρώπινα, τὰ δὲ θεῖα, ἤρτηται δ' ἐκ
ν θείων θάτερα, καὶ ἐὰν δέχηταί τις τὰ μείζονα,
ρίστασθαι καὶ τὰ ἐλάττονα, εἰ δὲ μή, στέρεται
φοῖν. Ἔστι δὲ τὰ μὲν ἐλάττονα, ὧν ἡγεῖται μὲν
εια· κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχύς, εἷς τε
όμον καὶ εἰς τὰς ἄλλας πάσας κινήσεις τῷ σώματι,
ταρτον δὲ δὴ πλοῦτος, οὐ τυφλός, ἀλλ' ὀξὺ βλέπων,
περ ἅμ' ἕπηται φρονήσει. Ὁ δὴ πρῶτον αὖ τῶν
ίων ἡγεμονοῦν ἐστιν ἀγαθῶν, ἡ φρόνησις· δεύτερον
μετὰ νοῦν σώφρων ψυχῆς ἕξις· ἐκ δὲ τούτων μετ'
δρείας κραθέντων τρίτον ἂν εἴη δικαιοσύνη, τέταρ-
ν ἀνδρεία. Ταῦτα δὲ πάντα ἐκείνων ἔμπροσθεν
ακται φύσει, καὶ δὴ καὶ τῷ νομοθέτῃ τακτέον οὕ-
ς. Ἔτι καὶ τοῦτον ἐνδιαστέλλομαι τὸν τρόπον·
λάτων πολύφωνος ὤν, οὐχ ὥς τινες οἴονται πολύδο-
, πολλαχῶς διῄρηται τἀγαθόν. Διχῶς μὲν τῷ
νει τῶν ἀγαθῶν; τὰ μὲν θεῖα, τὰ δ' ἀνθρώπινα·
θεῖα μὲν τὰς περὶ τὴν ψυχὴν ἀρετὰς λέγων, ἀνθρώ-
πινα δὲ τὰς περὶ τὸ σωματικὸν μέρος εὐεξίας, καὶ τὰς
ἀπὸ τῶν ἐκτὸς λεγομένων εὐπορίας. Τριχῶς δὲ τοῖς
τόποις· τῶν γὰρ ἀγαθῶν τὰ μὲν περὶ ψυχήν, τὰ δὲ
περὶ σῶμα, τὰ δ' ἐν τοῖς ἐκτός, ἃ ἀρετὰς εἴποις ἂν
καὶ εὐπορίας καὶ εὐεξίας. Πενταχῶς δὲ τοῖς εἴδεσι·
πρῶτον μὲν γὰρ τἀγαθὸν τὴν ἰδέαν αὐτὴν ἀποφαίνε-
ται, ὅπερ ἐστὶ θεῖον καὶ χωριστόν· δεύτερον δὲ τὸ
ἐκ φρονήσεως καὶ ἡδονῆς σύνθετον, ὅπερ ἐνίοις δοκεῖ
κατ' αὐτὸ εἶναι τέλος τῆς ἀνθρωπίνης ζωῆς· τρίτον
αὐτὴν καθ' αὑτὴν τὴν φρόνησιν· τέταρτον τὸ ἐκ τῶν
ἐπιστημῶν καὶ τεχνῶν σύνθετον· πέμπτον αὐτὴν
καθ' αὑτὴν τὴν ἡδονήν. Ταύταις κέχρηται ταῖς δια-
στολαῖς ἐν τῷ πρώτῳ τῶν Νόμων, μάλιστα κἀν τῷ
Φιλήβῳ [64]. Ἄλλως· Μόνον μὲν τὸ καλὸν ἀγαθόν,
καθότι τῶν ὄντων οὐδὲν ἀγαθόν, εἰ μὴ μεταλάβοι τῆς
ἀρετῆς, ὥσπερ ὁ δαλὸς καὶ ὁ σίδηρος τοῦ πυρός, οὗ
χωρὶς οὐδὲ ἁπλῶς θερμόν. Μετὰ δ' ἄλλων ἀγαθῶν,
τῶν τριῶν γενῶν, ὅτι μετείληφεν αὐτοῦ τὰ δύο, τὰ
σωματικὰ σὺν τοῖς ἐκτός [65]. Ὡς γὰρ τῆς σελήνης
ἀφώτιστος μὲν ἡ οὐσία καθ' αὑτήν, μεταλήψει δὲ τῆς
ἡλιακῆς αὐγῆς φωτίζεται, οὕτως οὐδὲν ὃ μὴ μετέχει
τῆς ἀρετῆς, ἀγαθόν. Τοῖς γὰρ ἀνθρωπίνοις τὸ δύνα-
σθαι ὠφελεῖν ἐκ τῶν θείων πάρεστιν.

Ἀριστοτέλης [66] τὴν μὲν τριάδα τῶν ἀγαθῶν καὶτὸς
δμοίως Πλάτωνι κατὰ τοὺς τόπους. Ἔτι τῶν ἀγα-
θῶν τὰ μέν ἐστι δι' ἑαυτὰ αἱρετά, τὰ δὲ δι' ἕτερα.
Δι' ἑαυτὰ μὲν οὖν ἐστιν αἱρετά, ὅσα πρὸς τὴν αἵρεσιν

---

gula recte se habent, quantum illo præsente fieri potest,
quod tale quid efficit; et quod vel per se est expeten-
m, vel ejus efficiens; et quod vel beatitudo est, vel ad
m conducit; et ut ait Strato, quod perficit facultatem,
a effectum obtinemus; et quod singularum rerum na-
ram conservat, quatenus res tali facultate præditæ
nnibus partibus integræ manent, et multa alia. Plato
item hac divisione utitur, quam ad verbum ex primo de
gibus sumam, tum ob dictionis venustatem, tum ob
rspicuitatem. Duplicia vero bona sunt, alia humana,
vina alia, pendentque e divinis humana; ac si quis
ajora suscepit, minora quoque ei præsto sunt, sin au-
m illis caret, utrisque privatur. Cæterum minorum
imum est sanitas; forma secundum; tertium vires ad
rsum cæterosque corporis motus; quartum divitiæ,
æ cæcæ non sunt, sed acute cernunt, si prudentiam
quantur. Quæ quidem prudentia divinorum bonorum
ux primaria est, deinde post mentem temperatus animi
abitus. Ex his duobus cum fortitudine mixtis justitia
rtio exoritur; fortitudo quartum tenet locum. Quæ
mnia humanis illis natura præstant, ideoque etiam le-
umlatorem eum ordinem sequi oportet. Præterea hoc
noque simul explicandum duco: Plato qui verbis qui-
em, non tamen sententiis, ut nonnulli credunt, differt,
ariis modis distinxit bonum. Duplex dicit genus bono-
rum, alterum divinorum, alterum humanorum. Ac
divina quidem virtutes animi, humana autem bonum
corporis habitum vocat et quæ ad externa pertinent bona.
Triplex autem genus respectu loci. Bonorum enim alia
sunt circa animum, alia circa corpus, alia in rebus exter-
nis versantur, quæ virtutes, bonum habitum et opes
appelles. Quinque autem distinguit species. Primam
enim ipsam ideam boni ponit, quæ divina et ab aliis
rebus semota est. Alteram quæ ex prudentia et voluptate
constat, in qua nonnulli vitæ humanæ finem fere inesse
volunt. Tertiam ipsam prudentiam per se. Quartam
quæ e doctrinis et artibus composita est. Quintam, vo-
luptatem per se. His divisionibus utitur in primo de Legi-
bus, et maxime in Philebo. Aliter: Unice quidem hones-
tum bonum est, quatenus eorum quæ sunt nihil bonum
est, nisi virtutis particeps sit, ut torris et ferrum ignis,
sine quo nullus omnino calor. Verum una cum aliis
quoque bonis secundum tres species, quia reliquæ duæ,
corporis et externa, ejus participes sunt. Ut enim lunæ
substantia per se quidem luce caret, illustratur vero eo
quod solis luminis particeps sit, sic etiam nihil, quod
non particeps virtutis sit, bonum est. Quod enim homi-
nibus prodesse potest, e divinis adsit oportet.

Aristoteles quoque loci ratione habita triplicia cum Pla-
tone bona statuit. Verum bona insuper alia per se expe-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτῶν οὐ δι' ἄλλο τι κινεῖ ἢ προτρέπεται· τοιαῦτα δ' ἐστὶν οἷον εὐδαιμονία, καὶ τὸ γένος τῶν ἀρετῶν καὶ τὰ σωματικὰ τῶν κατὰ φύσιν, ὑγίεια, εὐεξία, εὐαισθησία, κάλλος, τάχος, ἀρτιότης, ἰσχύς, τὰ παραπλήσια τούτοις, καὶ τῶν σωματικῶν ἡδοναί, αἱ μηδεμίαν βλάβην ἐπιφέρουσαι. Ταῦτα γὰρ ὁ νοῦν ἔχων ἕλοιτ' ἂν αὐτά, κἂν μηδὲν ἄλλο κεχωρισμένον αὐτῶν περιποιῇ. Δι' ἄλλα δ' ἐστὶν αἱρετά, τὰ δι' ἕτερόν τι κεχωρισμένον αὐτῶν προκαλούμενα πρὸς τὴν αἵρεσιν, περίπατος, γυμνασία, μάθησις, ἀνάγνωσις, ἰατρεῖαι, θεραπεῖαι, τροφαί, σκέπαι. Τούτων γὰρ οὐδὲν δι' αὐτὸ ληπτόν, κατὰ δὲ τὴν ἀναφορὰν τὴν ἐφ' ἃ παρέχεται.

Εἰ πᾶν τὸ καλὸν δι' αὐτὸ αἱρετόν; Κατὰ μὲν Πλάτωνα πᾶν. Καὶ γὰρ ἀρετὴν πᾶσαν, καὶ τὴν καθ' ἑκάστην ἕξιν σπουδαίαν, καὶ τὴν ἐνέργειαν, ἥτις ἐστὶ πρᾶξις μετὰ λόγου. Ὠνομάσθη γοῦν καλόν, ὅτι κλητικόν ἐστιν ἐφ' αὑτό [67]. Τῷ δ' Ἀριστοτέλει δοκεῖ, τὰς μὲν ἕξεις οὐκ εἶναι δι' αὑτὰς αἱρετάς, δι' ἄλλο γάρ τι, τὴν ἐνέργειαν. Πᾶσα γὰρ ἕξις διὰ ταύτην, ὥστε τὸ οὗ ἕνεκα, τοῦτο δὲ δι' αὐτὸ αἱρετόν, ὕπαρξις, ἡ χρῆσις καὶ τέλος τοῦ βίου. Καὶ τὴν εὐδαιμονίαν οὗτος μὲν ἀπὸ τῆς χρήσεως ἀναφωνεῖ, Πλάτων δὲ καὶ ἀπὸ τῆς κτήσεως. Ἀλλ' ὁ μὲν πρεσβύτερος ἐν τοῖς Νόμοις καὶ ἐν τῷ Τιμαίῳ καί τισιν ἄλλοις ταῦτα κεχώρηκεν, ὁ δὲ νεώτερος ἐν τοῖς Ἠθικοῖς.

Ζήνωνος καὶ τῶν λοιπῶν Στωϊκῶν δόγματα περὶ τοῦ ἠθικοῦ μέρους τῆς φιλοσοφίας [68].

Περὶ δὲ τῶν ἠθικῶν ἑξῆς ποιήσομαι τὸν ὑπομνηματισμόν, τὰ κεφάλαια τῶν ἀναγκαίων δογμάτων ἀναλαβών. Ἄρξομαι δ' ἐντεῦθεν. Ταῦτ' εἶναί φησιν ὁ Ζήνων, ὅσα οὐσίας μετέχει· τῶν δ' ὄντων τὰ μὲν εἶναι ἀγαθά, τὰ δὲ κακά, τὰ δὲ ἀδιάφορα. Ἀγαθὰ μὲν τὰ τοιαῦτα· φρόνησιν, δικαιοσύνην, σωφροσύνην, ἀνδρείαν, καὶ πᾶν ὅ ἐστιν ἀρετὴ ἢ μετέχον ἀρετῆς· κακὰ δὲ τὰ τοιαῦτα· ἀφροσύνην, ἀκολασίαν, δειλίαν, ἀδικίαν, καὶ πᾶν ὅ ἐστι κακία ἢ μετέχον κακίας· ἀδιάφορα δὲ τὰ τοιαῦτα· ζωήν, θάνατον, δόξαν, ἀδοξίαν, πόνον, ἡδονήν, πλοῦτον, πενίαν, νόσον, ὑγίειαν, καὶ τὰ τούτοις ὅμοια. Τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι ἀρετάς, τὰ δ' οὔ. Φρόνησιν μὲν οὖν καὶ σωφροσύνην καὶ ἀνδρείαν ἀρετάς· χαρὰν δὲ καὶ εὐφροσύνην καὶ θάρσος καὶ βούλησιν καὶ τὰ παραπλήσια οὐκ εἶναι ἀρετάς. Τῶν δ' ἀρετῶν τὰς μὲν ἐπιστήμας τινῶν καὶ τέχνας, τὰς δ' οὔ. Φρόνησιν μὲν οὖν καὶ σωφροσύνην καὶ ἀνδρείαν καὶ δικαιοσύνην ἐπιστήμας εἶναί τινων καὶ τέχνας· μεγαλοψυχίαν δὲ καὶ ῥώμην καὶ ἰσχὺν ψυχῆς οὔτ' ἐπιστήμας εἶναί τινων οὔτε τέχνας. Ἀνάλογον δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶναι κακίας, τὰ δ' οὔ. Ἀφροσύνην μὲν οὖν καὶ ἀκολασίαν καὶ ἀδικίαν καὶ δειλίαν καὶ μικροψυχίαν καὶ ἀδυναμίαν κακίας εἶναι· λύπην δὲ καὶ φόβον καὶ τὰ παραπλήσια οὐκ εἶναι κακίας. Τῶν δὲ κακιῶν τὰς μὲν εἶναι ἀγνοίας τινῶν, καὶ ἀτεχνίας, τὰς δ' οὔ. Ἀφροσύνην μὲν οὖν καὶ ἀκολασίαν καὶ ἀδικίαν καὶ δειλίαν ἀγνοίας εἶναί τινῶν καὶ ἀτεχνίας· μικροψυχίαν δὲ καὶ ἀδυναμίαν, οὔτε ἀγνοίας τινῶν οὔτε ἀτεχνίας. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν πᾶσι τοῖς φρονίμοις ὑπάρχειν, καὶ ἀεί, τὰ δὲ οὔ. Ἀρετὴν μὲν οὖν πᾶσαν καὶ φρονίμην αἴσθησιν,

---

tuntur, alia propter aliud. Ac per se quidem expetuntur, quæ non propter aliud quid sui cupidinem movent ac desiderium nobis incutiunt; qualia sunt verbi gratia felicitas, omne virtutum genus, corporis bona secundum naturam, ut sanitas, bonus habitus, sensuum vigor, pulchritudo, celeritas, membrorum integritas, robur atque alia his similia; voluptates corporis quoque nihil damni nobis afferentes. Siquidem hæc vir prudens per se, etiamsi nihil aliud inde consequatur, expetit. Propter aliud autem expetuntur, quæ propter aliud inde consequens sui cupiditate nos inflammant, ut ambulatio, exercitatio, disciplina, lectio, medicina, curatio, alimenta, tegumenta. Namque ex his nihil per se, sed tantum propter ea quæ offert expetitur.

Num omne honestum per se sit expetendum? Secundum Platonem quidem omne. Quippe et virtutem omnem et probum animi habitum earum singulis convenientem et functionem, quæ est actio cum ratione, eo refert. Appellatum certe est honestum sive *calon* quasi a calando, quod ad se vocet seu invitet. Aristoteli vero videtur, habitus non per se esse expetendos, sed propter aliud, functionem videlicet. Omnis enim habitus propter hanc est, ita ut ejus causa sint; hoc autem tantum per se expetendum est, quippe in quo substantia vel usus et finis vitæ consistat. At felicitatem hic ab usu appellat, Plato vero etiam a possessione. Et ille quidem ætate superior in Legibus, Timæo et aliis libris hæc percepit, Aristoteles autem in Ethicis.

Zenonis et reliquorum Stoicorum de morali philosophiæ parte placita.

Sed de morali philosophia deinceps conficiam commentarios, præcipua dogmata summatim explicans. Initium autem inde faciam: Ea *esse* dicit Zeno, quæ substantiam habent; ex his vero alia esse bona, alia mala, alia indifferentia. Ac bona quidem judicari prudentiam, justitiam, temperantiam, fortitudinem omnemque virtutem et quod particeps est virtutis; mala autem amentiam, intemperantiam, ignaviam, injustitiam et omne vitium et quod particeps vitii est: indifferentia vero vitam, mortem, gloriam, ignominiam, laborem, voluptatem, divitias, paupertatem, morbum, sanitatem et horum similia. Cæterum bonorum alia virtutes esse, alia non esse. Quippe prudentiam, temperantiam, fortitudinem virtutes esse; gaudium autem, lætitiam, audaciam, voluntatem et quæ his similia sunt non esse virtutes. Vir-

καὶ φρονίμην ὁρμήν, καὶ τὰ ὅμοια πᾶσι τοῖς φρονίμοις ὑπάρχειν, καὶ ἐν παντὶ καιρῷ· χαρὰν δὲ καὶ εὐφροσύνην καὶ φρονίμην περιπάτησιν [69], οὔτε πᾶσι τοῖς φρονίμοις ὑπάρχειν, οὔτ' ἀεί. Ἀνάλογον δὲ καὶ τῶν κακῶν, τὰ μὲν πᾶσι τοῖς ἄφροσιν ὑπάρχει καὶ ἀεί, τὰ δ' οὔ. Κακίαν μὲν οὖν πᾶσαν, καὶ ἄφρονα αἴσθησιν, καὶ ἄφρονα ὁρμήν, καὶ τὰ παραπλήσια, πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν καὶ ἀεί· λύπην δὲ καὶ φόβον καὶ ἄφρονα ἀπόχρισιν, οὔτε πᾶσι τοῖς ἄφροσιν ὑπάρχειν, οὔτε παντὶ καιρῷ. Πάντα δὲ τἀγαθὰ [70] ὠφέλιμα εἶναι καὶ χρηστά, καὶ συμφέροντα καὶ λυσιτελῆ, καὶ σπουδαῖα καὶ πρέποντα καὶ καλὰ καὶ οἰκεῖα· τὰ δὲ κακὰ ἐκ τῶν ἐναντίων πάντα βλαβερὰ καὶ δύσχρηστα καὶ ἀσύμφορα καὶ ἀλυσιτελῆ, καὶ φαῦλα καὶ ἀνοίκεια καὶ ἀπρεπῆ καὶ αἰσχρά. Τὸ δ' ἀγαθὸν [71] λέγεσθαί φασι πλεοναχῶς, τὸ μὲν πρῶτον, οἷον πηγῆς ἔχον χώραν, ὅπερ οὕτως ἀποδεδόσθαι, ἀφ' οὗ συμβαίνει ὠφελεῖσθαι, (τὸ δὲ πρῶτον εἶναι αἴτιον,) ἢ ὑφ' οὗ· τὸ δεύτερον, καθ' ὃ συμβαίνει ὠφελεῖσθαι· κοινότατον δὲ καὶ ἐπιδιατεῖνον καὶ ἐπὶ τὰ προειρημένα, τὸ οἷόν τε ὠφελεῖν. Ὁμοίως δὲ καὶ τὸ κακὸν κατὰ τὴν τῶν ἀγαθῶν ἀναλογίαν ὑπογράφεσθαι. Τὸ μὲν οὖν ἀφ' οὗ συμβαίνει βλάπτεσθαι ἢ ὑφ' οὗ· τὸ δὲ καθ' ὃ [72] συμβαίνει βλάπτεσθαι· κοινότερον δὲ τούτων τὸ οἷόν τε βλάπτειν. Τῶν δ' ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δ' ἐκτός [73], τὰ δ' οὔτε περὶ ψυχὴν οὔτ' ἐκτός. Περὶ ψυχὴν μὲν τὰς ἀρετὰς καὶ σπουδαίας ἕξεις, καὶ καθόλου τὰς ἐπαινετὰς ἐνεργείας· ἐκτὸς δὲ τούς τε φίλους καὶ τοὺς γνωρίμους καὶ τὰ παραπλήσια· οὔτε δὲ περὶ ψυχὴν οὔτ' ἐκτός, τοὺς σπουδαίους καὶ καθόλου τοὺς τὰς ἀρετὰς ἔχοντας. Ὁμοίως δὲ καὶ τῶν κακῶν τὰ μὲν περὶ ψυχήν, τὰ δ' ἐκτός, τὰ δὲ οὔτε περὶ ψυχὴν οὔτ' ἐκτός. Περὶ ψυχὴν μὲν τάς τε κακίας σὺν ταῖς μοχθηραῖς ἕξεσι, καὶ καθόλου τὰς ψεκτὰς ἐνεργείας· ἐκτὸς δὲ τοὺς ἐχθροὺς σὺν τοῖς εἴδεσιν· οὔτε περὶ ψυχὴν οὔτ' ἐκτὸς τοὺς φαύλους καὶ πάντας τοὺς τὰς κακίας ἔχοντας. Τῶν δὲ περὶ ψυχὴν ἀγαθῶν τὰ μὲν εἶναι ἕξεις [74], τὰ δὲ διαθέσεις, τὰ δὲ ἕξεις μὲν διαθέσεις δ' οὔ, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις. Διαθέσεις μέν, τὰς ἀρετὰς πάσας, ἕξεις δὲ μόνον καὶ οὗ διαθέσεις, τὰ ἐπιτηδεύματα, ὡς τὴν μαντικήν, καὶ τὰ παραπλήσια· οὔτε δὲ ἕξεις οὔτε διαθέσεις, τὰς κατ' αὐτὰς ἐνεργείας, οἷον φρόνησιν, καὶ τὴν τῆς σωφροσύνης κτῆσιν καὶ τὰ παραπλήσια. Ὁμοίως δὲ καὶ τῶν περὶ ψυχὴν κακῶν τὰ μὲν εἶναι ἕξεις τὰ δὲ διαθέσεις [75], τὰ δ' ἕξεις μὲν διαθέσεις δ' οὔ, τὰ δὲ οὔτε ἕξεις οὔτε διαθέσεις. Διαθέσεις μὲν τὰς κακίας πάσας, ἕξεις δὲ μόνον τάς γ' εὐκαταφορίας [76], οἷον τὴν φθονερίαν, τὴν ἐπιλυπίαν καὶ τὰ ὅμοια, καὶ ἔτι τὰ νοσήματα καὶ ἀῤῥωστήματα, οἷον φιλαργυρίαν, οἰνοφλυγίαν καὶ τὰ παραπλήσια.

---

tutes vero alias esse doctrinas atque artes, alias non esse. Prudentiam videlicet, temperantiam, fortitudinem, justitiam doctrinas atque artes esse; animi autem magnitudinem, robur et vim neque disciplinam neque artes esse. Pari porro ratione malorum alia vitia esse, alia non esse. Amentiam scilicet, intemperantiam, injustitiam, ignaviam, animi contractionem et imbecillitatem vitia esse; at dolorem, metum et similia non esse vitia. Vitiorum quoque alia inscitias rerum esse et imperitias, alia non esse. Nimirum amentiam et intemperantiam, injustitiam et ignaviam rerum quarundam inscitias esse atque imperitias. At animi contractionem et imbecillitatem neque inscitias esse neque imperitias. Præterea bona alia omnibus prudentibus contingere semperque præsto esse, alia non adesse. Nempe virtutem omnem, sensum sanum, appetitionem prudentem ac similia prudentibus contingere atque omni tempore præsto esse; gaudium autem ac lætitiam scitumque sermonem inter ambulandum habitum neque omnibus prudentibus contingere neque semper. Pari insuper ratione mala alia omnibus amentibus accidere semperque obvenire, alia non item. Vitium enim omne, sensum insanum, appetitionem imprudentem ac similia insipientibus omnibus congruere semperque tribui; dolorem autem, metum ac responsum imprudens neque omnibus imprudentibus neque omni tempori convenire. Ad hoc omnia bona utilia esse, commoda, conducibilia, fructuosa, proba, decora, honesta et cognata; mala contra omnia noxia incommoda, inutilia, infructuosa, prava, aliena, indecora ac turpia. Bonum vero pluribus modis dici ajunt, primum illud quasi fontis vicem obtinens quod ita definiunt, esse causam vel principium, unde vel ex quo utilitas percipiatur, deinde illud, secundum quod utilitas capiatur; denique istud quod latissime patet ac simul priores duas species quarum mentio facta est complectitur, quod potest prodesse. Similiter etiam malum describi ad bonorum analogiam. Primum illud a quo vel per quod aliis detrimentum importatur, deinde illud, secundum quod detrimentum infertur, denique istud unum omnium latissime patens quod potest nocere. Bona porro alia circa animum esse, alia extra animum, alia neutro in loco esse. Circa animum quidem virtutes et probos habitus omninoque laudabiles functiones; extra animum vero amicos, familiares et similia; neutro in loco autem homines probos atque in universum virtute præditos. Similiter etiam mala alia in animo cerni, alia extra animum, alia neutro in loco. Circa animum esse vitia, malos habitus atque in universum reprehendendas functiones; extra animum autem inimicos varii generis; neutro in loco vero improbos et quicunque vitiis contaminati sunt. Ad hæc animi bonorum alia esse habitus, alia affectiones, alia habitus quidem sed non affectiones, alia neque habitus neque affectiones. Affectiones quidem, omnes virtutes; habitus vero solum ac non affectiones, studia, ut divinationem et similia; neque habitus denique neque affectiones, functiones per se, ut prudentiam, temperantiam possessionem et similia. Similiter etiam ex malis circa

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Οὔθ' ἕξεις οὔτε διαθέσεις τὰς κατὰ κακίας ἐνεργείας, οἷον ἀφρόνευσιν, ἀδίκευσιν, καὶ τὰ ταύταις παραπλήσια. Τῶν τε ἀγαθῶν τὰ μὲν εἶναι τελικὰ τὰ δὲ ποιητικά, τὰ δὲ ἀμφοτέρως ἔχοντα [77]. Ὁ μὲν οὖν φρόνιμος ἄνθρωπος καὶ ὁ φίλος ποιητικὰ μόνον ἐστὶν ἀγαθά· χαρὰ δὲ καὶ εὐφροσύνη καὶ θάρσος, καὶ φρονίμη περιπάτησις, τελικὰ μόνον ἐστὶν ἀγαθά· αἱ δ' ἀρεταὶ πᾶσαι καὶ ποιητικά ἐστιν ἀγαθὰ καὶ τελικά, καὶ γὰρ ἀπογεννῶσι τὴν εὐδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς γινόμενα. Ἀνάλογον δὲ καὶ τῶν κακῶν τὰ μέν ἐστι ποιητικὰ τῆς κακοδαιμονίας, τὰ δὲ τελικά, τὰ δὲ ἀμφοτέρως ἔχοντα. Ὁ μὲν οὖν ἄφρων ἄνθρωπος καὶ ὁ ἐχθρὸς ποιητικὰ μόνον ἐστὶ κακά, λύπη δὲ καὶ φόβος καὶ κλοπὴ καὶ ἄφρων ἐρώτησις καὶ τὰ ὅμοια τελικά· αἱ δὲ κακίαι καὶ ποιητικὰ καὶ τελικά ἐστι κακά· ἀπογεννῶσι γὰρ τὴν κακοδαιμονίαν καὶ συμπληροῦσι, μέρη αὐτῆς γινόμενα.

Φρόνησιν [78] δ' εἶναι ἐπιστήμην ὧν ποιητέον καὶ οὐ ποιητέον καὶ οὐδετέρων, ἢ ἐπιστήμην ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, φύσει πολιτικοῦ ζώου [79], καὶ ἐπὶ τῶν λοιπῶν δὲ ἀρετῶν οὕτως ἀκούειν παραγγέλλουσι. Σωφροσύνην δ' εἶναι ἐπιστήμην αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων· δικαιοσύνην δὲ ἐπιστήμην ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ· ἀνδρείαν δὲ ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων. Ἀφροσύνην δὲ ἄγνοιαν ἀγαθῶν καὶ κακῶν καὶ οὐδετέρων, ἢ ἄγνοιαν ὧν ποιητέον ἢ οὐ ποιητέον, ἢ οὐδετέρων. Ἀκολασίαν δὲ ἄγνοιαν αἱρετῶν καὶ φευκτῶν καὶ οὐδετέρων. Ἀδικίαν [80] δὲ ἄγνοιαν μὴ ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ. Δειλίαν δὲ ἄγνοιαν δεινῶν καὶ οὐ δεινῶν καὶ οὐδετέρων. Παραπλησίως δὲ καὶ τὰς ἄλλας ἀρετὰς καὶ κακίας ὁρίζονται, τῶν εἰρημένων ἐχόμενοι [81]. Κοινότερον δὲ τὴν ἀρετὴν διάθεσιν εἶναί φασι ψυχῆς σύμφωνον αὐτῇ περὶ ὅλον τὸν βίον. Τῶν δ' ἀρετῶν τὰς μὲν εἶναι πρώτας, τὰς δὲ ταῖς πρώταις ὑποτεταγμένας. Πρώτας δὲ τέτταρας εἶναι, φρόνησιν, σωφροσύνην, ἀνδρείαν καὶ δικαιοσύνην. Καὶ τὴν μὲν φρόνησιν περὶ τὰ καθήκοντα γίγνεσθαι· τὴν δὲ σωφροσύνην περὶ τὰς ὁρμὰς τοῦ ἀνθρώπου· τὴν δὲ ἀνδρείαν περὶ τὰς ὑπομονάς· τὴν δὲ δικαιοσύνην περὶ τὰς ἀπονεμήσεις. Τῶν δὲ ὑποτεταγμένων [82] ταῖς ἀρεταῖς ταύταις τὰς μὲν τῇ φρονήσει ὑποτετάχθαι, τὰς δὲ τῇ σωφροσύνῃ, τὰς δὲ τῇ ἀνδρείᾳ, τὰς δὲ τῇ δικαιοσύνῃ. Τῇ μὲν οὖν φρονήσει ὑποτάττεσθαι εὐβουλίαν, εὐλογιστίαν, ἀγχίνοιαν, νουνέχειαν, εὐμηχανίαν· τῇ δὲ σωφροσύνῃ εὐταξίαν, κοσμιότητα, αἰδημοσύνην, ἐγκράτειαν· τῇ δὲ ἀνδρείᾳ καρτερίαν, θαῤῥαλεότητα, μεγαλοψυχίαν, εὐψυχίαν, φιλοπονίαν· τῇ δὲ δικαιοσύνῃ εὐσέβειαν, χρηστότητα, εὐκοινωνησίαν, εὐσυναλλαξίαν. Εὐβουλίαν μὲν οὖν εἶναι λέγουσιν ἐπιστήμην τοῦ ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως. Εὐλογιστίαν δὲ ἐπιστήμην ἅμα διαιρετικὴν καὶ ἀνακεφαλαιωτικὴν [83] τῶν γιγνομένων καὶ ἀποτελουμένων. Ἀγχίνοιαν δὲ ἐπιστήμην εὑρετικὴν τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα. Νουνέχειαν δὲ ἐπιστήμην ἐπιτευκτικὴν τοῦ ἐν ἑκάστῳ σκοποῦ. Εὐμηχανίαν δὲ ἐπιστήμην εὑρετικὴν διεξόδου πραγμάτων. Εὐταξίαν δὲ ἐπιστήμην τοῦ πότε πρακτέον, καὶ τί μετὰ τί, καὶ καθόλου τῆς τάξεως τῶν πράξεων. Κοσμιότητα δὲ ἐπιστήμην πρεπουσῶν καὶ ἀπρεπῶν κινήσεων. Αἰδημοσύνην δὲ ἐπιστήμην εὐλαβητικὴν ὀρθοῦ ψόγου. Ἐγκράτειαν δὲ ἐπιστήμην ἀνυπέρβλητον τῶν κατὰ τὸν ὀρθὸν λόγον φανέντων. Καρτερίαν δὲ ἐπιστήμην ἐμμενητικὴν τοῖς ὀρθῶς κριθεῖσι. Θαῤῥα-

---

animum alia esse habitus, alia affectiones, alia habitus quidem sed non affectiones, alia neque habitus neque affectiones. Affectiones quidem esse vitia omnia, habitus vero tantum animi inclinationes, ut invidentiam et mœstitiam et similia, morbos præterea et ægrotationes, ut pecuniæ cupiditatem, vinolentiam atque alia ejusmodi. At neque habitus neque affectiones esse functiones vitiosas, ut imprudentiam, injuste factum atque his similia. Bona præterea alia esse ad finem pertinentia, alia efficientia, alia utriusque generis. Etenim vir prudens et amicus efficientia duntaxat bona sunt; gaudium vero et lætitia et confidentia ac sermo scitus inter ambulandum habitus ad finem tantum pertinentia sunt bona; sed virtutes omnes tum efficientia sunt bona tum ad finem pertinentia, quia simul felicitatem gignunt, simul partes ejus factæ illam explent. Pari etiam ratione malorum alia infelicitatis efficientia sunt, alia ad finem pertinentia, alia utriusque generis. Quippe homo demens et inimicus mala tantum efficientia sunt, dolor autem et metus et furtum et stulta interrogatio et similia ad finem pertinentia sunt; sed vitia qua efficientia qua ad finem pertinentia mala sunt, propterea quod cum infelicitatem gignunt, tum postquam ejus partes evaserunt, illam explent.

Prudentiam esse scientiam faciendorum et non faciendorum et neutrorum, vel scientiam bonorum et malorum et neutrorum animalis naturâ civilis, idque etiam de cæteris virtutibus intelligi volunt. Temperantiam esse scientiam expetendorum et fugiendorum et neutrorum; justitiam vero scientiam suum cuique tribuentem; fortitudinem autem scientiam metuendorum et non metuendorum et neutrorum. Similiter amentiam esse inscitiam bonorum et malorum et neutrorum, vel ignorantiam faciendorum et non faciendorum et neutrorum. Sed intemperantiam esse inscitiam expetendorum et fugiendorum et neutrorum. Contra injustitiam esse ignorantiam suum cuique denegantem. Ignaviam vero inscitiam metuendorum ac non metuendorum et neutrorum. Eodem prope modo reliqua etiam virtutum vitiorumque genera prædictis adhærescentes definiunt. Communius autem virtutem esse dicunt animi affectionem secum per totam vitam consentientem. Virtutes porro alias primas ponunt, alias primis subjectas. Primas quidem quatuor, prudentiam, temperantiam, for-

ότητα δὲ ἐπιστήμην καθ' ἣν οἴδαμεν ὅτι οὐδενὶ
νῷ μὴ περιπέσωμεν. Μεγαλοψυχίαν δὲ ἐπιστή-
ν [84] ὑπεράνω ποιοῦσαν τῶν πεφυκότων ἐν σπουδαίοις
γίγνεσθαι καὶ φαύλοις. Εὐψυχίαν δὲ ἐπιστήμην
χῆς παρεχομένης ἑαυτὴν ἀήττητον. Φιλοπονίαν
ἐπιστήμην ἐξεργαστικὴν τοῦ προκειμένου, οὐ κω-
μένην διὰ πόνου. Εὐσέβειαν δὲ ἐπιστήμην θεῶν
παπείας. Χρηστότητα δὲ ἐπιστήμην εὐποιητικήν.
κοινωνησίαν δὲ ἐπιστήμην ἰσότητος ἐν κοινωνίᾳ.
συναλλαξίαν δὲ ἐπιστήμην ἐν τῷ συναλλάττειν
ἔμπτως τοῖς πλησίον. Πασῶν δὲ τούτων τῶν ἀρε-
ν τὸ τέλος εἶναι, τὸ ἀκολούθως τῇ φύσει ζῆν.
τάστην δὲ τούτου διὰ τῶν ἰδίων παρέχεσθαι τυγχά-
τα τὸν ἄνθρωπον. Ἔχειν γὰρ ἀφορμὰς παρὰ τῆς
σεως, καὶ πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν, καὶ
ὸς τὴν τῶν ὁρμῶν εὐστάθειαν, καὶ πρὸς τὰς ὑπομο-
, καὶ πρὸς τὰς ἀπονεμήσεις κατὰ τὸ σύμφωνον [85].
ὶ τὸ ἑξῆς ἑκάστη τῶν ἀρετῶν πράττουσα παρέχεται
ἄνθρωπον ἀκολούθως τῇ φύσει ζῶντα. Ταύτας
οὖν τὰς ῥηθείσας ἀρετὰς τελείας εἶναι λέγουσι περὶ
βίον, καὶ συνεστηκέναι ἐκ θεωρημάτων· ἄλλας δὲ
γίγνεσθαι ταύταις, οὐκ ἔτι τέχνας οὔσας, ἀλλὰ δυ-
νάμεις τινάς, ἐπὶ τῆς ἀσκήσεως περιγιγνομένας, οἷον
τὴν ὑγίειαν τῆς ψυχῆς, καὶ τὴν ἀρτιότητα, καὶ τὴν
ἰσχὺν αὐτῆς, καὶ τὸ κάλλος. Ὥσπερ γὰρ τὴν τοῦ
σώματος [86] ὑγίειαν εὐκρασίαν εἶναι τῶν ἐν τῷ σώματι
θερμῶν καὶ ψυχρῶν, καὶ ξηρῶν καὶ ὑγρῶν, οὕτω καὶ
τὴν τῆς ψυχῆς ὑγίειαν εὐκρασίαν εἶναι τῶν ἐν τῇ ψυχῇ
δογμάτων. Καὶ ὁμοίως ὥσπερ ἡ ἰσχὺς τοῦ σώματος
τόνος ἐστὶν ἱκανὸς ἐν νεύροις, οὕτω καὶ ἡ τῆς ψυχῆς
ἰσχὺς τόνος ἐστὶν ἱκανὸς ἐν τῷ κρίνειν καὶ πράττειν
καὶ μή. Ὥσπερ τε τὸ κάλλος τοῦ σώματός ἐστι
συμμετρία τῶν μελῶν καθιστάντων αὐτὸ [87] πρὸς ἄλ-
ληλά τε καὶ πρὸς τὸ ὅλον, οὕτω καὶ τὸ τῆς ψυχῆς κάλ-
λος ἐστὶ συμμετρία τοῦ λόγου καὶ τῶν μελῶν αὐτοῦ
πρὸς τὸ ὅλον τε αὐτοῦ [88] καὶ πρὸς ἄλληλα. Πάσας
δὲ τὰς ἀρετάς, ὅσαι ἐπιστῆμαί εἰσι καὶ τέχναι, κοινά
τε θεωρήματα ἔχειν, καὶ τέλος, ὡς εἴρηται, τὸ αὐτό,
διὸ καὶ ἀχωρίστους εἶναι· τὸν γὰρ μίαν ἔχοντα πάσας
ἔχειν, καὶ τὸν κατὰ μίαν πράττοντα, κατὰ πάσας
πράττειν. Διαφέρειν δ' ἀλλήλων καὶ τοῖς κεφαλαίοις.
Φρονήσεως μὲν γὰρ εἶναι κεφάλαια τὸ μὲν θεωρεῖν
καὶ πράττειν, ὃ ποιητέον, προηγουμένως. Κατὰ δὲ
τὸν δεύτερον λόγον, τὸ θεωρεῖν καὶ ἃ δεῖ ἀπονέμειν,

---

dinem, justitiam. Ac prudentiam quidem circa officia
sari; temperantiam circa appetitus hominis; fortitudi-
n circa resistendi vim; justitiam circa distributiones.
jectarum vero hisce virtutibus alias subjectas esse
dentiæ, alias temperantiæ, alias fortitudini, alias ju-
æ. Et prudentiæ quidem subjici consilii maturitatem,
spicacitatem, sagacitatem, sollertiam, industriam:
perantiæ autem ordinis studium, decentiam, verecun-
m, continentiam: fortitudini vero constantiam, confi-
tiam, magnanimitatem, æquanimitatem, sedulitatem:
iliæ denique pietatem, integritatem, affabilitatem,
nitatem. Cæterum consilii maturitatem esse dicunt
ntiam utilitatis in rebus gerendis comparandæ; per-
acitatem, scientiam rerum eventus simul singulatim
ue in universum investigandi; sagacitatem, scientiam
im inveniendi officii; sollertiam, scientiam in una-
que re ad propositum finem perveniendi; industriam,
ntiam rerum exitum inveniendi. Porro ordinis stu-
m scientiam temporis rerum gerendarum earumque
inis; at decentiam, peritiam honestarum ac turpium
nmotionum; verecundiam, scientiam vitandæ justæ
perationis; continentiam, plenam rerum rectæ rationi
gruentium cognitionem. Præterea constantiam, sci-
am in recto judicio permanendi; confidentiam, scien-
n qua nihil adversi nobis eventurum confidimus; ma-
nimitatem, scientiam quæ animos cuncta tam in rebus
sperisquam in adversis accidere solita contemnentes
it; æquanimitatem, scientiam animi se invictum præ-
itis; sedulitatem, scientiam peragendi propositi, labore
deterritam. Denique pietatem, scientiam cultus
rum; integritatem, scientiam recte faciendi; affa-

bilitatem, scientiam æqualitatis in vitæ societate; comi-
tatem, scientiam honeste cum aliis contrahendi. Atque
harum virtutum omnium finem esse, naturæ conve-
nienter vivere. Sed earum unamquamque sua ope
hominem ejus rei participem facere, præsertim quum a
natura habeat adjumenta tum ad officii inventionem, tum
ad appetitionum constantiam, tum ad resistendi vim, tum
ad distributiones secundum concentum a natura constitu-
tum. Quin etiam singulæ virtutes ea quæ ipsis consentanea
sunt efficientes eo valent ut homo naturæ convenienter
vivat. Has igitur quas memoravimus virtutes perfectas in
hominum vita esse dicunt ac præceptis constare; alias au-
tem his subjungi, non artes, sed facultates quas exercitio
consequimur, ut animi sanitatem, integritatem, robur et
pulchritudinem. Quemadmodum enim corporis sanitas na-
turalis sit temperatio eorum quæ in corpore reperiuntur
calidorum, frigidorum, siccorum et humidorum: sic
animi sanitatem salubre esse decretorum temperamentum;
ac sicut corporis robur sufficiens nervorum sit contentio,
ita animi vim sufficientem esse ad judicandum et agendum,
vel minus, contentionem; et quomodo corporis pulchritudo
membrorum e quibus conflatum est inter se et cum toto
sit congruentia, sic animi quoque pulchritudinem rationis
partiumque ejus inter se et cum toto esse congruentiam.
Omnes porro virtutes, quæcumque doctrinæ sint et artes,
præcepta habere communia et finem, ut dictum est, eun-
dem, ideoque inseparabiles esse, quum homo una præditus
omnes habeat, ut unius cultor omnes colat. Veruntamen
et capitibus inter se differre. Prudentiæ enim capita esse
primum res gerendas contemplari et agere, deinde
etiam considerare quæ tribuenda aliis sint ad offensiones

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χάριν τοῦ ἀδιαπτώτως πράττειν ὁ ποιητέον. Τῆς δὲ σωφροσύνης ἴδιον κεφάλαιόν ἐστι, τὸ παρέχεσθαι τὰς ὁρμὰς εὐσταθεῖς, καὶ θεωρεῖν αὐτὰς προηγουμένως· κατὰ δὲ τὸν δεύτερον λόγον, τὰ ὑπὸ τὰς ἄλλας ἀρετάς, ἕνεκα τοῦ ἀδιαπτώτως ἐν ταῖς ὁρμαῖς ἀναστρέφεσθαι. Καὶ ὁμοίως τὴν ἀνδρείαν προηγουμένως μὲν πᾶν ὃ δεῖ ὑπομένειν, κατὰ δὲ τὸν δεύτερον λόγον τὰ ὑπὸ τὰς ἄλλας. Καὶ τὴν δικαιοσύνην, προηγουμένως μὲν τὸ κατ' ἀξίαν ἑκάστῳ σκοπεῖν, κατὰ δὲ τὸν δεύτερον λόγον καὶ τὰ λοιπά. Πάσας γὰρ τὰς ἀρετὰς τὰ πασῶν βλέπειν, καὶ τὰ ὑποτεταγμένα ἀλλήλοις. Ὅμοιον γὰρ ἔλεγεν εἶναι ὁ Παναίτιος τὸ συμβαῖνον ἐπὶ τῶν ἀρετῶν, ὡς εἰ πολλοῖς τοξόταις εἷς σκοπὸς εἴη κείμενος, ἔχοι δ' οὗτος ἐν αὐτῷ γραμμὰς διαφόρους τοῖς χρώμασιν· εἶθ' ἕκαστος μὲν στοχάζοιτο τοῦ τυχεῖν τοῦ σκοποῦ, ἥδη δ' ὁ μὲν διὰ τὸ τοξεῦσαι [89] εἰς τὴν λευκὴν εἰ τύχοι γραμμήν, ὁ δὲ διὰ τὸ εἰς τὴν μέλαιναν, ἄλλος δὲ διὰ τὸ εἰς ἄλλο τι χρῶμα γραμμῆς· καθάπερ γὰρ τούτους ὡς μὲν ἀνωτάτω τέλος ποιεῖσθαι τὸ τυχεῖν τοῦ σκοποῦ, ἤδη δ' ἄλλον κατ' ἄλλον τρόπον προτίθεσθαι τὴν τεῦξιν, τὸν αὐτὸν τρόπον καὶ τὰς ἀρετὰς πάσας ποιεῖσθαι μὲν τέλος τὸ εὐδαιμονεῖν, ὅ ἐστι κείμενον ἐν τῷ ζῆν ὁμολογουμένως τῇ φύσει, τούτου δ' ἄλλον κατ' ἄλλην [90] τυγχάνειν. Διττῶς δέ φησιν ὁ Διογένης [91] λέγεσθαι τὰ δι' αὐτὰ αἱρετά, καὶ τελικῶς αἱρετά, ὡς ἔχει τὰ μὲν ἐν τῇ προειρημένῃ διαιρέσει κατατεταγμένα, τὰ δὲ ὅσα ἐν αὐτοῖς ἔχει τὴν αἰτίαν τοῦ αἱρετὰ εἶναι, ὅπερ παντὶ ἀγαθῷ ὑπάρχει.

Ἀρετὰς δ' εἶναι πλείους φασὶ καὶ ἀχωρίστους ἀπ' ἀλλήλων, καὶ τὰς αὐτὰς τῷ ἡγεμονικῷ μέρει τῆς ψυχῆς καθ' ὑπόστασιν, καθὸ δὴ καὶ σῶμα πᾶσαν ἀρετὴν εἶναί τε καὶ λέγεσθαι [92], τὴν γὰρ διάνοιαν καὶ τὴν ψυχὴν σῶμα εἶναι· τὸ γὰρ συμφυὲς πνεῦμα ἡμῖν ἔνθερμον ὄν, ψυχὴν [93] ἡγοῦνται. Βούλονται δὲ καὶ τὴν ἐν ἡμῖν ψυχὴν ζῷον εἶναι, ζῆν τε γὰρ καὶ αἰσθάνεσθαι· καὶ μάλιστα τὸ ἡγεμονικὸν μέρος αὐτῆς, ὃ δὴ καλεῖται διάνοια. Διὸ καὶ πᾶσαν ἀρετὴν ζῷον εἶναι, ἐπειδὴ ἡ αὐτὴ διανοία ἐστὶ κατὰ τὴν οὐσίαν. Κατὰ τοῦτο γάρ φασι καὶ τὴν φρόνησιν φρονεῖν, ἀκολουθεῖ γὰρ αὐτοῖς τὸ οὕτως λέγειν. Ἀρετῆς δὲ καὶ κακίας οὐδὲν εἶναι μεταξύ. Πάντας γὰρ ἀνθρώπους ἀφορμὰς ἔχειν ἐκ φύσεως πρὸς ἀρετήν, καὶ οἱονεὶ τὸν τῶν ἡμιάμβων [94] λόγον ἔχειν κατὰ τὸν Κλεάνθην, ὅθεν ἀτελεῖς μὲν ὄντας εἶναι φαύλους, τελειωθέντας δὲ σπουδαίους. Φασὶ δὲ καὶ πάντα ποιεῖν τὸν σοφὸν κατὰ πάσας τὰς ἀρετάς. Πᾶσαν γὰρ πρᾶξιν τελείαν αὐτοῦ εἶναι, διὸ καὶ μηδεμιᾶς ἀπολελεῖφθαι ἀρετῆς. Ἀκολούθως γὰρ τούτοις δογματίζουσι, καὶ ὅτι ὁ νοῦν ἔχων καὶ διαλεκτικῶς [95] ποιεῖ, καὶ συμποτικῶς καὶ ἐρωτικῶς. Τὸν δὲ ἐρωτικὸν καὶ διχῇ λέγεσθαι, τὸν μὲν κατὰ τὴν ἀρετὴν ποιόν, σπουδαῖον ὄντα, τὸν δὲ κατὰ κακίαν, ἐν ψόγῳ ὡς ἐρωτομανοῦντα. Ἔτι δ' ἔρωτα τόν γ' ἀξιέραστον ὁμοίως λέγεσθαι τῷ ἀξιοφιλήτῳ, καὶ οὕτως ἀξιαπολαύστῳ. Τὸν γὰρ ἄξιον σπουδαίου ἔρωτος, τοῦτον εἶναι ἀξιέραστον. Ὁμοίως δὲ τῇ ἐρωτικῇ τὴν συμποτικὴν παραλαμβάνουσιν εἰς τὰς ἀρετάς, τὴν μὲν περὶ

---

in rebus gerendis vitandas. Temperantiæ autem proprium esse caput, primum appetitus constantes reddere eosque contemplari, deinde ad vitandas appetituum offensiones reliquarum quoque virtutum naturam considerare. Similiter fortitudinis esse primum ea omnia quæ ferenda sunt circumspicere, deinde reliquas virtutes intueri. Justitiæ denique esse uniuscujusque dignitatem primum spectare, deinde etiam reliqua. Nimirum omnium virtutum esse, reliquas quoque cum iis quæ singulis subjecta sunt considerare. Nam simile quid contendit Panætius virtutibus evenire, ac si multis sagittariis idem proponatur scopus qui variorum colorum lineas contineat; deinde singuli quidem studeant scopum ferire, sed alius albam, prout acciderit, lineam, alius nigram, alius denique aliam sagittis petat. Quemadmodum enim hi supremum quidem finem ponunt in scopo feriendo, alius vero alium feriendi ejus modum sibi statuat: sic virtutes quoque omnes finem habere beatitudinem, quæ in vita naturæ convenienter acta consistat, hanc autem alios aliis assequi modis. Dupliciter autem ait Diogenes per se expetenda et propter finem expetenda dici, qualia sunt quæ partim in superiore divisione perscripta reperiuntur, partim in se causam expetendi habent, quæ res in omni bono cernitur.

Virtutes autem plures esse dicunt easque inseparabili societate inter se jungi atque eandem habere cum principe animi parte substantiam, quatenus omnis quoque virtus corpus et sit et appelletur, mentem enim et animum corporea esse: nam calidum spiritum nobis ingeneratum, animum esse arbitrantur. Præterea animum qui in nobis est animal esse volunt, quia vivat ac sentiat, maxime vero partem ejus principem quæ mens vocatur. Quamobrem omnem virtutem esse animal, propterea quod eandem habeat cum mente substantiam. Sic igitur prudentiam quoque sapere dicunt, quoniam eos ita dicere consentaneum est. Inter virtutem autem et vitium nihil esse medium. Omnes enim homines natura ad virtutem ferri et quasi dimidiorum iamborum instar obtinere secundum Cleanthem, ideoque imperfectos quidem improbos, perfectos autem probos esse. Sapientem quoque ajunt cuncta ita facere ut omnes virtutes colat. Quum enim omnis ejus actio perfecta sit, nulla eam virtute esse destitutam. His enim convenienter tradunt prudentem in disputando etiam, in compotatione atque in amore agere. Amantem vero bifariam dici, vel virtutis beneficio certo quodam modo affectum atque hanc ob causam probum, vel vitii turpitudine, et idcirco vituperandum, quasi insano amore captum. Amorem porro dignum quem ames similiter dici atque amabilem ideoque dignum quo fruaris. Nam qui probo amore dignus sit, eum omnino dignum esse quem ames. Cæterum ut amandi, item convivandi

τὸ ἐν συμποσίῳ καθῆκον ἀναστρεφομένην ἐπιστήμην οὖσαν τοῦ πῶς δεῖ ἐξάγεσθαι τὰ συμπόσια, καὶ τοῦ πῶς δεῖ συμπίνειν· τὴν δ' ἐπιστήμην νέων θήρας εὐφυῶν πρὸς τρέψιν οὖσαν τὴν ἐπ' ἀρετήν [96], καὶ καθόλου ἐπιστήμην τοῦ καλῶς ἐρᾶν· διὸ καί φασιν ἐρασθήσεσθαι [97] τὸν νοῦν ἔχοντα. Τὸ δὲ ἐρᾶν αὐτὸ μόνον ἀδιάφορον εἶναι, ἐπειδὴ γίγνεταί ποτε καὶ περὶ φαύλους. Τὸν δὲ ἔρωτα οὔτε ἐπιθυμίαν εἶναι, οὔτε τινὸς φαύλου πράγματος, ἀλλ' ἐπιβολὴν φιλοποιΐας [98] διὰ κάλλους ἔμφασιν. Λέγουσι δὲ καὶ πάντ' εὖ ποιεῖν τὸν σοφόν, ἃ ποιεῖ [99] δηλονότι. Ὃν τρόπον γὰρ λέγομεν πάντ' εὖ ποιεῖν τὸν αὐλητήν, ἢ κιθαρῳδόν, ὑπακουομένου τοῦ ὅτι τὰ μὲν κατὰ τὴν αὔλησιν, τὰ δὲ κατὰ τὴν κιθαρῳδίαν, τὸν αὐτὸν τρόπον πάντα [100] εὖ ποιεῖν τὸν φρόνιμον, καὶ ὅσα ποιεῖ, καὶ οὐ μὰ Δία καὶ ἃ μὴ ποιεῖ. Τῷ [101] γὰρ κατὰ λόγον ὀρθὸν ἐπιτελεῖν πάντα, καὶ οἷον κατ' ἀρετήν, περὶ ὅλον οὖσαν τὸν βίον τέχνην, ἀκόλουθον ᾠήθησαν τὸ [102] περὶ τοῦ πάντ' εὖ ποιεῖν τὸν σοφὸν δόγμα. Κατὰ τὸ ἀνάλογον δὲ καὶ τὸν φαῦλον πάντα ὅσα ποιεῖ κακῶς ποιεῖν, καὶ κατὰ πάσας τὰς κακίας. Φιλομουσίαν δὲ καὶ φιλογραμματίαν καὶ φιλιππίαν καὶ φιλοκυνηγίαν, καὶ καθόλου τὰς ἐγκυκλίους λεγομένας τέχνας ἐπιτηδεύματα μὲν καλοῦσιν, ἐπιστήμας δ' οὔ, ἔν τε ταῖς σπουδαίαις ἕξεσι ταῦτα καταριθμοῦσι [103], καὶ ἀκολούθως μόνον τὸν σοφὸν φιλόμουσον εἶναι λέγουσι, καὶ φιλογράμματον, καὶ ἐπὶ τῶν ἄλλων κατὰ τὸ ἀνάλογον. Τό τε ἐπιτήδευμα τοῦτον περιγράφουσι [104] τὸν τρόπον, ὁδὸν διὰ τέχνης ἡμέρου ἄγουσαν ἐπ' ἀρετήν [105]. Μόνον δέ φασι τὸν σοφὸν καὶ μάντιν ἀγαθὸν εἶναι, καὶ ποιητὴν καὶ ῥήτορα, καὶ διαλεκτικόν, καὶ κριτικόν, οὐ πάντα δέ, διὰ τὸ προσδεῖσθαι εἴς τινα τούτων καὶ θεωρημάτων τινῶν ἀναλήψεως. Εἶναι δὲ τὴν μαντικὴν φασιν ἐπιστήμην θεωρηματικὴν σημείων τῶν ἀπὸ θεῶν ἢ δαιμόνων πρὸς ἀνθρώπινον βίον συντεινόντων. Ὁμοίως δὲ καὶ τὰ εἴδη τῆς μαντικῆς. Λέγουσι δὲ καὶ ἱερέα μόνον εἶναι τὸν σοφόν, φαῦλον δὲ μηδένα. Τὸν γὰρ ἱερέα εἶναι [106] δεῖν ἔμπειρον νόμων τῶν περὶ θυσίας, καὶ εὐχάς, καὶ καθαρμούς, καὶ ἱδρύσεις, καὶ πάντα τὰ τοιαῦτα, πρὸς δὲ τούτοις καὶ ἄλλων, διά τε τὸ εὐσεβείας δεῖσθαι καὶ ἐμπειρίας τῆς τῶν θεῶν θεραπείας, καὶ ἐντὸς εἶναι τῆς φύσεως τῆς θείας. Μηδενὶ δέ τι τούτων ὑπάρχειν τῶν φαύλων, διὸ καὶ πάντας εἶναι τοὺς ἄφρονας ἀσεβεῖς. Τὴν γὰρ ἀσέβειαν κακίαν οὖσαν, ἄγνοιαν εἶναι θεῶν θεραπείας, τὴν δ' εὐσέβειαν, ὡς εἴπομεν, ἐπιστήμην θεῶν θεραπείας. Ὁμοίως δὲ μηδ' ὁσίους εἶναί φασι τοὺς φαύλους. Τὴν γὰρ ὁσιότητα ὑπογράφεσθαι δικαιοσύνην πρὸς θεούς· τοὺς δὲ φαύλους παρεκβαίνειν πολλὰ τὸ πρὸς θεοὺς δίκαιον, παρὸ καὶ ἀνοσίους εἶναι, καὶ ἀκαθάρτους, καὶ ἀνάγνους, καὶ μιαρούς, καὶ ἀνεορτάστους. Τὸ γὰρ ἑορτάζειν ἀστείου φασὶν εἶναι, τῆς ἑορτῆς οὔσης χρόνου τινὸς ἐν ᾧ χρὴ περὶ τὸ θεῖον γίγνεσθαι τιμῆς χάριν, καὶ καθηκούσης ἐπισημασίας, ὅθεν καὶ τὸν ἑορτάζοντα συγκα-

---

artem inter virtutes referunt, quum hæc sit decoris conviviorum scientia, quomodo convivium instrui oporteat docens et quæ compotationis ratio esse debeat; illa vero venandorum juvenum ingeniosorum scientia iis ad virtutem convertendis destinata, sive omnino scientia honeste amandi. Quare prudentem quoque amaturum esse affirmant. Et amare quidem ipsum tantum indifferens esse, quia et in improbos cadat; amorem vero nec cupiditatem esse, neque ullius rei turpis, sed benevolentiæ impetum propter beliam formæ speciem. Omnia etiam recte facere dicunt sapientem quæ videlicet faciat. Nam quomodo recte omnia facere dicimus vel tibicinem vel citharœdum, subaudientes tum ea quæ ad tibicinis tum quæ ad citharœdi aptem pertinent, sic prudentem quæ facit cuncta recte facere, nec non per Jovem ea quoque quæ non facit. Etenim opinioni illi cuncta eum agere recta ratione et quasi virtute duce, quæ est vitæ universæ tanquam ars aliqua, consentaneum putarunt dogma de viro cordato omnia recte faciente. Insuper pari ratione improbum quæcunque facit, prave et omnimodo vitiose facere. Jam Musarum studia et litterarum, ut et equitandi et venandi voluptatem atque in universum artes liberales studia quidem appellant, non tamen scientias, atque inter probos habitus ea numerant, ideoque solum sapientem Musarum et litterarum ac similiter reliquarum rerum studiosum esse præ se ferunt. Studium vero ita definiunt, ut esse scribant viam per artem mitem ad virtutem ducentem. Sapientem præterea solum ajunt et vatem bonum esse et poetam et oratorem et dialecticum et criticum; at non quemvis, quia ad horum quædam et perceptis quibusdam regulis opus sit. Divinationem autem perhibent scientiam contemplativam signorum quæ a diis aut geniis ad humanam vitam pertinentia ostenduntur. Idem de singulis quoque divinationis generibus dicendum. Sacerdotem etiam solum volunt esse sapientem, improbum autem neminem. Sacerdotem enim debere sacrificiorum, precum, lustrationum, templorum exstruendorum et similium omnium leges tenere, ad hæc aliarum etiam rerum notitiam habere, quia pietate egeat ac deorum colendorum ratione, denique divinæ naturæ quasi adhærescere. At nihil horum unquam in improbo cerni et idcirco stultos quoque impios esse omnes. Namque impietatem, quum vitium sit, esse cultus deorum ignorantiam, pietatem vero, ut diximus, scientiam cultus diis immortalibus adhibendi. Similiter profanos omnes improbos statuunt, quum sanctitas definiatur in deos justitia, quam improbi plerumque negligant, ideoque profani sint, impuri, impudici, flagitiosi, festorum dierum expertes. Nam festos dies celebrare sapientis esse arbitrantur, quum talis diei celebritas tempus sit quo diis honos habeatur ac publice significetur; ideoque debere qui festum diem agat, magna cum pietate tali officio fungi. Ad hoc improbos dicunt omnes insanire, se pariter

ταθῆναι [107] δεῖ μετ' εὐσεβείας εἰς τὴν τοιαύτην τάξιν. Ἔτι δὲ λέγουσι πάντα φαῦλον μαίνεσθαι, ἄγνοιαν ἔχοντα αὐτοῦ καὶ τῶν καθ' αὑτόν, ὅπερ ἐστὶ μανία. Τὴν δὲ ἄγνοιαν εἶναι ἐναντίαν κακίαν τῇ σωφροσύνῃ· ταύτην δὲ πρός τί πως ἔχουσαν ἀκαταστάτους καὶ πτοιώδεις παρεχομένην τὰς ὁρμάς, μανίαν εἶναι· διὸ καὶ ὑπογράφουσι τὴν μανίαν οὕτως, ἄγνοιαν πτοιώδη. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι [108] δι' αὑτὰ αἱρετά, τὰ δὲ ποιητικά. Ὁπόσα μὲν οὖν οὐδενὸς ἄλλου ἕνεκεν εἰς εὔλογον αἵρεσιν ἔρχεται, δι' αὑτὰ αἱρετά· ὁπόσα δὲ τῷ ἑτέρων τινῶν παρασκευαστικὰ γίγνεσθαι, κατὰ τὸ ποιητικὸν λέγεσθαι. Καὶ πᾶν μὲν ἀγαθὸν αἱρετὸν εἶναι, ἀρεστὸν γάρ, καὶ δοκιμαστόν, καὶ ἐπαινετὸν ὑπάρχειν· πᾶν δὲ κακὸν φευκτόν. Τὸ γὰρ ἀγαθόν, καθὸ μὲν αἵρεσιν εὔλογον κινεῖ, αἱρετόν ἐστι· καθὸ δὲ ἀνυπόπτως εἰς αἵρεσιν ἔρχεται, ἀρεστόν [109]· καθὸ δὲ πάλιν εὐλόγως ἄν τις περὶ αὐτοῦ ὑπολαμβάνῃ [110], τῶν ἐπαινετῶν εἶναι. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι ἐν κινήσει [111], τὰ δὲ ἐν σχέσει. Ἐν κινήσει μὲν τὰ τοιαῦτα, χαράν, εὐφροσύνην, σώφρονα ὁμιλίαν· ἐν σχέσει δὲ τὰ τοιαῦτα, εὔτακτον ἡσυχίαν, μονὴν ἀτάραχον, προσοχὴν ἔπανδρον. Τῶν δὲ ἐν σχέσει τὰς μὲν καὶ ἐν ἕξει εἶναι, οἷον τὰς ἀρετάς· τὰς δ' ἐν σχέσει μόνον, ὡς τὰ ῥηθέντα. Ἐν ἕξει δὲ οὐ μόνας εἶναι τὰς ἀρετάς, ἀλλὰ καὶ τὰς ἄλλας τέχνας τὰς ἐν τῷ σπουδαίῳ ἀνδρὶ ἀλλοιωθείσας ὑπὸ τῆς ἀρετῆς, καὶ γενομένας ἀμεταπτώτους, οἱονεὶ γὰρ ἀρετὰς γίγνεσθαι. Φασὶ δὲ καὶ τῶν ἐν ἕξει ἀγαθῶν εἶναι τὰ ἐπιτηδεύματα καλούμενα, οἷον φιλομουσίαν, φιλογραμματίαν, φιλογεωμετρίαν καὶ τὰ παραπλήσια. Εἶναι γὰρ ὁδόν τινα, ἐκλεκτικὴν [112] τῶν ἐν ταύταις ταῖς τέχναις οἰκείων πρὸς ἀρετήν, ἀναφέρουσαν αὐτὰ ἐπὶ τὸ τοῦ βίου τέλος. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι καθ' ἑαυτά, τὰ δὲ πρός τί πως ἔχειν. Καθ' ἑαυτὰ μέν, ἐπιστήμην, δικαιοπραγίαν, καὶ τὰ ὅμοια· πρός τι δέ, τιμήν, εὐνοιαν, φιλίαν. Εἶναι [113] δὲ τὴν ἐπιστήμην κατάληψιν ἀσφαλῆ καὶ ἀμετάπτωτον ὑπὸ λόγου· ἑτέραν δὲ ἐπιστήμην σύστημα ἐξ ἐπιστημῶν τοιούτων, οἷον ἡ τῶν κατὰ μέρος λογικὴ ἐν τῷ σπουδαίῳ ὑπάρχουσα· ἄλλην δέ, σύστημα ἐξ ἐπιστημῶν τεχνικῶν ἐξ αὐτοῦ [114] ἔχον τὸ βέβαιον, ὡς ἔχουσιν αἱ ἀρεταί· ἄλλην δὲ ἕξιν φαντασιῶν δεκτικὴν ἀμετάπτωτον ὑπὸ λόγου, ἥντινά φασιν ἐν τόνῳ [115] καὶ δυνάμει κεῖσθαι. Φιλίαν δ' εἶναι κοινωνίαν βίου· συμφωνίαν δέ, ὁμοδογματίαν περὶ τῶν κατὰ τὸν βίον. Τῆς δὲ φιλίας εἶναι γνωριμότητα μέν, φιλίαν ἐγνωσμένων· συνήθειαν δέ, φιλίαν συνειθισμένων· ἑταιρίαν δέ, φιλίαν καθ' αἵρεσιν, ὡς ἂν ὁμηλίκων· ξενίαν δέ, φιλίαν ἀλλοδαπῶν. Εἶναι δὲ καὶ συγγενικήν τινα φιλίαν, ἐκ συγγενῶν· καὶ ἐρωτικήν, ἐξ ἔρωτος. Ἔτι δὲ τῶν ἀγαθῶν τὰ μὲν εἶναι ἄμικτα, οἷον ἐπιστήμην, τὰ δὲ μεμιγμένα, οἷον εὐτεχνίαν, εὐγηρίαν, εὐζωΐαν. Ἔστι δ' ἡ μὲν εὐτεχνία χρῆσις τέχνων κατὰ φύσιν ἔχουσα, σπουδαία· ἡ δ' εὐγηρία, χρῆσις σπουδαία γήρως [117], κατὰ φύσιν ἔχουσα, καὶ ὁμοίως ἡ εὐζωΐα. Ἀλυπίαν δὲ καὶ εὐταξίαν τὰς αὐτὰς εἶναι τῇ σωφροσύνῃ, νοῦν δὲ καὶ φρένας φρονήσει, με-

---

ac sua ignorantes, id quod est insaniæ. Ignorantiam autem pravitatem esse prudentiæ contrariam; eamque in singulis inconstantes atque attonitas reddentem cupiditates, esse insaniam; atque hanc ob causam insaniam definiunt ignorantiam attonitam. Bonorum porro ajunt alia esse per se expetenda, alia efficientia. Nam quæ nullius alterius causa recte expetuntur, per se expetenda esse; quæ autem ex eo quod ad aliud quid viam parent, dici efficientia. Ac bonum quidem omne expetendum esse, quoniam placitum sit, simulque probatum et laudabile esse; malum vero omne fugiendum. Etenim bonum quatenus quidem pronam sui cupidinem movet, expetendum est; quatenus autem citra suspicionem optabile evadit, placitum; quatenus vero recte de eo sentitur, laudabile. Bona præterea alia in motu ponunt, alia in affectione. In motu quidem gaudium, lætitiam et honestum commercium: in affectione vero quietem placidam, otium inconcussum, animum virilem. Eorum autem quæ in affectione cernuntur alia in habitu quoque ponunt, ut virtutes; alia in affectione duntaxat, ut prædicta. Neque vero in habitu solas virtutes versari existimant, sed reliquas quoque artes in viro bono per virtutem immutatas et immutabiles redditas, quia quasi virtutum instar obtineant, inesse arbitrantur. Studia etiam ut vocantur ad bona quæ in habitu consistunt referunt, verbi causa Musarum, litterarum, geometriæ studium et similia. Esse enim modum eligendi ex his artibus quæ ad virtutem prosunt eaque ad vitæ finem referendi. Præterea bona alia per se subsistere, alia ad aliud referri. Ac per se quidem consistere scientiam, justam actionem et similia; ad aliud referri honorem, benevolentiam, amicitiam. Esse autem scientiam primum firmam ac certam rerum comprehensionem a ratione non aversam; deinde scientiam haberi copiam doctrinarum, qualis in viro bono illa sit disserendi ratio quæ in singularum rerum explicatione versatur; tum judicari copiam doctrinarum et artium per se firmitatem virtutum instar habentium; denique habitum specierum mente conceptarum capacem eumque ratione nixum, quem in animi vigore et vi positum esse contendunt. Amicitiam autem esse vitæ communionem; harmoniam vero consensum circa vitæ studia. Amicitiæ porro species esse familiaritatem, quæ amicitia notorum sit; consuetudinem, quæ amicitia familiarium sit; sodalitatem vero, quæ sit amicitia ex propria electione, ut æqualium; hospitium denique, quæ externorum sit amicitia. Nec non cognatorum et amantium inter ipsos esse amicitiam. Insuper bonorum alia esse pura, ut scientiam, alia mixta, ut liberorum bonitatem, faustam senectutem, vitæ felicitatem. Ac liberorum quidem bonitas est usus liberorum naturæ conveniens et probus; fausta senectus vero, bonus senectutis usus et naturæ con-

ταδοτικὴν δὲ καὶ ἐπιδοτικὴν χρηστότητι. Τὸ μέντοι γε πρός τί πως ἔχειν ὠνομάσθησαν, ὅπερ καθήκει καὶ ἐπὶ τῶν ἄλλων ἀρετῶν παρατηρεῖν. Φανερὸν δ' ἔσται ἐκ τούτων, ὅτι καὶ τῶν κακῶν αἱ ὅμοιαι διαιρέσεις ἔσονται. Διαφέρειν δὲ λέγουσιν αἱρετόν καὶ ληπτόν. Αἱρετὸν μὲν γὰρ εἶναι τὸ ὁρμῆς αὐτοτελοῦς κινητικόν· ληπτὸν δὲ τὸ ἀξίαν ἔχον [118]. Ὅσῳ δὲ διαφέρει τὸ αἱρετὸν τοῦ ληπτοῦ, τοσούτῳ καὶ τὸ αὐθαίρετον τοῦ καθ' αὐτὸ ληπτοῦ, καὶ καθόλου τὸ ἀγαθὸν τοῦ ἀξίαν ἔχοντος. Τοῦ δ' ἀνθρώπου ὄντος ζῴου λογικοῦ θνητοῦ, φύσει πολιτικοῦ, φασὶ καὶ τὴν ἀρετὴν πᾶσαν τὴν περὶ ἄνθρωπον καὶ τὴν εὐδαιμονίαν ζωὴν ἀκόλουθον ὑπάρχειν καὶ ὁμολογουμένην φύσει.

Τὸ δὲ τέλος [119] ὁ μὲν Ζήνων οὕτως ἀπέδωκε, τὸ ὁμολογουμένως ζῆν· τοῦτο δ' ἐστὶ καθ' ἕνα λόγον καὶ σύμφωνον ζῆν, ὡς τῶν μαχομένων [120] ζῴων κακοδαιμονούντων. Οἱ δὲ μετὰ τοῦτον, διαρθροῦντες [121], οὕτως ἐξέφερον, ὁμολογουμένως τῇ φύσει ζῆν· ὑπολαβόντες ἔλαττον εἶναι κατηγόρημα τὸ ὑπὸ τοῦ Ζήνωνος ῥηθέν. Κλεάνθης [122] γὰρ πρῶτος διαδεξάμενος αὐτοῦ τὴν αἵρεσιν προσέθηκε τῇ φύσει, καὶ οὕτως ἀπέδωκε, τέλος ἐστὶ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν. Ὅπερ ὁ Χρύσιππος [123] σαφέστερον βουλόμενος ποιῆσαι, ἐξήνεγκε τὸν τρόπον τοῦτον· ζῆν κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων. Διογένης [124] δὲ, εὐλογιστίαν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ καὶ ἀπεκλογῇ. Ἀρχέδημος [125] δέ, πάντα τὰ καθήκοντα ἐπιτελοῦντας ζῆν· Ἀντίπατρος δέ, ζῆν ἐκλεγομένους μὲν τὰ κατὰ φύσιν, ἀπεκλεγομένους δὲ τὰ παρὰ φύσιν διηνεκῶς. Πολλάκις δὲ καὶ οὕτως, ἀπεδίδου, πᾶν τὸ καθ' αὑτὸν [126] ποιεῖν διηνεκῶς καὶ ἀπαραβάτως, πρὸς τὸ τυγχάνειν τῶν προηγουμένων κατὰ φύσιν. Τὸ δὲ τέλος λέγεσθαι τριχῶς ὑπὸ τῶν ἐκ τῆς αἱρέσεως ταύτης· τό τε γὰρ τελικὸν ἀγαθὸν λέγεσθαι τέλος ἐν τῇ φιλολόγῳ συνηθείᾳ, ὡς τὴν ὁμολογίαν λέγουσι τέλος εἶναι· λέγουσι δὲ καὶ τὸν σκοπὸν τέλος, οἷον τὸν ὁμολογούμενον βίον ἀναφορικῶς λέγοντες ἐπὶ τὸ παρακείμενον κατηγόρημα. Κατὰ δὲ τὸ τρίτον σημαινόμενον, λέγουσι τέλος τὸ ἔσχατον τῶν ὀρεκτῶν, ἐφ' ὃ πάντα τὰ ἄλλα ἀναφέρεσθαι. Διαφέρειν δὲ τέλος καὶ σκοπὸν ἡγοῦνται. Σκοπὸν μὲν γὰρ εἶναι τὸ ἐκκείμενον σῆμα, οὗ τυχεῖν ἐφίεσθαι τοὺς τῆς εὐδαιμονίας στοχαζομένους [127] διὰ τὸ πάντα μὲν σπουδαῖον εὐδαιμονεῖν, πάντα δὲ φαῦλον ἐκ τῶν ἐναντίων κακοδαιμονεῖν. (Καὶ [128] τῶν ἀγαθῶν τὰ μὲν ἀναγκαῖα εἶναι πρὸς εὐδαιμονίαν, τὰ δὲ μή. Καὶ ἀναγκαῖα μέν, τάς τε ἀρετὰς πάσας, καὶ τὰς ἐνεργείας τὰς χρηστικὰς αὐτῶν· οὐκ ἀναγκαῖα δέ, χαράν τε καὶ εὐφροσύνην, καὶ τὰ ἐπιτηδεύματα. Παραπλησίως δὲ καὶ τῶν κακῶν τὰ μὲν ἀναγκαῖα ὡς ἂν κακὰ πρὸς κακοδαιμονίαν εἶναι, τὰ δ' οὐκ ἀναγκαῖα. Ἀναγκαῖα μέν, τάς τε κακίας πάσας, καὶ τὰς ἐνεργείας τὰς ἀπ' αὐτῶν· οὐκ ἀναγκαῖα δέ, τά τε πάθη πάντα, καὶ τὰ ἀῤῥωστήματα, καὶ τὰ τούτοις παραπλήσια.) Τέλος δέ φασιν εἶναι τὸ εὐδαιμονεῖν, οὗ ἕνεκα πάντα πράττεται μέν, αὐτὸ

---

sentaneus; item vitæ felicitas. Jam doloris vacuitatem et ordinis conservationem haud diversam esse a temperantia, mentem vero et intellectum non distare a prudentia, denique erogationem et communicationem concordare cum bonitate. Verum ad aliud quid referri dicuntur, quod in reliquis quoque virtutibus est observandum. Hinc autem intelligitur, mala etiam eandem divisionem recipere. Differre vero dicunt expetendum et acceptum. Expetendum enim esse, quod appetitum plenum moveat; acceptum, quod in pretio sit. Cæterum quantum differat ab accepto expetendum, tantum etiam per se expetendum a per se accepto differre, atque omnino bonum a pretioso. Quum vero homo sit animal mortale, sed rationis particeps, natura civile, virtutem quoque omnem humanam et felicitatem affirmant vitam esse naturæ congruam et convenientem.

Finem autem Zeno ita definit, ut esse velit convenienter vivere; id est, sequi rationem in vita sibique constare, quasi animalia secum pugnantia sint misera. Posteriores vero explicatius dixerunt, esse convenienter naturæ vivere, rati Zenonem minus quam quod in rei natura positum sit pronuntiasse. Cleanthes enim primus quum in locum ejus successisset, naturam adjecit ac sic definivit: finis est convenienter naturæ vivere. Quod Chrysippus dilucidius volens facere in hunc modum enuntiavit: adhibita scientia eorum quæ natura eveniunt vivere. Diogenes autem dixit rationis usum in sequendis et fugiendis rebus quæ secundum naturam sunt. At Archedemus, omnia officia exsequentem vivere; sed Antipater, vivere tum eligentes quæ secundum naturam sint, tum quæ ab ea abhorreant, perpetuo fugientes. Sæpe etiam sic definivit: omnia per se continenter et constanter agere ad consequenda ea quæ secundum naturam producta sunt. At finis trifariam ab hujus sectæ hominibus dicitur: primum enim ex ipsorum loquendi usu summum bonum finem appellant, quemadmodum et convenientiam finem esse præ se ferunt: deinde etiam scopum eo nomine afficiunt, utpote vitam convenientem vicinæ attributionis respectu dicentes. Tertia vero significatione finem perhibent postremum votum, ad quod reliqua omnia referuntur. Finem quoque et scopum differre existimant. Scopum enim esse signum propositum, quod attingere studeant beatitudinis candidati, quia boni quidem omnes beati sint, mali vero contra miseri. (Bonorum quoque alia necessaria esse ad felicitatem, alia non necessaria. Ac necessaria quidem virtutes omnes, et exercitationes earum utiles; non necessaria autem gaudium et lætitiam et studia. Similiter etiam malorum alia necessaria esse, ut mala, ad infelicitatem, alia non necessaria. Necessaria quidem vitia cuncta malaque facinora; non necessaria vero affectus omnes, morbos, et quæ his similia habentur.) Finem autem beatitudinem statuunt, cujus causa omnia fiunt, ipsa vero

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

δὲ πράττεται οὐδενὸς ἕνεκα. Τοῦτο δ' ὑπάρχειν ἐν τῷ κατ' ἀρετὴν ζῆν, ἐν τῷ ὁμολογουμένως ζῆν, ἔτι, ὡς ταυτὸν ὄν, [129] ἐν τῷ κατὰ φύσιν ζῆν. Τὴν δὲ εὐδαιμονίαν ὁ Ζήνων ὡρίσατο τὸν τρόπον τοῦτον· εὐδαιμονία δ' ἐστὶν εὔροια βίου [130]. Κέχρηται δὲ καὶ Κλεάνθης τῷ ὅρῳ τούτῳ ἐν τοῖς αὐτοῦ συγγράμμασι, καὶ ὁ Χρύσιππος, καὶ οἱ ἀπὸ τούτων πάντες, τὴν εὐδαιμονίαν οὐχ ἑτέραν εἶναι λέγοντες τοῦ εὐδαίμονος βίου, καίτοι γε λέγοντες, τὴν μὲν εὐδαιμονίαν σκοπὸν ἐκκεῖσθαι, τέλος δ' εἶναι τὸ τυγχεῖν τῆς εὐδαιμονίας, ὅπερ ταυτὸν εἶναι τῷ εὐδαιμονεῖν. Δῆλον οὖν ἐκ τούτων, ὅτι ἰσοδυναμεῖ τὸ κατὰ φύσιν ζῆν, καὶ τὸ καλῶς ζῆν, καὶ τὸ εὖ ζῆν, καὶ πᾶν τὸ καλὸν καὶ τὸ ἀγαθόν, καὶ ἡ ἀρετή, καὶ τὸ μέτοχον ἀρετῆς· καὶ ὅτι πᾶν τὸ ἀγαθὸν καλόν, ὁμοίως δὲ καὶ πᾶν τὸ αἰσχρὸν κακόν. Διὸ καὶ τὸ Στωϊκὸν τέλος ἴσον δύνασθαι τῷ κατ' ἀρετὴν βίῳ. Διαφέρειν δὲ λέγουσι τὸ αἱρετὸν καὶ τὸ αἱρετέον. Αἱρετὸν μὲν γὰρ εἶναι ἀγαθὸν τὸ πᾶν, αἱρετέον δὲ ὠφέλημα πᾶν, ὃ θεωρεῖται παρὰ τὸ ἔχειν τὸ ἀγαθόν. Διὸ αἱρούμεθα μὲν τὸ αἱρετέον, οἷον τὸ φρονεῖν, ὃ θεωρεῖται παρὰ τὸ ἔχειν φρόνησιν, τὸ δὲ αἱρετὸν οὐχ αἱρούμεθα, μᾶλλον δὲ ἔχειν [131] αὐτὸ αἱρούμεθα. Ὁμοίως δὲ καὶ τὰ μὲν ἀγαθὰ πάντα, ἐστὶν ὑπομενετὰ καὶ ἐμμενετά, καὶ κατὰ λόγον τὸν αὐτὸν ἐπὶ τῶν ἄλλων αἱρετῶν, εἰ καὶ μὴ κατωνόμασται· τὰ δ' ὠφέλιμα πάντα ὑπομενετέα καὶ ἐμμενετέα· καὶ κατὰ τὸν αὐτὸν λόγον ἐπὶ τῶν ἄλλων κατὰ τὰ οἰκεῖα.

Διεληλυθότες δ' ἱκανῶς περὶ ἀγαθῶν καὶ κακῶν, καὶ αἱρετῶν καὶ φευκτῶν, καὶ περὶ τέλους καὶ εὐδαιμονίας, ἀναγκαῖον ἡγησάμεθα καὶ τὰ περὶ τῶν ἀδιαφόρων [132] λεγόμενα κατὰ τὴν οἰκείαν τάξιν ἐπελθεῖν. Ἀδιάφορα δ' εἶναι λέγουσι, τὰ μεταξὺ τῶν ἀγαθῶν καὶ τῶν κακῶν, διχῶς τὸ ἀδιάφορον νοεῖσθαι φάμενοι, καθ' ἕνα μὲν τρόπον τὸ μήτε ἀγαθὸν μήτε κακόν, καὶ τὸ μήτε αἱρετὸν μήτε φευκτόν· καθ' ἕτερον δέ, τὸ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικόν, καθὸ καὶ λέγεσθαι τινα καθάπαξ ἀδιάφορα εἶναι, οἷον τὸ προτεῖναι τὸν δάκτυλον ὠδὶ ἢ ὠδί, ἢ τὸ ἀνελέσθαι τι τῶν ἐμποδὼν κάρφος ἢ φύλλον. Κατὰ τὸ πρότερον δὴ λεκτέον τὰ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγεσθαι κατὰ τοὺς ἀπὸ τῆς αἱρέσεως ταύτης· οὐ μὴν πρὸς ἐκλογὴν καὶ ἀπεκλογήν. Διὸ καὶ τὰ μὲν ἀξίαν ἐκλεκτικὴν ἔχειν, τὰ δ' ἀπαξίαν ἀπεκλεκτικήν, συμβλητικὴν δ' οὐδαμῶς πρὸς τὸν εὐδαίμονα βίον. Καὶ τὰ μὲν εἶναι κατὰ φύσιν, τὰ δὲ παρὰ φύσιν, τὰ δὲ οὔτε κατὰ φύσιν οὔτε παρὰ φύσιν. Κατὰ φύσιν μὲν οὖν τὰ τοιαῦτα, ὑγίειαν, ἰσχύν, αἰσθητηρίων ἀρτιότητα, καὶ τὰ παραπλήσια τούτοις. Παρὰ φύσιν δὲ τὰ τοιαῦτα, νόσον, ἀσθένειαν, πήρωσιν, καὶ τὰ τοιαῦτα. Οὔτε δὲ κατὰ φύσιν οὔτε παρὰ φύσιν, ψυχῆς κατάστασιν καὶ σώματος, καθ' ἣν ἡ μέν ἐστι φαντασιῶν ψευδῶν δεκτική, τὸ δὲ τρωμάτων καὶ πηρώσεων δεκτικόν, καὶ τὰ τούτοις ὅμοια. Ποιεῖσθαι δὲ λέγουσι τὸν περὶ τούτων λόγον τῶν πρώτων κατὰ φύσιν καὶ παρὰ φύσιν. Τὸ γὰρ διαφέρον καὶ τὸ ἀδιάφορον τῶν πρός τι λεγομένων εἶναι. Διότι κἂν, φασί, λέγωμεν ἀδιάφορα τὰ

---

nullius causa. Cæteroqui positam eam esse in vitæ sanctitate, in vita convenienti, denique, quod idem est, in vita secundum naturam acta. At Zeno felicitatem sic definivit, ut esse eam arbitraretur prosperum vitæ cursum. Quid? quod etiam Cleanthes hac definitione in scriptis suis usus est et Chrysippus eorumque successores omnes, qui felicitatem a felici vita non separant, quamquam felicitatem scopi instar propositam esse ajunt, finem autem esse dicunt assequi felicitatem, quod idem valet atque esse felicem. Ex his igitur manifesto apparet, verba idem declarantia esse, secundum naturam vivere, honeste vivere et recte vivere, atque omne honestum et bonum omnemque virtutem et quod particeps est virtutis; ac bonum omne honestum esse et malum turpe; ideoque finem etiam Stoicum idem valere quod vitæ degendæ rationem ad virtutis normam directam. Differre præterea volunt expetitum et expetendum. Expetitum enim esse omne bonum, expetendum vero omne emolumentum, id quod ex eo cognoscitur, quod bonum illi insit. Quare expetimus quidem expetendum, verbi causa sapere, quod perspicitur ex eo quod prudentiam contineat; expetitum autem non expetimus ipsum, sed potius habere illud gestimus. Similiter vero omnia bona tolerabilia sunt ac diuturna, quod pari ratione in reliquis etiam expetitis dici potest, licet nomine careant: at utilia omnia sunt ferenda et perseveranter tenenda; atque eadem ratione in reliquis secundum suas divisiones.

Cum autem satis multa de bonis et malis, de expetendis et fugiendis, de fine ac felicitate disseruerimus, necessarium nobis visum est, illa quoque quæ de indifferentibus dicuntur suo loco persequi. Vocant igitur indifferentia, quæ inter bona et mala mediocritatem tenent, duplici modo ea intelligi contendentes, aut quæ nec bona sunt nec mala quæque neque expetenda neque fugienda habentur; aut quæ neque appetitum movent neque fastidium, quatenus nonnulla omnino etiam indifferentia dicimus, ut digitum huc sive illuc porrigere, ut festucam ante pedes positam vel folium tollere. Priori quidem sensu fatendum est, quæ inter virtutem et vitia sunt indifferentia appellari ab hominibus huic formulæ quasi addictis, non tamen eatenus, ut neque eligenda sint, nec reprobanda. Quocirca alia habere dignitatem ad eligendum, alia indignitatem quæ ad reprobandum valeat, nec tamen quidquam ea ad vitæ felicitatem afferre. Atque eorum quidem alia esse naturæ consentanea, alia vero a natura abhorrere, alia neque naturæ convenire neque ei repugnare. Naturæ igitur congruere sanitatem, robur, sensuum integritatem et quæ his sunt similia. Contra a natura abhorrere morbum, imbecillitatem, corporis imminutionem et similia. Cæterum neque convenire naturæ neque repugnare animi et corporis constitutionem; qua ille quidem vanarum imaginum, hoc

μματικὰ καὶ τὰ ἐκτὸς πρὸς τὸ εὐσχημόνως ζῆν, (ἐν ᾧ ἔνεστι [133] τὸ εὐδαιμόνως,) ἀδιάφορά φαμεν αὐτὰ εἶναι, οὐ μὰ Δία πρὸς τὸ κατὰ φύσιν ἔχειν οὐδὲ πρὸς ἀποφορὴν καὶ ἀφορμήν. Ἔτι δὲ τῶν ἀδιαφόρων τὰ μὲν πλείω ἀξίαν ἔχειν, τὰ δ' ἐλάττω. Καὶ τὰ μὲν καθ' αὑτὰ, τὰ δὲ ποιητικά· καὶ τὰ μὲν προηγμένα, τὰ δὲ ἀποπροηγμένα, τὰ δ' οὐδετέρως ἔχοντα. Προηγμένα μὲν, ὅσα ἀδιάφορα ὄντα πολλὴν ἔχει ἀξίαν, ὡς ἐν διαφόροις· ἀποπροηγμένα δέ, ὅσα πολλὴν ἔχει ἀπαξίαν, ὁμοίως· οὔτε δὲ προηγμένα οὔτε ἀποπροηγμένα, ἃ μήτε πολλὴν ἔχει ἀξίαν μήτε ἀπαξίαν. Τῶν δὲ προηγμένων τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δὲ περὶ σῶμα, τὰ δ' ἐκτός. Περὶ ψυχὴν μὲν εἶναι τὰ τοιαῦτα· εὐφυΐαν, προκοπήν, μνήμην, ὀξύτητα, διάνοιαν, ἕξιν καθ' ἣν ἐπίμονοί ἐσμεν ἐπὶ τῶν καθηκόντων, καὶ τέχνας καὶ δύνανται συνεργεῖν ἐπιπλεῖον πρὸς τὸν κατὰ φύσιν βίον· περὶ σῶμα δ' εἶναι προηγμένα, ὑγίειαν, εὐαισθησίαν καὶ τὰ παραπλήσια τούτοις. Τῶν δ' ἐκτός, γονεῖς, συγγένειαν, κτῆσιν σύμμετρον, ἀποδοχὴν παρ' ἀνθρώποις. Τῶν δ' ἀποπροηγμένων περὶ ψυχὴν μὲν εἶναι τὰ ἐναντία τοῖς εἰρημένοις· περὶ σῶμα δὲ καὶ ἐκτὸς τὰ ὁμοίως ἀντιτιθέμενα τοῖς εἰρημένοις περί τε σῶμα καὶ τοῖς ἐκτὸς προηγμένοις. Οὔτε δὲ τὰ προηγμένα οὔτε ἀποπροηγμένα περὶ ψυχήν, φαντασίαν καὶ συγκατάθεσιν, οὐδ' ὅσα τοιαῦτα· περὶ δὲ σῶμα λευκότητα καὶ μελανότητα καὶ χαροπότητα, καὶ ἡδονὴν καὶ συνουσίαν [134] καὶ πόνον, καὶ εἴ τι ἄλλο τοιοῦτο. Τῶν δ' ἐκτὸς οὔτε προηγμένα οὔτε ἀποπροηγμένα εἶναι τὰ τοιαῦτα, ὅσα παντελῶς ὄντα καὶ μηδὲν χρήσιμον προσφερόμενα, μικρὰν παντελῶς ἔχει τὴν ἀπ' αὐτῶν χρείαν. Τῆς δὲ ψυχῆς οὔσης κυριωτέρας τοῦ σώματος καὶ πρὸς τὸ κατὰ φύσιν ζῆν φασι τὰ περὶ τὴν ψυχὴν κατὰ φύσιν ὄντα καὶ προηγμένα πλείονα τὴν εὐξίαν ἔχειν τῶν περὶ σῶμα καὶ τῶν ἐκτός, οἷον εὐφυΐαν ψυχῆς πρὸς ἀρετὴν ὑπεράγειν τῆς τοῦ σώματος εὐφυΐας, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως ἔχειν. Ἔτι δὲ τῶν ἀδιαφόρων φασὶ τὰ μὲν εἶναι ὁρμῆς κινητικά, τὰ δὲ ἀφορμῆς, τὰ δὲ οὔτε ὁρμῆς οὔτε ἀφορμῆς. Ὁρμῆς μὲν οὖν κινητικά, ἅπερ ἐλέγομεν εἶναι κατὰ φύσιν· ἀφορμῆς δέ, ὅσα παρὰ φύσιν· οὔτε δὲ ὁρμῆς οὔτε ἀφορμῆς, τὰ μηδετέρως ἔχοντα, οἷά ἐστι τὸ περιττὰς ἢ ἀρτίας ἔχειν τὰς τρίχας [135]. Τῶν δὲ κατὰ φύσιν ἀδιαφόρων ὄντων, τὰ μέν ἐστι πρῶτα κατὰ φύσιν, τὰ δὲ κατὰ μετοχήν. Πρῶτα μέν ἐστι κατὰ φύσιν κίνησις, ἢ σχέσις κατὰ τοὺς σπερματικοὺς λόγους [136] γιγνομένη, οἷον ὑγίεια καὶ αἴσθησις, λέγω δὲ τὴν κατάληψιν καὶ ἰσχύν. Κατὰ μετοχὴν δέ, ὅσα μετέχει κινήσεως καὶ σχέσεως κατὰ τοὺς σπερματικοὺς λόγους, οἷον χεὶρ ἀρτία καὶ σῶμα ὑγιαῖνον, καὶ αἰσθήσεις μὴ πεπηρωμέναι. Ὁμοίως δὲ καὶ τῶν παρὰ φύσιν κατὰ τὸ ἀνάλογον. Πάντα δὲ κατὰ φύσιν λητπὰ εἶναι, καὶ ἅπαντα παρὰ φύσιν ἄληπτα. Τῶν δὲ κατὰ φύσιν τὰ μὲν καθ' αὑτὰ λητπὰ εἶναι, τὰ δὲ δι' ἕτερα. Καθ' αὑτὰ μέν, ὅσα ἐστὶν ὁρμῆς κινητικὰ παρατρεπτικῶς [137] ἐφ' ἑαυτά, ἢ ἐπὶ τῷ ἀντέχεσθαι αὐτῶν, οἷον ὑγίειαν, εὐαισθησίαν, ἀπονίαν, καὶ κάλλος σώματος. Ποιητικὰ δέ, ὅσα εἰσὶν ὁρμῆς κινητικὰ ἀνετικῶς ἐφ' ἕτερα, καὶ μὴ παρατρεπτικῶς [138], οἷον πλοῦτον, δόξαν, καὶ τὰ τούτοις ὅμοια. Παραπλησίως δὲ καὶ τῶν παρὰ φύσιν τὰ μὲν εἶναι καθ' αὑτὰ ἄληπτα, τὰ δὲ τῷ ποιητικὰ εἶναι. Τῶν δὲ καθ' αὑτὰ

---

ero vulnerum et imminutionis capax est, et his similia. am vero sermonem haberi dicunt de primis secundum aturam et præter naturam. Nam differentia et indifferentia numerari in rebus quæ ad aliquid referri dicuntur. uia, inquiunt, etiamsi indifferentia appellemus corporea mnia et externa respectu vitæ honestæ, in qua inest vita eata, tamen per Jovem haudquaquam ea indifferentia sse arbitramur respectu habitus secundum naturam, nec espectu appetitus et fastidii. Indifferentium porro alia ajorem habere dignitatem, alia minorem. Atque alia uidem per se consistere, alia efficientia putari, alia producta esse, alia rejecta, alia denique neutra. Producta idelicet, quæ quamvis indifferentia sint, magnam tamen abeant dignitatem, quatenus esse potest in indifferentibus; similiter autem rejecta, quæ magnam habeant indignitatem; denique neque producta neque rejecta, quæ eque magnam dignitatem neque indignitatem habeant. Præterea præpositorum alia esse circa animum, alia circa orpus, alia in rebus externis versari. Circa animum esse verbi gratia ingenium, profectum, memoriam, acumen, ntellectum, habitum quo constantes sumus in officiis, et rtes quæ ad vitam naturæ convenienter agendam plus afferre possunt momenti : circa corpus autem esse præposita, sanitatem, sensuum vigorem et quæ his similia sunt. In externis vero numerari parentes, liberos, opes mediocres, hominum favorem. Rejecta circa animum esse contraria iis quæ memorata sunt : item quæ circa corpus ac circa externa versantur opponi iis quorum mentio facta est præcipuis partim ad corpus partim ad externa pertinentibus. At neque præposita neque rejecta haberi circa animum visionem, assensum et similia : circa corpus vero candorem, nigritiam, cæruleum colorem, voluptatem, coitum, laborem, et si quid aliud hujusmodi est. In externis autem neque præposita neque rejecta putari, quæ quam vilia sint neque ullam utilitatem afferant, parum conducibilia judicantur. Animus vero quum sit potior corpore, ad vitam quoque naturæ convenienter agendam ajunt quæ in animo sunt naturæ consentanea et præposita plus afferre momenti quam quæ in corpore et externis reperiuntur, exempli gratia bonam animi indolem ad virtutem præsfare corporis indoli eandemque cæterorum esse rationem. Præterea indifferentium alia dicunt appetitum movere, alia fastidium, alia neque appetitum neque fastidium. Appetitum igitur movent, quæ modo dicebamus ad naturam accommodata esse : fastidium, quæ a natura abhorrent : neque appetitum neque fastidium, quæ neutra sunt, verbi causa,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀλήπτων διάφορα γένη εἶναι. [139]. Πάντα δὲ τὰ κατὰ φύσιν ἀξίαν ἔχειν, καὶ πάντα τὰ παρὰ φύσιν ἀπαξίαν. Τὴν δὲ ἀξίαν λέγεσθαι τριχῶς, [140], τήν τε δόσιν, τὴν καθ' αὑτήν [141], καὶ τὴν ἀμοιβὴν τοῦ δοκιμαστοῦ, καὶ τὴν τρίτην, ἣν ὁ Ἀντίπατρος ἐκλεκτικὴν προσαγορεύει, καθ' ἣν διδόντων τῶν πραγμάτων τά γέ τινα μᾶλλον ἀντὶ τῶνδε αἱρούμεθα, οἷον ὑγίειαν ἀντὶ νόσου, καὶ ζωὴν ἀντὶ θανάτου, καὶ πλοῦτον ἀντὶ πενίας. Κατὰ τὸ ἀνάλογον δὲ καὶ τὴν ἀπαξίαν τριχῶς φασι λέγεσθαι, ἀντιτιθεμένων τῶν σημαινομένων τοῖς ἐπὶ τῆς πρώτης ἀξίας εἰρημένοις. Τὴν δὲ δόσιν φησὶν ὁ Διογένης κρίσιν εἶναι, ἐφ' ὅσον κατὰ φύσιν ἐστίν, ἢ ἐφ' ὅσον χρείαν τῇ φύσει παρέχεται. Τὸ δὲ δοκιμαστικόν, οὐχ ὡς λέγεται τὰ πράγματα δοκιμαστὰ παραλαμβάνεσθαι, ἀλλ' ὡς δοκιμαστήν φαμεν εἶναι τὸν τὰ πράγματα δοκιμάζοντα. Τῆς οὖν ἀμοιβῆς τὸν τοιοῦτόν φασι δοκιμαστὴν εἶναι, καὶ ταύτας μὲν τὰς δύο ἀξίας καθ' ἃς λέγομέν τινα τῇ ἀξίᾳ προῆχθαι. Τρίτην δέ φησιν εἶναι, καθ' ἣν φαμεν ἀξίωμά τινα ἔχειν, καὶ ἀξίαν, ἥπερ περὶ ἀδιάφορα οὐ γίγνεται, ἀλλὰ περὶ μόνα τὰ σπουδαῖα. Χρῆσθαι δὲ ἡμᾶς φησιν ἐνίοτε τῷ ὀνόματι τῆς ἀξίας ἀντὶ τοῦ ἐπιβάλλοντος· ὡς ἐν τῷ τῆς δικαιοσύνης ὅρῳ περιείληπται [142], ὅταν λέγηται εἶναι ἕξις ἀπονεμητικὴ τοῦ κατ' ἀξίαν ἑκάστῳ, ἔστι γὰρ οἷον τοῦ ἐπιβάλλοντος ἑκάστῳ. Τῶν δ' ἀξίαν ἐχόντων τὰ μὲν ἔχειν πολλὴν ἀξίαν, τὰ δὲ βραχεῖαν. Ὁμοίως δὲ καὶ τῶν ἀπαξίαν ἐχόντων ἃ μὲν ἔχειν πολλὴν ἀπαξίαν, ἃ δὲ βραχεῖαν. Τὰ μὲν οὖν πολλὴν ἔχοντα ἀξίαν προηγμένα λέγεσθαι, τὰ δὲ πολλὴν ἀπαξίαν ἀποπροηγμένα, Ζήνωνος ταύτας τὰς ὀνομασίας θεμένου πρώτου τοῖς πράγμασι. Προηγμένον δ' εἶναι λέγουσιν, ὃ ἀδιάφορον ὂν ἐκλεγόμεθα κατὰ προηγούμενον λόγον. Τὸν δ' ὅμοιον λόγον [143] ἐπὶ τῶν ἀποπροηγμένων εἶναι, καὶ τὰ παραδείγματα κατὰ τὴν ἀναλογίαν ταυτά. Οὐδὲν δὲ τῶν ἀγαθῶν εἶναι προηγμένον διὰ τὸ τὴν μεγίστην ἀξίαν αὐτὰ ἔχειν. Τὸ δὲ προηγμένον, τὴν δεύτεραν χώραν καὶ ἀξίαν ἔχον, συνεγγίζειν πως τῇ τῶν ἀγαθῶν φύσει. Οὐδὲ γὰρ ἐν αὐλῇ τῶν προηγμένων εἶναι τὸν βασιλέα, ἀλλὰ τοὺς μετ' αὐτὸν τεταγμένους [144]. Προηγμένα δὲ λέγεσθαι οὐ τῷ πρὸς εὐδαιμονίαν τινὰ συμβάλλεσθαι [συνεργεῖν τι πρὸς αὐτήν] [145], ἀλλὰ τῷ ἀναγκαῖον εἶναι τούτων τὴν ἐκλογὴν ποιεῖσθαι παρὰ τὰ ἀποπροηγμένα.

Ἀκόλουθος δ' ἐστὶ τῷ λόγῳ τῷ περὶ τῶν προηγμένων

---

parem vel imparem crinium numerum habere. Indifferentium porro naturæ conjunctorum alia sunt prima secundum naturam, alia per communionem. Prima secundum naturam sunt motus vel habitus seminum rationibus aptus, ut sanitas et sensus, dico autem percipiendi vim et nervorum firmitatem. Per communionem vero, quæcunque ad seminum rationes accommodate motus et habitus consortia sunt, velut manus integra, corpus sanum, sensus non hebetati. Neque aliter in iis quæ naturæ repugnant rem se habere. Quæcunque autem naturæ conjuncta sunt, esse accepta, sed quæ a natura abhorreant, non accepta. Cæterum naturæ conjunctorum alia per se accepta esse, alia vero propter alia. Per se quidem, quæ cupidinem sui adeo movent ut ea retinere velimus, verbi causa sanitatem, sensuum vigorem, molestiarum vacuitatem, corporis pulchritudinem. Insuper efficientia existimari, quæ appetitum ita movent, ut eum ad alia traducant, non autem ad se convertant, exempli causa divitias, gloriam atque horum similia. Sic quoque eorum quæ naturæ repugnent alia esse per se non accepta, alia quatenus efficientia sint. Eorum quæ per se non sint accepta diversa esse genera. Jam omnia quæ naturæ conveniant habere dignitatem, quæ a natura abhorreant, indignitatem. Dignitatem dici trifariam, primum donationem per se, deinde approbatoris remunerationem, denique illam quam Antipater eligentem vocat, qua, si res sinat, duobus propositis alterum malumus, ut sanitatem quam morbum, vitam quam mortem, divitias quam paupertatem. Pari quoque ratione indignitatem tribus modis accipi volunt, oppositis quæ huic primæ dignitatis expositioni altera ex parte respondent nominibus. Ac donationem quidem Diogenes judicium esse contendit, quatenus naturæ congruat vel quatenus naturæ usum afferat. Approbationem autem non in rebus approbatis poni, sed in personis illas approbantibus. Remunerationis igitur talem esse approbatorem præ se ferunt, ac duplicem hanc statui dignitatem, qua dicimus fieri, ut nonnulla sua dignitate aliis præferantur. Tertiam autem Diogenes æstimationem hanc esse vult, qua dicimus nonnulla dignationem habere vel dignitatem, quæ non in indifferentia sed tantum in proba cadit. Quid? quod uti nos interdum ait dignitatis nomine pro conveniente; ut in justitiæ definitione inest, quum perhibetur esse habitus suum cuique pro dignitate tribuendi, est enim tanquam pro eo quod cuique convenit. Jam quæ dignitatem habeant, eorum quædam magnam habere dignitatem, alia parvam. Similiter etiam eorum quæ indignitatem habeant, alia habere magnam, alia parvam. Quæ igitur magna dignitate ornata sint, præposita appellari, sed ea in quibus magna hæreat indignitas, rejecta, Zenone primum hæc nomina rebus imponente. Ac præpositum quidem esse affirmant, quod quum indifferens sit præcedenti ratione adducti eligimus. Similem remotorum esse rationem atque eadem, pro portione, exempla. Nullum autem bonorum productum judicari, propterea quod illa summam dignitatem habeant. At productum quod alterum locum et secundam dignitatem habet, quodammodo ad boni naturam accedit. Neque enim in aula regem ad dignitatem productum dici, sed qui proxime ad regium principatum accedant. Præposita vero appellari non idcirco quia ad felicitatem quidquam afferant, sed quia necesse sit illa a remotis sive rejectis discerni.

Sequitur autem tractatum de præpositis sive promotis alter de *officio*. Definitur vero officium, consequens in

περὶ τοῦ καθήκοντος τόπος. Ὁρίζεται δὲ τὸ καθῆ-
ν τὸ ἀκόλουθον ἐν ζωῇ, ὃ πραχθὲν εὔλογον ἀπολογίαν
ει [146]. παρὰ τὸ καθῆκον δὲ τὸ ἐναντίως. Τοῦτο δὲ δια-
ίνειν καὶ εἰς τὰ ἄλογα τῶν ζῴων; ἐνεργεῖ γάρ τι καὶ ἐκεῖνα
ολούθως τῇ ἑαυτῶν φύσει [147]. ἐπὶ δὲ τῶν λογικῶν ζῴων
τως ἀποδίδοται, τὸ ἀκόλουθον ἐν βίῳ. Τῶν δὲ καθη-
ντων τὰ μὲν εἶναί φασι τέλεια, ἃ δὴ καὶ κατορθώ-
τα λέγεσθαι. Κατορθώματα δ' εἶναι τὰ κατ' ἀρετὴν
ργήματα, οἷον τὸ φρονεῖν, τὸ δικαιοπραγεῖν. Οὐκ εἶ-
δὲ κατορθώματα τὰ μὴ οὕτως ἔχοντα, ἃ δὴ οὐδὲ τέ-
α καθήκοντα προσαγορεύουσιν, ἀλλὰ μέσα, οἷον τὸ γα-
ῖν, τὸ πρεσβεύειν, τὸ διαλέγεσθαι, τὰ τούτοις ὅμοια.
ῶν δὲ κατορθωμάτων τὰ μὲν εἶναι ὧν χρή [148], τὰ δ'
. Ὧν χρὴ μὲν εἶναι κατηγόρημα ὠφέλημα, οἷον τὸ
ονεῖν, τὸ σωφρονεῖν· οὐκ εἶναι δὲ ὧν χρή, τὰ μὴ
τως ἔχοντα. Ὁμοίως δὲ καὶ τῶν παρὰ τὸ καθῆκον
ν αὐτὴν γίγνεσθαι τεχνολογίαν. Πᾶν δὲ τὸ παρὰ τὸ
θῆκον ἐν λογικῷ γιγνόμενον, ἁμάρτημα εἶναι· τὸ δὲ
θῆκον τελειωθὲν κατόρθωμα γίγνεσθαι. Παραμετρεῖ-
αι δὲ τὸ μέσον καθῆκον ἀδιαφόροις τισί, καλουμένοις
παρὰ φύσιν καὶ κατὰ φύσιν, τοιαύτην δὲ χρείαν [149]
οσφερομένοις, ὥστ' εἰ μὴ λαμβάνοιμεν αὐτὰ ἢ διω-
ίμεθα, ἀπερισπάστως μὴ ἂν εὐδαιμονοῖμεν [151]. Τὸ
κινοῦν τὴν ὁρμὴν οὐδὲν ἕτερον εἶναι λέγουσιν ἀλλὰ
ντασίαν ὁρμητικὴν τοῦ καθήκοντος αὐτόθεν, τὴν δὲ
μὴν εἶναι φορὰν ψυχῆς ἐπί τι. Κατὰ τὸ γένος δὲ
ταύτην διττῶς θεωρεῖσθαι τήν τε ἐν τοῖς λογικοῖς γιγνο-
μένην ὁρμήν, καὶ τὴν ἐν τοῖς ἀλόγοις ζῴοις, οὐ κα-
τωνομασμέναι δ' εἰσίν. Ἡ γὰρ ὄρεξις οὐκ ἔστι λογικὴ
ὁρμή, ἀλλὰ λογικῆς ὁρμῆς εἶδος. Τὴν δὲ λογικὴν ὁρ-
μὴν δεόντως ἄν τις ἀφορίζοιτο, λέγων εἶναι φορὰν δια
νοίας ἐπί τι τῶν ἐν τῷ πράττειν· ταύτῃ δ' ἀντιτίθεσθαι
ἀφορμήν, φοράν τινα [152] διανοίας ἀπό τινος τῶν ἐν τῷ
φεύγειν. Ἰδίως δὲ καὶ τὴν ὄρουσιν ὁρμὴν λέγουσι, τῆς
πρακτικῆς ὁρμῆς οὖσαν εἶδος. Τὴν δὲ ὄρουσιν εἶναι φο-
ρὰν διανοίας ἐπί τι μέλλον. Ὥστε μέχρι μὲν τούτων
τετραχῶς ὁρμὴν λέγεσθαι, διχῶς δ' ἀφορμήν, προστε-
θείσης καὶ τῆς ἕξεως τῆς ὁρμητικῆς, ἣν δὴ καὶ ἰδίως
ὁρμὴν λέγουσιν, ἀφ' ἧς συμβαίνει ὁρμᾶν πανταχοῦ.
Τῆς δὲ πρακτικῆς ὁρμῆς εἴδη πλείονα εἶναι, ἐν οἷς καὶ
ταῦτα· πρόθεσιν, ἐπιβολήν, παρασκευήν, ἐγχείρησιν,
αἵρεσιν, προαίρεσιν, βούλησιν, θέλησιν. Πρόθεσιν μὲν
οὖν εἶναι λέγουσι σημείωσιν ἐπιτελέσεως· ἐπιβολὴν δέ,
ὁρμὴν πρὸ ὁρμῆς· παρασκευὴν δέ, πρᾶξιν πρὸ πράξεως·
ἐγχείρησιν δέ, ὁρμὴν ἐπί τινος ἐν χερσὶν ἤδη ὄντος· αἵ-
ρεσιν δέ, βούλησιν ἐξ ἀναλογισμοῦ· προαίρεσιν δέ, αἵρεσιν
πρὸ αἱρέσεως· βούλησιν δέ, εὔλογον ὄρεξιν· θέλησιν δέ,
ἑκουσίαν βούλησιν. Πάσας δὲ τὰς ὁρμὰς συγκαταθέσεις
εἶναι, τὰς δὲ πρακτικὰς καὶ τὸ κινητικὸν περιέχειν.
Ἤδη δὲ ἄλλων μὲν εἶναι συγκαταθέσεις, ἐπ' ἄλλα δὲ
ὁρμάς. Καὶ συγκαταθέσεις μέν, ἀξιώμασί τισι, ὁρμὰς
δὲ ἐπὶ κατηγορήματα, τὰ περιεχόμενά πως ἐν τοῖς

---

ia, cujus recta potest ratio reddi; sed cum officio pu-
ians, quod aliter se habet. Atque hoc ad bruta quoque
imalia pertinet, quoniam illa etiam plura, quæ ipsorum
turæ consentanea sunt, obeunt: verum in animalibus
tione utentibus, quod vitæ eorum convenit, sic appel-
ur. Officia porro alia dicunt esse perfecta, quæ recte
cta nominentur. Cæterum esse recte facta virtutum
ercitationes, ut sapere, juste agere. At non judicari
cte facta illa quæ aliter se habeant ideoque non perfecta
ccentur officia, sed media, verbi causa uxorem ducere,
gatione fungi, colloqui et horum similia. Ac recte facta
se alia quibus opus sit, alia, quibus non sit opus. Iis
uibus opus sit attribui utilitatem, exempli gratia pruden-
æ ac temperantiæ: et supervacanea existimari aliter
habentia. Similiter de iis quæ contra officium sint esse
isputandum. Quidquid vero contra officium a rationis
rticipe fiat, peccatum esse: at perfectum officium recte
ctum duci. Definiri autem medium officium indifferenti-
us quibusdam, quæ partim naturæ repugnantia partim
aturæ consentanea vocantur ac talem utilitatem afferunt,
t nisi ea sumamus vel repudiemus, perpetua felicitate uti
equeamus. Jam quod appetitum movet nihil aliud esse di-
unt, quam imaginationem officii confestim appetentem,
ppetitum autem esse animi ad aliquid incitati impetum.
ræterea duo esse appetituum genera, quorum alterum in
ation præditis, alterum in brutis animalibus spectetur,
quæ tamen nomine non sint notata. Nam quæ appetitio
vocatur non est appetitus rationi consentaneus, sed ejus
species. Appetitum autem rationalem recte definias, si
esse statuas mentis ad aliquid agendum incitatæ impetum:
atque huic opponi aversationem, quæ sit avocatio mentis
ab aliquo eorum quæ in fugiendis numerantur. Sed pecu-
liari etiam nomine adhibito incitationem vocant appeti-
tum, quæ agentis appetitus species est. Esse autem incita-
tionem mentis in re futura defixæ agitationem. Itaque ex
his efficitur, quatuor modis appetitum dici, duobus autem
aversationem, si habitus appetendi adjungatur quem etiam
proprie appetitum nominant, omnium appetitionum au-
ctorem. Agentis vero appetitus plures esse species, ad quas
pertineant propositum, conatus, apparatus, molitio, ele-
ctio, consilium, institutum, voluntas. Propositum igitur
esse dicunt designationem perfectionis; conatum vero ap-
petitum ante appetitum; apparatum autem actionem ante
actionem; molitionem, appetitum rei quæ jam nobis in
manu est; electionem, voluntatem ex ratiocinatione, con-
silium, electionem ante electionem; institutum, appetitum
rationi convenientem; voluntatem denique spontaneam
acturi incitationem. Omnes autem appetitus esse assen-
siones, agentes vero et motionem in se continere. Jam
vero aliis nos assentiri, alia appetere. Atque assensionem
quidem oriri ex dignatione aliqua; appetitus autem secun-
dum attributa, quæ continentur quodammodo dignitate,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἀξιώμασιν, ἢ συγκαταθέσεις. Ἐπεὶ δ' ἐν εἴδει τὸ πάθος τῆς ὁρμῆς ἐστι, λέγωμεν ἑξῆς περὶ παθῶν.

Πάθος [153] δ' εἶναί φασιν ὁρμὴν πλεονάζουσαν καὶ ἀπειθῆ τῷ αἱροῦντι λόγῳ [154], ἢ κίνησιν ψυχῆς παρὰ φύσιν, (εἶναι δὲ πάθη πάντα, τῷ γένει, τῆς ψυχῆς,) διὸ καὶ πᾶσαν πτοίαν πάθος εἶναι, καὶ πάλιν πάθος πτοίαν. Τοῦ δὲ πάθους τοιούτου ὄντος, ὑποληπτέον, τὰ μὲν πρῶτα εἶναι καὶ ἀρχηγά, τὰ δ' εἰς ταῦτα τὴν ἀναφορὰν ἔχειν. Πρῶτα δ' εἶναι τῷ γένει ταῦτα τὰ τέσσαρα [155], ἐπιθυμίαν, φόβον, λύπην, ἡδονήν. Ἐπιθυμίαν μὲν οὖν καὶ φόβον προηγεῖσθαι, τὴν μὲν πρὸς τὸ φαινόμενον ἀγαθόν, τὴν δὲ πρὸς τὸ φαινόμενον κακόν. Ἐπιγίγνεσθαι δὲ τούτοις ἡδονὴν καὶ λύπην, ἡδονὴν μέν, ὅταν τυγχάνωμεν ὧν ἐπιθυμοῦμεν, ἢ ἐκφύγωμεν ἃ ἐφοβούμεθα· λύπην δέ, ὅταν ἀποτυγχάνωμεν ὧν ἐπιθυμοῦμεν, ἢ περιπέσωμεν οἷς ἐφοβούμεθα. Ἐπὶ πάντων δὲ τῶν τῆς ψυχῆς παθῶν ἐπὶ δόξας [156] αὐτὰ λέγουσιν εἶναι· παραλαμβάνεσθαι τὴν δόξαν ἀντὶ τῆς ἀσθενοῦς ὑπολήψεως· τὸ δὲ πρόσφατον ἀντὶ τοῦ κινητικοῦ συστολῆς ἀλόγου ἢ ἐπάρσεως. Τὸ δὲ ἄλογον καὶ τὸ παρὰ φύσιν οὐ κοινῶς, ἀλλὰ τὸ μὲν ἄλογον ὅσον τὸ ἀπειθῶς τῷ λόγῳ. Πᾶν γὰρ πάθος βιαστικόν ἐστιν, ὡς καὶ πολλάκις ὁρῶντας τοὺς ἐν τοῖς πάθεσιν ὄντας ὅτι συμφέρει τόδε οὐ ποιεῖν, ὑπὸ τῆς σφοδρότητος ἐκφερομένους, καθάπερ ὑπό τινος ἀπειθοῦς ἵππου, ἀνάγεσθαι πρὸς τὸ ποιεῖν αὐτό, παρ' ὃ καὶ πολλάκις τινὰς ἐξομολογεῖσθαι λέγοντας τὸ θρυλλούμενον τοῦτο,

Γνώμην δ' ἐχοντά μ' ἡ φύσις βιάζεται [157].

γνώμην γὰρ λέγει νῦν τὴν εἴδησιν καὶ γνῶσιν τῶν ὀρθῶν πραγμάτων. Καὶ τὸ παρὰ φύσιν δ' εἴρηται [158] ἐν τῇ τοῦ πάθους ὑπογραφῇ, ὡς συμβαίνοντος παρὰ τὸν ὀρθὸν καὶ κατὰ φύσιν λόγον. Πάντες δ' οἱ ἐν τοῖς πάθεσιν ὄντες ἀποστρέφονται τὸν λόγον, οὐ παραπλησίως δὲ τοῖς ἐξηπατημένοις ἐν ὑπνοῖς, ἀλλ' ἰδιαζόντως. Οἱ μὲν γὰρ ἠπατημένοι, λόγου χάριν περὶ τὰς ἀτόμους ἀρχὰς εἶναι, διδαχθέντες ὅτι οὐκ εἰσίν, ἀφίστανται τῆς κρίσεως· οἱ δ' ἐν τοῖς πάθεσιν ὄντες, κἂν μάθωσι, κἂν μεταδιδαχθῶσιν ὅτι οὐ δεῖ λυπεῖσθαι ἢ φοβεῖσθαι, ἢ ὅλως ἐν τοῖς πάθεσιν εἶναι τῆς ψυχῆς, ὅμως οὐκ ἀφίστανται τούτων, ἀλλ' ἄγονται ὑπὸ τῶν παθῶν εἰς τὸ ὑπὸ τῆς τούτων κρατεῖσθαι τυραννίδος. Τὴν μὲν οὖν ἐπιθυμίαν [159] λέγουσιν ὄρεξιν εἶναι ἀπειθῆ λόγῳ· αἴτιον δ' αὐτῆς τὸ δοξάζειν ἀγαθὸν ἐπιφέρεσθαι, οὗ παρόντος εὖ ἀπαλλάξομεν, τῆς δόξης αὐτῆς ἐχούσης τὸ ἀτάκτως κινητικὸν καὶ πρόσφατον. Φόβον δ' εἶναι ἔκκλισιν ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτοῦ τὸ δοξάζειν κακὸν ἐπιφέρεσθαι, τῆς δόξης τὸ κινητικὸν καὶ πρόσφατον ἐχούσης τοῦ ὄντως αὐτὸ φευκτὸν εἶναι. Λύπην δ' εἶναι συστολὴν ψυχῆς ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτῆς τὸ δοξάζειν πρόσφατον κακὸν παρεῖναι, ἐφ' ᾧ καθήκει συστέλλεσθαι. Ἡδονὴν δ' εἶναι ἔπαρσιν ψυχῆς ἀπειθῆ λόγῳ, αἴτιον δ' αὐτῆς τὸ δοξάζειν πρόσφατον ἀγαθὸν παρεῖναι, ἐφ' ᾧ καθήκει ἐπαίρεσθαι. Ὑπὸ μὲν οὖν τὴν ἐπιθυμίαν ὑπάγεται [160] τὰ τοιαῦτα· ὀργὴ καὶ τὰ εἴδη αὐτῆς, (θυμός, καὶ χόλος καὶ μῆνις, καὶ κότος, καὶ πικρίαι, καὶ τὰ τοιαῦτα,) ἔρωτες σφοδροί, καὶ πόθοι, καὶ ἵμεροι, καὶ φιληδονίαι, καὶ φιλοπλουσίαι, καὶ φιλοδοξίαι, καὶ τὰ ὅμοια· ὑπὸ δὲ τὴν ἡδονὴν [161] ἐπιχαιρεκακίαι, καὶ ἀσμενισμοί, καὶ γοητεῖαι, καὶ τὰ

---

quatenus sunt assensionis causæ. Quoniam autem affectus quædam est appetitus species, deinceps de affectibus dicamus.

Affectum judicant appetitionem nimiam nec rationi duci obtemperantem; aut animi motum naturæ repugnantem, (esse autem omnes affectus in universum animi;) ideoque omnem etiam perturbationem affectum esse et omnem affectum perturbationem. Quæ quum ita sint, existimandum est, alios affectus primos ac principes esse, alios ad hos referri. Primos genere esse quatuor, cupiditatem, metum, dolorem, voluptatem. Cupiditatem igitur et metum antecedere, illam versus bonum apparens, hunc versus malum apparens. Subsequi autem voluptatem et dolorem, voluptatem quidem, si ea assequimur quæ cupimus, vel vitamus quæ metuebamus; dolorem vero, quum vel sperata non assequimur, vel in formidolosa incidimus. In omnibus vero animi affectionibus opinioni locum relinquunt, opinionem pro imbecilla opinatione accipi volentes, recentem autem opinionem pro re quæ animi, adversante ratione, vel contractionem efficiat vel elationem. Porro a recta ratione aversam et naturæ repugnantem non in universum vocant, sed irrationalem, quatenus rationi non paret. Omnis enim affectio vim affert, ita ut sæpenumero etiam homines affectibus occupati, quamvis videant satius esse hoc non facere, tamen affectuum violentia abrepti, quasi ab equo contumaci, transversi agantur atque id ipsum faciant, ideoque frequenter nonnulli de peccato confitentes vulgatum illud in ore habeant:

sed natura mihi alta mente prædito vim infert:

mentem enim vocat scientiam et cognitionem ejus quod rectum est. Quin etiam illud præter naturam in affectus descriptione dictum est, quod affectus ejurata recta ratione et cum natura conveniente accidat. Nimirum omnes commotionibus agitati aversantur rationem, non eorum quidem instar qui decepti in quacunque re sunt, sed peculiari modo. Etenim decepti, qui verbi causa atomos rerum principia esse opinantur, meliora edocti sententiam mutant; qui autem affectibus laborant, etiamsi meliore doctrina percepta discant, nec dolendum nec timendum, neque omnino animi affectionibus indulgendum esse, tamen ab iis non desistunt, sed istis affectibus abrepti sub eorum quasi jugum mittuntur. Cupiditatem igitur dicunt appetitum esse rationi non obtemperantem, ejus autem causam haberi opinionem de bono consecuturo, quo præsente felices erimus, ipsa opinione mirum quantum ad appetendam rerum novitatem impellente.

ὑπὸ δὲ τὸν φόβον [162], ὄκνοι καὶ ἀγωνία, καὶ αἰ-
καὶ θόρυβοι, καὶ ἐκπλήξεις, καὶ δεισιδαιμονίαι,
ος, καὶ δείματα· ὑπὸ δὲ τὴν λύπην [163], φθόνος,
ζηλοτυπία, ἔλεος, πένθος, ἄχθος, ἄχος, ἀνία,
ἄση. Ὀργὴ [164] μὲν οὖν ἐστιν ἐπιθυμία τιμωρή-
τὸν δοκοῦντα ἠδικηκέναι παρὰ τὸ προσῆκον· θυ-
δὲ ὀργὴ ἐναρχομένη· χόλος [166] δέ, ὀργὴ διοιδοῦσα·
[167] δέ, ὀργὴ εἰς παλαίωσιν ἀποτιθεμένη ἢ ἐναπο-
κότος δέ, ὀργὴ ἐπιτηροῦσα καιρὸν εἰς τιμωρίαν·
δέ, ὀργὴ παραχρῆμα ἐκρηγνυμένη· ἔρως [168] δέ,
φιλοποιίας διὰ κάλλος ἐμφαινόμενον· πάθος δέ,
ία τοῦ ἔτι [169] ἀπόντος· ἵμερος δέ, ἐπιθυμία φί-
όντος ὁμιλίας· φιληδονία δέ, ἐπιθυμία ἡδονῶν·
ουτία δέ, πλούτου· φιλοδοξία δέ, δόξης· ἐπιχαι-
α δέ, ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· ἀσμενισμὸς δέ,
ἐπὶ ἀπροσδοκήτοις· γοητεία δέ, ἡδονὴ δι' ὄψεως
πάτην· ὄκνος δέ, φόβος μελλούσης ἐνεργείας·
α δέ, φόβος διαπτώσεως, καὶ ἕτερος, φόβος
ἔκπληξις δέ, φόβος ἐξ ἀσυνήθους φαντασίας·
η δέ, φόβος ἀδοξίας· θόρυβος δέ, φόβος μετὰ
κατεπείγων [170]· δεισιδαιμονία δέ, φόβος θεῶν
ιμόνων· δέος δέ, φόβος δεινοῦ· δεῖμα [171] δέ,
ἐκ λόγου· φθόνος δέ, λύπη ἐπ' ἀλλοτρίοις ἀγα-
θοῖς· ζῆλος δέ, λύπη ἐπὶ τῷ ἕτερον ἐπιτυγχάνειν ὧν
αὐτὸς ἐπιθυμεῖ, αὐτὸν δὲ μή· λέγεσθαι δὲ καὶ ἕτερος
ζῆλον, μακαρισμοῦ ἔνδειαν, ἤτοι ἄλλου μίμησιν ὡς ἂν
κρείττονος· ζηλοτυπίαν [172] δέ, λύπην ἐπὶ τῷ ἕτερον
ἐπιτυγχάνειν ὧν αὐτὸς ἐπιθυμεῖ· ἔλεος δέ, λύπην ἐπὶ
τῷ δοκοῦντι ἀναξίως κακοπαθεῖν· πένθος δέ, λύπην ἐπὶ
θανάτῳ ἀώρῳ· ἄχθος δέ, λύπην βαρύνουσαν· ἄχος δέ,
λύπην ἀφωνίαν ἐμποιοῦσαν· ἀνίαν δέ, λύπην κατὰ δια-
λογισμόν· ὀδύνην δέ, λύπην εἰσδύνουσαν καὶ καθικνου-
μένην· ἄσην δέ, λύπην μετὰ ῥιπτασμοῦ. Τούτων δὲ
τῶν παθῶν τὰ μὲν ἐμφαίνειν τὸ ἐφ' ᾧ γίγνεται, οἷον
ἔλεον, φθόνον ἐπιχαιρεκακίαν, αἰσχύνην· τὰ δὲ τὴν
ἰδιότητα τῆς κινήσεως, οἷον ὀδύνην, δεῖμα.

Εὐεμπτωσίαν δ' εἶναι εὐκαταφορίαν εἰς πάθος,
ὡς ε'ς τι τῶν παρὰ φύσιν ἔργων, οἷον ἐπιλυπίαν, ὀρ-
γιλότητα, φθονερίαν, ἀκροχολίαν, καὶ τὰ ὅμοια. Γί-
γνεσθαι δὲ εὐεμπτωσίας καὶ εἰς ἄλλα ἔργα τῶν παρὰ
φύσιν, οἷον εἰς κλοπάς, καὶ μοιχείας, καὶ ὕβρεις, καθ'
ἃς κλέπται τε καὶ ὑβρισταὶ καὶ μοιχοὶ λέγονται. Νό-
σημα δ' εἶναι δόξαν ἐπιθυμίας ἐῤῥυηκυῖαν εἰς ἕξιν, καὶ
ἐνεσκιῤῥωμένην, καθ' ἣν ὑπολαμβάνουσι τὰ μὴ αἱρετὰ
σφόδρα αἱρετὰ εἶναι, οἷον φιλογυνίαν, φιλοινίαν, φιλαρ-
γυρίαν· εἶναι δέ τινα καὶ ἐναντία τούτοις τοῖς νοσήμασι

---

metum esse devitationem rationi non obtempe-
, causam autem ejus statui opinionem instantis
opinione ipsa ad vitandam mali illius novitatem im-
e. Tristitiam vero esse contractionem animi ra-
non obsecundantem, cujus causa sit opinio recens
adesse, propter quod demitti contrahique animo
iat. At lætitiam esse animi elationem rationi non
ntem, cujus causa sit opinio boni recentis ac præ-
in quo efferri deceat. Jam vero sub cupiditatem
untur ira et species ejus, (excandescentia, item
porro odium, nec non simultas, acerbitas et quæ
ujusmodi;) præterea amor acer, aviditas, deside-
voluptatum denique, divitiarum, gloriæ similium-
rum cupiditas : sub lætitiam autem cadunt malevo-
gaudium, præstigiæ atque alia hujus generis : at
subjacent ignavia, trepidatio, pudor, sollicitudo,
rnatio, superstitio, angor, timor : dolori denique
nt invidentia, æmulatio, obtrectatio, misericordia,
, ærumna, mœror, tristitia, molestia, fastidium. Ira
est libido puniendi ejus qui videtur læsisse injuria;
descentia, ira incipiens; bilis, ira intumescens;
odium, ira inveterata vel reposita; præterea simul-
ra ulciscendi occasionem captans; insuper acerbitas,
nfestim erumpens; amor autem, amicitiæ propter
ficuam pulchritudinem conjungendæ conatus; deside-
vero, cupiditas ejus qui adhuc absit videndi; appe-
, cupiditas consuetudinis absentis amici; verum vo-
tum, divitiarum, gloriæ cupiditates ipso nomine ex-
atur; malevolentia, voluptas ex alienis malis percepta;
um, voluptas ex rebus inopinatis; præstigiæ, volu-
ptas oculorum per dolum; at ignavia, metus futuræ actionis; trepidatio, metus offensionis, vel aliis verbis, metus causæ inferioris; consternatio, metus viso insueto objectu conceptus; pudor, metus ignominiæ; sollicitudo, metus ingens cum voce; superstitio, reverentia adversus deos et genios; angor, metus mali alicujus; timor, metus cum ratione conjunctus; denique invidentia, ægritudo suscepta propter alterius res secundas; æmulatio, ægritudo si eo quod quis concupierit alius potiatur, ipse careat; constat tamen dici æmulationem et alio sensu, ut sit alterius et superioris quidem imitatio ad consequendam beatitudinis prædicationem necessaria; obtrectationem autem, ægritudinem ex eo quod alter potiatur eo quod ipse concupiverit; misericordiam vero, ægritudinem ex alterius miseria qua immerito videtur premi; luctum contra, ægritudinem ex alterius morte immatura; ærumnam, ægritudinem ingravescentem; mœrorem, ægritudinem quæ facit ut obmutescamus; tristitiam autem, ægritudinem cum ratiocinatione; molestiam, ægritudinem in animo insidentem atque inhærentem; fastidium denique ægritudinem cum fluctuatione. Horum autem affectuum alios nomine naturam suam indicare, ut misericordiam, invidentiam, malevolentiam, pudorem, alios vero commotionis proprietatem, ut molestiam, timorem. Proclivitatem autem esse facilitatem incidendi in affectus, ut in aliquid quod præter naturam est, cujusmodi esse perhibentur mœstitia, iracundia, livor, animus in iram præceps, et similia. Pertinere vero proclivitatem ad alias quoque res naturæ repugnantes, velut furta, adulteria, injurias, quatenus earum rerum auctores furea, injuriosi, adulteri vocantur. Mor-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κατὰ προσκοπὴν [173] γιγνόμενα, οἷον μισογυνίαν, μισοιπνίαν, μισανθρωπίαν. Τὰ δὲ νοσήματα μετ' ἀσθενείας συμβαίνοντα, ἀῤῥωστήματα καλεῖσθαι. Κατόρθωμα δ' εἶναι λέγουσι καθῆκον, πάντας ἐπέχον τοὺς ἀριθμούς, ἢ καθάπερ προείπομεν, τέλειον καθῆκον· ἁμάρτημά τε, τὸ παρὰ τὸν ὀρθὸν λόγον πραττόμενον, ἢ ἐν ᾧ παραλέλειπταί τι καθῆκον ὑπὸ λογικοῦ ζῴου. Τά τε ἀγαθὰ πάντα τῶν σπουδαίων εἶναι λέγουσι, καθ' ὃ καὶ τὸν ὠφελοῦντά τινα τῶν πλησίον καὶ ἑαυτὸν ὠφελεῖν. Τήν τε ὁμόνοιαν ἐπιστήμην εἶναι κοινῶν ἀγαθῶν, δι' ὃ καὶ τοὺς σπουδαίους πάντας ὁμονοεῖν ἀλλήλοις, διὰ τὸ συμφωνεῖν ἐν τοῖς κατὰ τὸν βίον· τοὺς δὲ φαύλους διαφωνοῦντας πρὸς ἀλλήλους, ἐχθροὺς εἶναι καὶ κακοποιητικοὺς ἀλλήλων καὶ πολεμίους. Τό τε δίκαιόν φασι φύσει εἶναι καὶ μὴ θέσει. Ἑπόμενον δὲ τούτοις ὑπάρχειν καὶ τὸ πολιτεύεσθαι τὸν σοφὸν καὶ μάλιστα ἐν ταῖς τοιαύταις πολιτείαις ταῖς ἐμφαινούσαις τινὰ προκοπὴν πρὸς τὰς τελείας πολιτείας [174], καὶ τὸ νομοθετεῖν δέ, καὶ τὸ παιδεύειν ἀνθρώπους, ἔτι δὲ συγγράφειν τὰ δυνάμενα ὠφελεῖν τοὺς ἐντυγχάνοντας τοῖς γράμμασιν, οἰκεῖον εἶναι τοῖς σπουδαίοις, καὶ τὸ συγκαταβαίνειν καὶ εἰς γάμον καὶ εἰς τεκνογονίαν, καὶ αὐτοῦ χάριν καὶ τῆς πατρίδος, καὶ ὑπομένειν περὶ ταύτης, ἐὰν ᾖ μέτρια, καὶ πόνους καὶ θάνατον. Παρακεῖσθαι δὲ τούτοις φαῦλα, τό τε δημοκοπεῖν καὶ τὸ σοφιστεύειν, καὶ τὸ συγγράφειν ἐπὶ βλάβῃ τοῖς ἐντυγχάνουσιν, ἅπερ εἰς σπουδαίους οὐκ ἂν πέσοι.

Τριχῶς δὲ λεγομένης τῆς φιλίας, καθ' ἕνα μὲν τρόπον τῆς κοινῆς ἕνεκα χρείας, καθ' ἣν φίλοι εἶναι λέγονται, ταύτην μὲν οὔ φασι τῶν ἀγαθῶν εἶναι, διὰ τὸ μηδὲν ἐξ ἀδιεστηκότων ἀγαθὸν εἶναι κατ' αὐτούς· τὴν δὲ κατὰ τὸ δεύτερον σημαινόμενον λεγομένην φιλίαν, καὶ σχέσιν οὖσαν φιλικὴν πρὸς τὸν πέλας, τῶν ἐκτὸς λέγουσιν ἀγαθῶν· τὴν δὲ περὶ αὐτὸν φιλίαν, καθ' ἣν φίλος ἐστὶ τῶν πέλας, τῶν περὶ ψυχὴν ἀποφαίνουσιν ἀγαθῶν. Εἶναι δὲ καὶ καθ' ἕτερον τρόπον κοινὰ τὰ ἀγαθά. Πάντα γὰρ τὸν ὀντινοῦν ὠφελοῦντα ἴσην ὠφέλειαν ἀπολαμβάνειν νομίζουσι παρ' αὐτὸ τοῦτο, μηδὲν δὲ φαῦλον μήτε ὠφελεῖσθαι μήτε ὠφελεῖν. Εἶναι γὰρ τὸ ὠφελεῖν ἴσχειν κατ' ἀρετήν, καὶ τὸ ὠφελεῖσθαι, κινεῖσθαι κατ' ἀρετήν. Οἰκονομικὸν δ' εἶναι μόνον λέγουσι τὸν σπουδαῖον καὶ ἀγαθὸν οἰκονόμον. Ἔτι δὲ χρηματιστικόν. Τὴν μὲν γὰρ οἰκονομικὴν εἶναι θεωρητικὴν ἕξιν καὶ πρακτικὴν τῶν οἴκῳ συμφερόντων· τὴν δ' οἰκονομίαν, διάταξιν περὶ ἀναλωμάτων καὶ ἔργων, καὶ κτήσεως ἐπιμέλειαν, καὶ τῶν κατ' ἀγρὸν ἐργαζομένων. Τὴν δὲ χρηματιστικήν, ἐμπορίαν περιποιήσεως χρημάτων ἀφειδῶς, καὶ ἕξιν ὁμολογουμένως ἀναστρέφεσθαι ποιοῦσαν ἐν συναγωγῇ χρημάτων, καὶ τηρήσει, καὶ ἀναλώσει πρὸς εὐπορίαν· τὸ δὲ χρηματίζεσθαι τινὲς μὲν μέσον εἶπον εἶναι, τινὲς δ' ἀστεῖον. Φαῦλον δὲ μηδένα προστάτην ἀγαθὸν οἷόν τε γίγνεσθαι, μηδὲ δύνασθαι οἰκίαν εὖ οἰκονομεῖν. Μόνον δὲ τὸν σπουδαῖον ἄνδρα χρηματιστικὸν εἶναι, γινώσκοντα ἀφ' ὧν χρηματιστέον, καὶ πότε, καὶ πῶς, καὶ μέχρι πότε. Φασὶ δὲ μηδέποτε συγγνώμην ἔχειν,

---

bum autem esse cupiditatis opinionem in habitum mutatam ac penitus insitam, qua ducti non eligenda pro valde eligendis habent, ut mulierositatem, ebriositatem, avaritiam; nec non his morbis contraria reperiri quæ offensione aliqua oriuntur, ut odium mulierum, vini, hominum. Morbos vero cum imbecillitate conjunctos ægrotationes vocari. Cæterum recte factum esse affirmant officium omnibus numeris absolutum, vel quemadmodum supra diximus perfectum; peccatum contra, quod præter rectam rationem fit, vel in quo officii aliquid prætermissum est ab animali ratione prædito. Omnia præterea bona proborum hominum esse ajunt, quatenus qui alteri prosit se ipsum quoque juvet. Concordiam vero appellari scientiam bonorum communium, ideoque etiam probos homines cunctos inter se concordiæ vinculo colligatos esse, quum in iis quæ ad vitam pertinent, consentiant; pravos contra inter se discordes, mutuo esse inimicos et hostium instar invicem nocere. Jus vero dicunt natura esse, non constitutione. Sequi autem inde ut sapiens rempublicam quoque capessat, et maxime quidem in tali civitate quæ ad perfectam quodammodo accedere videatur, porro leges ferre et instituere homines ac litteris mandare ingenii monumenta quæ legentibus prodesse possint, probi hominis proprium existimari; nec non ad nuptias et liberorum procreationem sese demittere, tum sui ipsius tum patriæ causa, pro qua, si res postulet, labores etiam mortemque ferre non dubitet. Finitima autem his esse prava, ut populo blandiri, sophistam agere, inutilia conscribere et legentibus nocitura; quæ nunquam cadant in homines probos.

Amicitia autem quum trifariam accipiatur, primum videlicet communis utilitatis causa, qua ducti amicos nominantur, hanc quidem bonis non annumerant, quoniam nullum prorsus bonum de eorum sententia ex diversis rebus constet : at quæ altero sensu dicitur amicitia e naturali in alios inclinatione orta, hanc bonis externis annumerant : tertiam denique amicitiæ speciem, qua illius ipsius causa, quem diligit, alter alteri amicus est, in animi bonis ducunt. Sed alio quoque modo bona judicant esse communia. Etenim qui alterum juvat, eum ex hac ipsa re non minus utilitatis capere arbitrantur; improbum vero neminem nec juvari nec juvare. Etenim juvare esse nihil aliud quam monstrare studium virtutis, juvari autem meveri cum virtute. Porro privatæ vitæ rationem solum tenere contendunt bonum et peritum rerum domesticarum dispensatorem. Item quærendæ pecuniæ artificem. Quippe privatæ vitæ rationem esse animi habitum tam activum quam contemplativum tuendæ rei familiari intentum; sed rei domesticæ administrationem nominari impensarum operum descriptionem curamque tum possessionum tum

νομίζειν [175] τὸν ἡμαρτηκότα μὴ παρ' αὐτὸν ἡ-
τηκέναι, πάντων ἁμαρτανόντων παρὰ τὴν ἰδίαν
ν [176]· δι' ὃ καὶ δεόντως λέγεσθαι τὸ μηδὲν συγ-
ην ἔχειν τοῖς ἁμαρτάνουσιν. Οὐδ' ἐπιεικῆ φα-
εἶναι τὸν ἀγαθὸν ἄνδρα, τὸν γὰρ ἐπιεικῆ παραι-
ν εἶναι τῆς κατ' ἀξίαν κολάσεως, καὶ τοῦ αὐτοῦ
ἐπιεικῆ τε εἶναι, καὶ ὑπολαμβάνειν τὰς ἐκ τοῦ
τεταγμένας κολάσεις τοῖς ἀδικοῦσι σκληροτέρας
καὶ τὸ ἡγεῖσθαι παρὰ τὴν ἀξίαν ἀπονέμειν τὰς
εις τὸν νομοθέτην. Τόν τε νόμον σπουδαῖόν εἶναί
λόγον ὀρθὸν ὄντα προστακτικὸν μὲν τῶν ποιη-
ἀπαγορευτικὸν δὲ τῶν οὐ ποιητέων. Τοῦ δὲ νό-
στείου ὄντος, καὶ ὁ νόμιμος ἀστεῖος ἀνήρ· νόμι-
ν γὰρ εἶναι ἄνδρα τὸν ἀκολουθητικὸν τῷ νόμῳ καὶ
τικὸν τῶν ὑπ' αὐτοῦ προσταττομένων· νομικὸν
ν ἐξηγητικὸν τοῦ νομίμου. Μηδένα δὲ τῶν φαύ-
ήτε νόμιμον εἶναι μήτε νομικόν.

τι δὲ τῶν ἐνεργημάτων φασὶ τὰ μὲν εἶναι κατορ-
τα, τὰ δὲ ἁμαρτήματα, τὰ δ' οὐδέτερα. Καθορ-
τα μὲν τὰ τοιαῦτα· φρονεῖν, σωφρονεῖν, δικαιο-
εῖν, χαίρειν, εὐεργετεῖν, εὐφραίνεσθαι, φρονίμως
ατεῖν, πάνθ' ὅσα κατὰ τὸν ὀρθὸν λόγον πράττεται·
τήματα δ' εἶναι, τό τε ἀφραίνειν, καὶ τὸ ἀκολα-
ειν, καὶ τὸ ἀδικεῖν, καὶ τὸ λυπεῖσθαι, καὶ τὸ
σθαι, καὶ τὸ κλέπτειν, καὶ καθόλου ὅσα παρα τὸν
λόγον πράττεται· οὔτε δὲ κατορθώματα οὔτε
ἁμαρτήματα, τὰ τοιαῦτα· λέγειν, ἐρωτᾶν, ἀποκρίνε-
σθαι, περιπατεῖν, ἀποδημεῖν, καὶ τὰ τούτοις παρα-
πλήσια. Πάντα δὲ τὰ κατορθώματα δικαιοπραγήματα
εἶναι, καὶ εὐνοήματα, καὶ εὐτακτήματα, καὶ εὐεπιτη-
δεύματα, καὶ εὐτυχήματα, καὶ εὐδαιμονήματα, καὶ
εὐκαιρήματα, καὶ εὐσχημονήματα· οὐκ ἔτι μέντοι γε
φρονιμήματα [178], ἀλλὰ μόνα τὰ ἀπὸ φρονήσεως, καὶ
ὁμοίως ἐπὶ τῶν ἄλλων ἀρετῶν, εἰ καὶ μὴ ὠνόμασται,
οἷον σωφρονήματα μὲν τὰ ἀπὸ σωφροσύνης· δικαιώ-
ματα δέ, τὰ ἀπὸ δικαιοσύνης. Τὰ δὲ ἁμαρτήματα ἐκ
τῶν ἀντικειμένων ἀδικοπραγήματα, καὶ ἀνοήματα καὶ
ἀτακτήματα. Διαφέρειν [179] δὲ λέγουσιν, ὥσπερ αἱρετὸν
καὶ αἱρετέον, οὕτω καὶ ὀρεκτὸν καὶ ὀρεκτέον, καὶ βου-
λητὸν καὶ βουλητέον, καὶ ἀποδεκτὸν καὶ ἀποδεκτέον.
Αἱρετὰ μὲν γὰρ εἶναι καὶ βουλητά, καὶ ὀρεκτὰ καὶ
ἀποδεκτὰ τὰ ἀγαθά· αἱρετέα δὲ καὶ βουλητέα, καὶ
ὀρεκτέα, καὶ ἀποδεκτέα ἃ κατηγορήματα ὄντα παρα-
κείμενά ἐστι τοῖς ἀγαθοῖς. Αἱρεῖσθαι μὲν γὰρ ἡμᾶς τὰ
αἱρετέα καὶ βούλεσθαι τὰ βουλητέα, καὶ ὀρέγεσθαι τὰ
ὀρεκτέα. Κατηγορημάτων γὰρ αἵ τε αἱρέσεις καὶ ὀρέ-
ξεις καὶ βουλήσεις γίγνονται, ὥσπερ καὶ αἱ ὁρμαί·
ἔχειν μέντοι αἱρούμεθα, καὶ βουλόμεθα, καὶ ὁμοίως
ὀρεγόμεθα τἀγαθά, διὸ καὶ αἱρετὰ καὶ βουλητὰ καὶ
ὀρεκτὰ ἀγαθά ἐστι. Τὴν γὰρ φρόνησιν αἱρούμεθα
ἔχειν, καὶ τὴν σωφροσύνην· οὐ μὰ Δία τὸ φρονεῖν καὶ
σωφρονεῖν, ἀσώματα ὄντα καὶ κατηγορήματα. Λέ-

---

qui opus rusticum faciunt. At meritorium artificium
peritiam opum large comparandarum et habitum qui
ut apte in negotiis versemur simul ad divitias pa-
s, simul ad conservandas et impendendas cum
tu. Verum pecuniam quærere alii medium, alii ho-
m esse dixerunt. Cæterum improbum neminem recte
læ præesse, nec domum bene administrare posse.
n videlicet virum bonum quærendæ pecuniæ artifi-
esse, quippe qui sciat unde parandæ sint divitiæ et
do et quomodo et quousque. Nunquam etiam volunt
cere probum, nec credere eum qui peccavit non sua
e peccasse, quia omnes suo vitio peccent ideoque
eum dici nunquam peccantibus veniam dare. Nec
entem esse ajunt virum bonum quod clemens justum
dicium deprecetur atque ejusdem sit et clementem
et pœnas legibus constitutas, quibus peccantes com-
antur, credere justo duriores esse ac propterea existi-
e legislatorem haudquaquam meritas pœnas consti-
e. Præterea legem bonam judicant, quia sit recta ra-
imperans ea quæ facienda sunt prohibensque contraria.
m autem lex bona sit, vir æquus etiam bonus erit :
um enim esse virum qui obtemperet legibus faciatque
jura moresque præscribunt; legis peritum vero, qui
t sit legitimum exponat. Neminem autem improborum
ue æquum esse neque legis peritum.

Præterea functiones dicunt partim esse recte facta, par-
peccata, partim neutra. Recte facta judicari hæc :
sapere, temperantem esse, juste agere, gaudere, bene-
facere, lætari, prudenter ambulare, denique omnia quæ
recta ratione duce fiunt; peccata autem esse, desipere,
libidinari, injuste agere, item dolere, porro timere, præ-
terea furari atque omnino quæcunque præter rectam ra-
tionem fiunt; denique neque recte facta neque peccata
haberi talia : dicere, interrogare, respondere, ambulare,
peregrinari et similia. Omnia vero recte facta esse etiam
juste et cogitate et ordine et laudabili studio et prospero
successu et feliciter et tempestive et decore facta; nec ta-
men ideo etiam prudenter facta, sed tantum prudentiæ
congrua, pariterque in cæteris virtutibus, quamvis nomi-
nibus careant, verbi causa facinora pudica pudicitiæ con-
grua, item juste facta justitiæ congrua. At peccata ex op-
positis nominari injuste, imprudenter, petulanter facta.
Differre autem dicunt sicut electum et eligendum, ita ap
petitum quoque et appetendum, et desideratum et deside
randum, et acceptum et accipiendum. Electa enim esse et
desiderata et appetita et accepta bona : eligenda vero et
desideranda et appetenda et accipienda, quæ ut attributa
proxime ad bona accedant. Eligere enim nos eligenda,
desiderare desideranda, appetere appetenda. Electiones
enim, appetitus ac desideria cupiditatum instar circa at-
tributa sunt; habere vero volumus ac desideramus pari-
terque appetimus bona, et idcirco tum electa, tum desi-
derata, tum appetita sunt bona. Prudentiam enim ac
temperantiam habere cupimus; non hercle sapere et nobis

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ταῦτα ἢ πρὸς ἄλληλα ὑπάρχειν ἢ πρὸς ἡμᾶς, ἐν πᾶσι δὲ τὸ μέσον τὸ πρὸς ἡμᾶς βέλτιστον, τοῦτο γάρ ἐστιν ὅπερ [261] ἡ ἐπιστήμη κελεύει καὶ ὁ λόγος (τὸ γὰρ μέσον οὐ τὸν τοῦ ποσοῦ τόπον ὁρίζειν, ἀλλὰ τὸν ποιοῦ, δι' ὃ καὶ τέλειον εἶναι τῷ οὕτω καὶ ἄκρως ἔχειν· τὰ δ' ἐναντία πως καὶ ἀλλήλοις ἀντικεῖσθαι καὶ τῷ μέσῳ· ἐναντία δ' εἶναι τήν τ' ἔλλειψιν καὶ τὴν ὑπερβολήν, τὸ δὲ μέσον πρὸς ἑκάτερον ἔχειν, ὅπερ τὸ ἴσον πρὸς τὸ ἄνισον πέπονθε, τοῦ μὲν ἐλάττονος πλεῖον ὄν, τοῦ δὲ πλείονος ἔλαττον). Τὸ οὖν πρὸς ἡμᾶς μέσον ἄριστον, οἷόν φησιν ὁ Θεόφραστος ἐν τοῖς περὶ Εὐτυχίας, ὁδὶ μὲν πολλὰ διελθὼν καὶ μακρῶς ἀδολεσχήσας, ὁδὶ δ' ὀλίγα μὲν οὐδὲ τἀναγκαῖα, οὗτος δὲ αὐτὰ ἃ ἔδει, μηδὲ τὸν καιρὸν λαβών. Αὕτη μεσότης πρὸς ἡμᾶς, αὕτη γὰρ ὑφ' ἡμῶν ὥρισται τῷ λόγῳ. Δι' ὃ ἐστιν ἡ ἀρετὴ ἕξις προαιρετική, ἐν μεσότητι οὖσα τῇ πρὸς ἡμᾶς, ὡρισμένη λόγῳ, καὶ ὡς ἂν [262] ὁ φρόνιμος ὁρίσειεν. Εἶτα παραθέμενος τινὰς συζυγίας, ἀκολούθως τῷ ὑφηγητῇ, σκοπεῖν ἔπειτα καθ' ἕκαστα ἐπάγων ἐπειράθη τὸν τρόπον τοῦτον. Ἐλήφθησαν δὲ παραδειγμάτων χάριν αἵδε· σωφροσύνη, ἀκολασία, ἀναισθησία· πραότης, ὀργιλότης, ἀναλγησία· ἀνδρεία, θρασύτης, δειλία· δικαιοσύνη; [263], ἐλευθεριότης, ἀσωτία, ἀνελευθερία· μεγαλοψυχία, μικροψυχία, χαυνότης· μεγαλοπρέπεια, μικροπρέπεια, σαλακωνία. Τούτων δὴ τῶν ἕξεων αἱ μὲν τῷ ὑπερβάλλειν ἢ ἐλλείπειν περὶ πάθη φαῦλαί εἰσιν, αἱ δὲ σπουδαῖαι, τῷ μεσότητες εἶναι ὁηλονότι. Σώφρονά τε γὰρ εἶναι, οὔτε τὸν καθάπαξ ἀνεπιθύμητον, οὔτε τὸν ἐπιθυμητικόν· (τὸν μὲν γὰρ λίθου δίκην μηδὲ τῶν κατὰ φύσιν ὀρέγεσθαι, τὸν δὲ τῷ ὑπερβάλλειν ταῖς ἐπιθυμίαις ἀκόλαστον εἶναι· τὸν δὲ μέσον τούτων ὃ δεῖ [264], καὶ ὁπότε, καὶ ὁπόσον ἐπιθυμοῦντα, καὶ τῷ λόγῳ κατὰ τὸ προσῆκον ὁρίζοντα καθάπερ κανόνι, σώφρονα λέγεσθαί τε καὶ κατὰ φύσιν εἶναι) πρᾷόν τε, οὔτε τὸν ἐπὶ παντὶ ὀργιζόμενον κἂν μικρότατον ᾖ [265], οὔτε τὸν ἐπὶ μηδενὶ ὀργιζόμενον, ἀλλὰ τὸν τὴν μέσην ἔχοντα ἕξιν· ἀνδρεῖόν τε, οὔτε τὸν μηδὲν φοβούμενον, κἂν ᾖ θεὸς ὁ ἐπιών, οὔτε τὸν πάντα, καὶ τὸ δὴ λεγόμενον τὴν σκιάν· δίκαιον δέ, οὔτε τὸν τὸ πλεῖον ἑαυτῷ νέμοντα, οὔτε τὸν τὸ ἔλαττον, ἀλλὰ τὸν τὸ ἴσον· τὸ δ' ἴσον τὸ κατὰ τὸ ἀνάλογον, οὐ κατ' ἀριθμόν· ἐλευθέριόν τε, οὔτε τὸν προετικὸν ὅπως ἔτυχεν, οὔτε τὸν μηδὲν δαπανῶντα, ἀλλὰ τὸν μηδὲν ἀπροαιρέτως [266]· μεγαλόψυχόν τε, οὔτε τὸν μεγάλων πάντων ἀξιοῦντα ἑαυτόν, οὔτε τὸν μηδενὸς ὅμως, ἀλλὰ τὸν τὸ δέον ἀφ' ἑκάστου λαμβάνοντα, καὶ εἰς τὸ κατ' ἀξίαν· μεγαλοπρεπῆ τε, οὔτε τὸν πάντοτε καὶ ἔνθα μὴ δεῖ λαμπρόν, οὔτε τὸν μηδαμοῦ, ἀλλὰ τὸν κατὰ καιρὸν ἁρμόττοντα εἰς ἕκαστον. Τοιοῦτο μὲν τὸ τῶν ἠθικῶν ἀρετῶν εἶδος παθητικόν, καὶ κατὰ μεσότητα θεω-

---

perhibemur, ut verbi gratia irascamur vel timeamus vel æmulemur, vel simili quodam modo afficiamur; habitus vero, quorum ope ad perturbationes quodammodo propensi sumus et per quos harum functio bene vel male cedit. Quare si quis tam præceps in iram sit, ut qualibet causa et plane irritetur, eum iracundiæ habitum gerere appareat; sin ita sit affectus, ut neque omnino irascatur neque ulla causa irritetur, in eo socordiæ habitum inesse; quumque utrumque sit vituperandum, laudari mansuetudinis habitum, cui convenienter justo et tempore et modo et cui succensere oportet irascimur. Habitus igitur esse virtutes, quarum beneficio functiones in affectibus laudari constat. Quum igitur virtus in agendo cernatur, actionem autem omnem continuam esse conveniat, omnem vero continuitatem æque ac magnitudinem nimium, parum et medium habere par sit, quæ vel inter se comparentur vel ad nos referantur, medium ad nos relatum in omnibus esse optimum scientia et ratio statuere nos cogit; quod enim nobis medium est, id non quantitatis sed qualitatis locum obtinere, quare et perfectum esse, quod sic etiam præstantissimum sit. At contraria quodammodo et inter se et cum medio pugnare, esse autem contraria parum ac nimium, medium vero ad utrumque eandem habere rationem, quam æquale ad inæquale, quum sit tum minore majus, tum majore minus. Quod igitur nobis medium est, id optimum esse liquet, quale etiam Theophrastus esse vult in libro de Fortuna, homo partim verbosus et loquax, partim brevis minusque quam necessarium est dicendo obscurus, quum Aristoteles alieno loco ea quæ dicenda erant dixerit. Ita hoc nobis medium est quod jam definivimus. Quamobrem virtus vocatur habitus electionis, in eo quod nobis medium est sita, simul superiori disputatione nostra, simul, quemadmodum vir prudens statuere potest, definita. Tum Theophrastus positis aliquot copulationibus ad magistri doctrinam accommodate deinceps singula quæ adjicit hoc modo spectare tentavit. Cæterum exempla ab eo allata sunt hæcce: temperantia, intemperantia, torpor; mansuetudo, iracundia, stupor; fortitudo, audacia, timiditas; [justitia], liberalitas, profusio, sordes; magnanimitas, animi contractio, fastus; magnificentia, tenacitas, prodigalitas. Ex his igitur habitibus alii propter abundantiam vel inopiam circa affectus vitiosi sunt, alii probi, quod videlicet mediocritates judicentur. Neque enim temperantem esse qui prorsus vacuus cupiditate sit, neque qui ad concupiscendum sit propensus, quum alter lapidis instar ne naturalia quidem appetat, alter nimia cupiditate reddatur intemperans; sed qui mediocritatem quæ est inter nimium et parum tenendo id quod decet et quando decet et quantum decet concupiscit, ac ratione velut regula recte omnia definit, temperantem hunc dici et esse secundum naturam; mansuetum porro nec qui omni, etiamsi minima sit, nec qui nulla de causa irascatur, sed qui medium habitum gerat; præterea fortem neque eum qui nihil timeat, etiamsi deus ipsum aggrediatur, neque qui omnia et quod dici solet etiam umbram timeat; justum vero neque qui ni-

ρούμενον, ὃ δὴ καὶ ἀνταχολουθίαν ἔχει [267], πλὴν οὐχ μοίως, ἀλλ' ἡ μὲν φρόνησις ταῖς ἠθικαῖς κατὰ τὸ ἴδιον, ῦται δ' ἐκείνη κατὰ συμβεβηκός. Ὅτι μὲν γὰρ δίαιός ἐστι καὶ φρόνιμος, ὁ γὰρ τοιόσδε αὐτὸν λόγος εἰοποιεῖ, οὐ μὴν ὅτι φρόνιμος καὶ δίκαιος κατὰ τὸ ἴδιον, λλ' ὅτι τῶν καλῶν κἀγαθῶν κοινῶς πρακτικός, φαύου δ' οὐδενός.

Τῶν δὲ παθῶν καὶ ὁρμῶν τὰ μὲν εἶναι ἀστεῖα, τὰ φαῦλα, τὰ δὲ μέσα. Ἀστεῖα μέν, φιλίαν, χάριν, ἔλεον, αἰδῶ, θάρσος, ἔλεον· φαῦλα δέ, φθόνον, ἐπιαιρεκακίαν, ὕβριν· μέσα δέ, λύπην, φόβον, ὀργήν, δονήν, ἐπιθυμίαν. Τούτων δὲ τὰ μὲν αἱρετέον κακπαξ, τὰ δὲ ὁριστέον. Πᾶν δὲ πάθος περὶ ἡδονὴν νίστασθαι καὶ λύπην, δι' ὃ καὶ περὶ ταύτας τὰς θικὰς ἀρετὰς ὑπάρχειν. Φιλαργυρίαν δέ, καὶ φιδονίαν, καὶ ἐρωτομανίαν, καὶ τὰ τοιαῦτα, ἕξεις ναι ἀλλοίας παρὰ τὰς κακίας. Ἔρωτα δ' εἶναι τὸν ἐν φιλίας, τὸν δὲ συνουσίας, τὸν δὲ ἀμφοῖν· δι' ὃ καὶ ν μὲν σπουδαῖον, τὸν δὲ φαῦλον, τὸν δὲ μέσον.

Τῆς φιλίας δ' εἶναι διαφορὰς τέσσαρας, ἑταιρικήν, γγενικήν, ξενικήν, ἐρωτικήν· εἰ δὲ καὶ εὐεργετικὴν καὶ υμαστικὴν συγκαταριθμητέον, λόγου δεῖ. Ἀρχὴν δὲ ς μὲν ἑταιρικῆς εἶναι τὴν συνήθειαν, τῆς δὲ συγγενικῆς, τὴν φύσιν, τῆς δὲ ξενικῆς τὴν χρείαν, τῆς δὲ ἐρωτικῆς τὸ πάθος, τῆς δὲ εὐεργετικῆς τὴν χάριν, τῆς δὲ θαυμαστικῆς τὴν δύναμιν. Πασῶν δὲ συλλήβδην εἶναι τέλη τρία, τὸ καλόν, τὸ συμφέρον, τὸ ἡδύ. Πάντα γὰρ τὸν ὁπωσοῦν πρὸς φιλίαν ἰόντα, διά τι τούτων ἢ διὰ πάντα τὴν φιλίαν αἱρεῖσθαι. Πρώτην μὲν οὖν, ὡς προέφην, εἶναι τὴν πρὸς ἑαυτὸν φιλίαν, δευτέραν δέ, τὴν πρὸς τοὺς γειναμένους· ἐφεξῆς δέ, τὰς πρὸς τοὺς ἄλλους οἰκείους καὶ ὀθνείους· δι' ὃ καὶ ἐν μὲν τῇ πρὸς ἑαυτὸν εὐλαβεῖσθαι δεῖ τὴν ὑπερβολήν, ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους, τὴν ἔλλειψιν· τὸ μὲν γὰρ φιλαυτίας, τὸ δὲ φειδωλίας ἔχει διαβολήν.

Χάριν [268] δὲ λέγεσθαι τριχῶς, τὴν μὲν ὑπουργίαν ὠφελίμου αὐτοῦ ἐκείνου ἕνεκα, τὴν δ' ἀμειψιν ὠφελίμου, τὴν δὲ μνήμην ὑπουργίας τοιαύτης. Διὰ τοῦτο δὲ καὶ τάσδε μόνας τρεῖς ὁ βίος κατηυφήμησε. Λέγεσθαι δὲ χάριν καὶ τὴν ἐν ὄψει ἢ ἐν λόγοις, καθ' ἣν τὸν μὲν εὔχαριν ὀνομάζεσθαι, τὸν δ' ἐπίχαριν. Βίον δ' αἱρήσεσθαι τὸν σπουδαῖον τὸν μετ' ἀρετῆς, εἴτ' ἐφ' ἡγεμονίας ποτὲ γένοιτο, τῶν καιρῶν αὐτὸν προαγαγόντων, εἴτε βασιλεῖ δέοι συμβιοῦν [269], εἴτε καὶ νομοθετεῖν, ἢ ἄλλως πολιτεύεσθαι. Τούτων δὲ μὴ τυγχάνοντα, πρὸς τὸ δημοτικὸν τραπήσεσθαι σχῆμα διαγω-

---

um neque qui parum, sed qui æquam partem sibi tribuat, que pro portione, non pro numero; insuper liberalem ne- e qui temere pecuniam profundat, neque qui nihil pecu- æ eroget, sed qui nihil inconsulte expendat; ad hæc ma- animum neque qui se ipsum omnibus ornamentis neque i nullo se dignum putet, sed qui a singulis debitos sibi ho- res pro meritis haberi patiatur; denique magnificum neque perpetuo, etiam quum non decet, neque qui nunquam lloque loco splendidus sit, sed qui opportuno tempore liberalis. Tale igitur esse virtutum moralium genus rturbationibus obnoxium atque e mediocritate spectatum, od etiam mutuo comitatu septum sit, non tamen simi- r, quum prudentia virtutibus moralibus sua natura co- s adhæreat, hæ vero illam temere et casu comitentur. i enim justus sit, eundem esse prudentem, siquidem c ejus formæ ratio est; non tamen qui prudens sit, ndem sua natura esse justum, verum justi nomine vo- i qui in commune bene et honeste agat, sed omni de- core sese abstineat.

Affectuum porro et appetituum alios esse honestos et tos, alios pravos et turpes, alios medios. Honestos fidem, amicitiam, gratiam, indignationem, pudorem, nfidentiam, misericordiam; turpes autem, invidentiam, levolentiam, superbiam; medios denique tristitiam, me- n, iram, voluptatem, cupiditatem. Ex his autem quos- n omnino esse eligendos, alios definiendos. Cæterum inem affectum in voluptate ac dolore consistere, et ideo ca has quoque versari virtutes morales. At pecuniæ et luptatum cupiditatem, item insanum amorem et similia bitus esse diversos a vitiis. Amorem autem esse alium amicitiæ, alium consuetudinis, alium utriusque; quare unum esse bonum, alium malum, tertium medium.

Amicitiæ vero quattuor esse species, sodalium, cognatorum, hospitum, amantium; quibus num beneficorum quoque et admirantium annumeranda sit, videndum est. Originem autem ducere sodalium amicitiam a consuetudine, cognatorum a natura, hospitum ab usu, amantium ab affectu, beneficorum a gratia, admirantium a facultate. Verum omnium in universum tres esse fines, honestum, utile, jucundum. Omnes enim qui amicitiam utcunque expetant vel propter unam ex his rebus vel propter omnia ista sibi adjungere amicos. Primam igitur, ut supra dixi, esse amicitiam erga se ipsum, alteram autem erga parentes; deinde erga reliquos deinceps tum familiares tum externos; ideoque in amicitia erga se ipsum abundantiam amoris, in reliquis colendis defectum esse vitandum, quum altera res a calumniantibus pro cæco sui amore, altera pro parsimonia habeatur.

Gratiam autem dici tribus modis vel beneficium alterius juvandi causa datum, vel benevolentiæ remunerationem, vel accepti beneficii memoriam. Quapropter tres tantum Grátias mortales vulgo celebrant. Distingui porro gratiam vel formæ vel sermonis, qua qui excellunt vel venusti vel gratiosi appellantur. De reliquo probum virum vitam honestam ingressurum esse, sive tempore ad honores provectus magistratum aliquando gerat, sive cum regibus ei versandum sit, sive leges scribendæ, aut alia reipublicæ pars administranda sit. Quos dignitatis gradus si non consequatur, eum vel populare vel contemplativum, vel quod medium inter utrumque est professorium vitæ genus ele-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γῆς, ἢ τὸ θεωρητικόν, ἢ μέσον παιδευτικόν. Προαιρήσεσθαι μὲν γὰρ καὶ πράττειν καὶ θεωρεῖν τὰ καλά. Κωλυόμενον δὲ περὶ ἄμφω γίγνεσθαι διὰ καιρούς, θατέρῳ χρήσεσθαι, προτιμῶντα μὲν τὸν θεωρητικὸν βίον, διὰ δὲ τὸ κοινωνικὸν ἐπὶ τὰς πολιτικὰς ὁρμῶντα πράξεις. Δι' ὃ καὶ γαμήσειν [270] καὶ παιδοποιήσεσθαι καὶ πολιτεύσεσθαι, καὶ ἐρασθήσεσθαι τὸν σώφρονα ἔρωτα, καὶ μεθυσθήσεσθαι κατὰ συμπεριφοράς, κἂν εἰ μὴ προηγουμένως, καὶ καθόλου τὴν ἀρετὴν ἀσκοῦντα καὶ μένειν ἐν τῷ βίῳ, καὶ πάλιν εἰ δέοι ποτὲ δι' ἀνάγκας ἀπαλλαγήσεσθαι, ταφῆς προνοήσαντα, κατὰ νόμον καὶ τὸ πάτριον ἔθος, καὶ τῶν ἄλλων, ὅσα τοῖς κατοιχομένοις ἐπιτελεῖν ὅσιον. Βίων [271] δὲ τριττὰς ἰδέας εἶναι, πρακτικόν, θεωρητικόν, σύνθετον ἐξ ἀμφοῖν. Τὸν μὲν γὰρ ἀπολαυστικὸν ἢ ἥττονα κατ' ἄνθρωπον εἶναι, προκρίνεσθαι δὲ τῶν ἄλλων τὸν θεωρητικόν. Πολιτεύεσθαί τε τὸν σπουδαῖον προηγουμένως, μὴ κατὰ περίστασιν· τὸν γὰρ πρακτικὸν βίον τὸν αὐτὸν εἶναι τῷ πολιτικῷ. Βίον δὲ κράτιστον μὲν τὸν κατ' ἀρετήν, ἐν τοῖς κατὰ φύσιν· δεύτερον δέ, τὸν κατὰ τὴν μέσην ἕξιν, τὰ πλεῖστα καὶ κυριώτατα τῶν κατὰ φύσιν ἔχοντα· τούτους μὲν οὖν αἱρετούς, φευκτέον δὲ τὸν κατὰ κακίαν. Διαφέρειν δὲ τὸν εὐδαίμονα βίον τοῦ καλοῦ, καθ' ὅσον ὁ μὲν ἐν τοῖς κατὰ φύσιν εἶναι βούλεται διὰ παντός, ὁ δὲ καὶ ἐν τοῖς παρὰ φύσιν· καὶ πρὸς ὃν μὲν οὐκ αὐτάρκης ἡ ἀρετή, πρὸς ὃν δὲ αὐτάρκης. Μέσον δέ τινα βίον εἶναι τὸν κατὰ τὴν μέσην ἕξιν, ἐν ᾧ καὶ τὰ καθήκοντα ἀποδίδοσθαι· τὰ μὲν γὰρ κατορθώματα ἐν τῷ κατ' ἀρετὴν εἶναι βίῳ, τὰ δ' ἁμαρτήματα ἐν τῷ κατὰ κακίαν, τὰ δὲ καθήκοντα ἐν τῷ μέσῳ καλουμένῳ βίῳ.

Τεθεωρημένων δὲ τούτων, καὶ ταῦτα διαλάβωμεν· εἶναι μὲν γὰρ τὴν ἠθικὴν ἀρετὴν κοινῶς ἕξιν προαιρετικὴν τῶν μέσων ἡδονῶν τε καὶ λυπῶν, στοχαστικὴν τοῦ καλοῦ ἢ καλόν, τὴν δὲ κακίαν ὑπεναντίαν εἶναι αὐτῇ· κοινὴν δὲ δοξαστικῆς καὶ ἠθικῆς ἕξιν θεωρητικήν, καὶ προαιρετικήν, καὶ πρακτικὴν τῶν ἐν ταῖς πράξεσι καλῶν· τὴν δὲ τέχνην [272] καὶ ἐπιστήμην καὶ τὸν νοῦν κοινὴν ἀκρότητα λογικῆς κατασκευῆς εἶναι θεωρητικὴν καὶ πρακτικήν· σοφίαν δέ, ἐπιστήμην τῶν πρώτων αἰτιῶν· φρόνησιν δέ, ἕξιν βουλευτικὴν καὶ πρακτικὴν ἀγαθῶν καὶ καλῶν ᾗ καλά· ἀνδρείαν δέ, ἕξιν ἐν θαρρήσει καὶ φόβοις τοῖς μέσοις ἀμέμπτον· σωφροσύνην δέ, ἕξιν ἐν αἱρέσει καὶ φυγῇ ἀμέμπτως ποιοῦσαν, δι' αὐτὸ τὸ καλόν· πραότητα δέ, ἕξιν μέσην ὀργιλότητος καὶ ἀναλγησίας· ἐλευθεριότητα δέ, μεσότητα ἀσωτίας καὶ ἀνελευθερίας· μεγαλοψυχίαν δέ, μεσότητα χαυνότητος καὶ μικροψυχίας· μεγαλοπρέπειαν [273] δέ μεσότητα ἀλαζονείας καὶ μικροπρεπείας· νέμεσιν δὲ μεσότητα φθονερίας καὶ ἐπιχαιρεκακίας· σεμνότητα δὲ μεσότητα αὐθαδείας καὶ ἀρεσκείας· αἰδῶ δὲ μεσότητα ἀναισχυντίας καὶ καταπλήξεως· εὐτραπελίαν δὲ μεσότητα βωμολοχίας καὶ ἀγροικίας· φιλίαν δὲ μεσότητα κολακείας [274] καὶ ἔχθρας· ἀλήθειαν δὲ μεσότητα εἰρωνείας

---

cturum esse. Ac prælaturum quidem eum aliis vitæ institutis conjunctam honestarum rerum et actionem et contemplationem; sed si temporum iniquitate ab utraque occupationis ratione prohibeatur, altera eum usurum, præferentem quidem vitam contemplativam, sed tamen propter communis societatis amorem publica negotia non declinantem. Quocirca eum et uxorem ducturum et liberos procreaturum et ad rempublicam accessurum et honesto amore flagraturum, et vino in circumpotatione se obruiturum, etsi non consulto; atque omnino virtutem colendo tum in vita mansurum, tum rursus si quando oporteat necessitate coactum e vita excessurum esse, quum sepulturæ ex lege et ritu patrio justorumque quæ mortuis persolvenda sunt curam egerit. Vitarum autem tres esse species, activam, contemplativam atque ex utraque compositam. Namque ut vita voluptatibus dedita minor quam pro hominis dignitate judicetur, ita contemplativam reliquis præoptari. Cæteroqui rempublicam gesturum esse virum probum consulto, non pro ratione temporum; quoniam vita activa in regenda civitate cernatur. Præterea optimam vitam esse honestam in iis quæ naturæ conveniunt; proximam in medium habitum compositam, quæ in plurimis et gravissimis rebus ad naturæ normam dirigitur; atque has vitas expetendas, fugiendam vero flagitiosam. Differre autem vitam felicem ab honesta, quatenus illa semper eo valeat, ut cum rebus naturæ consentaneis conjuncta sit, hæc sæpe etiam ad res naturæ repugnantes inclinet; atque ad illam virtus non sufficiat, ad hanc sufficiat. Mediam autem quandam vitam esse in mediocritate positam, in qua etiam officia serventur; quippe recte facta cadere in vitam honestam, peccata in flagitiosam, officia denique in eam quæ media vocari solet.

Quibus ita consideratis hæc etiam exponi convenit, virtutem moralem in commune esse habitum mediocres voluptates et dolores expetentem, honestum qua honestum est sequentem; vitium vero illi contrarium statui; communem porro virtutis opinandi vi præditæ et moralis esse habitum contemplationis et electionis et actionis rerum honestarum; at artem et scientiam et mentem communi subtilis compositionis perfectione tam contemplativa quam activa cerni; sapientiam autem esse primarum causarum scientiam; contra prudentiam dici habitum simul deliberativum simul agentem bona atque honesta, quatenus honesta sunt; præterea fortitudinem habitum in confidentia et metu inculpatum; temperantiam, habitum in expetendo et fugiendo ob ipsam honestatem ab omni culpa vacuum; mansuetudinem, habitum medium inter iracundiam et stuporem; insuper liberalitatem, medium quiddam inter prodigalitatem et sordes; ad hæc magnanimitatem, rem mediam inter fastum et animi contractionem; magnificentiam vero medium quiddam inter ostentationem et nimiam parcimoniam interjectum; justam indignationem mediocritatem

καὶ ἀλαζονείας· δικαιοσύνην δὲ μεσότητα ὑπεροχῆς καὶ ἐλλείψεως, καὶ πολλοῦ καὶ ὀλίγου. Πολλῶν δὲ καὶ ἄλλων οὐσῶν ἀρετῶν, τῶν μὲν καθ' αὑτάς, τῶν δὲ ἐν εἴδεσι τῶν εἰρημένων (οἷον ὑπὸ μὲν τὴν δικαιοσύνην εὐσεβείας, ὁσιότητος, χρηστότητος, εὐκοινωνησίας, εὐσυναλλαξίας· ὑπὸ δὲ τὴν σωφροσύνην, εὐκοσμίας, εὐταξίας, αὐταρκείας,) ἐπιδραμεῖν οὐκ ἄτοπον καὶ τοὺς τούτων ὅρους. Εὐσέβειαν μὲν οὖν εἶναι ἕξιν θεῶν καὶ δαιμόνων θεραπευτικήν, μεταξὺ οὖσαν ἀθεότητος καὶ δεισιδαιμονίας· ὁσιότητα δέ, ἕξιν δικαίων τῶν πρὸς τοὺς θεοὺς καὶ κατοιχομένους τηρητικήν, μεταξὺ ἀνοσιότητος οὖσαν καὶ ἀνωνύμου τινός· χρηστότητα δέ, ἕξιν ἑκουσίως εὐποιητικὴν ἀνθρώπων, αὐτῶν ἐκείνων χάριν, μεταξὺ πονηρίας οὖσαν καὶ ἀνωνύμου· εὐκοινωνησίαν δέ, ἕξιν ἀμέμπτους ἐν κοινωνίᾳ [275] παρεχομένην, μεταξὺ ἀκοινωνησίας οὖσαν καὶ ἀνωνύμου· εὐσυναλλαξίαν δέ, ἕξιν εὐλαβητικὴν τῆς ἐν τοῖς συμβαλλομένοις ἀδικίας, μεταξὺ ἀσυναλλαξίας οὖσαν καὶ ἀνωνύμου, (τὴν δὲ ἀνώνυμον κατὰ τὸ ἀκροδίκαιον εἶναί πως·) εὐκοσμίαν δέ, ἕξιν περί τε κινήσεις καὶ σχέσεις τηρητικὴν τοῦ πρέποντος, μεταξὺ οὖσαν ἀκοσμίας καὶ ἀνωνύμου· εὐταξίαν δέ, ἕξιν στοχαστικὴν τοῦ περὶ τάξιν καλοῦ, μεταξὺ ἀταξίας οὖσαν καὶ ἀνωνύμου· αὐτάρκειαν δέ, ἕξιν ἀρκουμένην τοῖς τυχοῦσι μετὰ ἐλευθεριότητος, μεταξὺ πτωχείας οὖσαν καὶ πολυτελείας· εὐψυχίαν δέ, ἕξιν ἀήττητον ἐν δεινῶν ὑπομοναῖς, μεταξὺ ἀψυχίας καὶ ἀρειμανιότητος· φιλοπονίαν δέ, ἕξιν ἀνένδοτον πόνοις, ἐξεργαστικὴν τοῦ καλοῦ, μεταξὺ μαλακίας τε καὶ ματαιοπονίας. Τὴν δ' ἐκ πασῶν τῶν ἠθικῶν ἀρετὴν συνεστηκυῖαν λέγεσθαι μὲν καλοκαγαθίαν, τελείαν δὲ ἀρετὴν εἶναι, τά τε ἀγαθά, ὠφέλιμα καὶ καλὰ ποιοῦσαν, τά τε καλὰ δι' αὑτὰ αἱρουμένην.

Διωρισμένων δ' ἱκανῶς τῶν περὶ τὰς ἀρετάς, καὶ σχεδὸν τῶν πλείστων ἀνειλημμένων κεφαλαίων τοῦ ἠθικοῦ τόπου, ἀναγκαῖον ἐφεξῆς καὶ περὶ τοῦ οἰκονομικοῦ τε καὶ πολιτικοῦ διελθεῖν, ἐπειδὴ φύσει πολιτικὸν ζῷον ἄνθρωπος. Πολιτεία δὲ πρώτη, σύνοδος ἀνδρὸς καὶ γυναικὸς κατὰ νόμον ἐπὶ τέκνων γενέσει καὶ βίου κοινωνίᾳ. Τοῦτο δὲ προσονομάζεται μὲν οἶκος, ἀρχὴ δὲ πόλεώς ἐστι, περὶ οὗ δὴ καὶ λεκτέον. Μικρὰ γάρ τις ἔοικεν εἶναι πόλις ὁ οἶκος, εἴγε κατ' εὐχὴν αὐξομένου τοῦ γάμου, καὶ τῶν παίδων ἐπιδιδόντων, καὶ συνδυαζομένων ἀλλήλοις, ἕτερος οἶκος ὑφίσταται, καὶ τρίτος οὕτω καὶ τέταρτος, ἐκ δὲ τούτων κώμη καὶ πόλις. Πλειόνων γὰρ γενομένων κωμῶν, πόλις ἀπετελέσθη. Δι' ὃ καὶ τὰ σπέρματα καθάπερ τῆς γενέσεως τῇ πόλει παρέσχεν ὁ οἶκος, οὕτω καὶ τῆς πολιτείας. Καὶ γὰρ βασιλείας ὑπογραφὴν εἶναι περὶ τὸν οἶκον, καὶ ἀριστοκρατείας, καὶ δημοκρατίας. Γονέων μὲν γὰρ πρὸς τέκνα κοινωνίας τὸ σχῆμα βασιλικόν· ἀνδρῶν δὲ πρὸς γυναῖκας, ἀριστοκρατικόν· παίδων δὲ

---

invidentiæ et malevolentiæ; gravitatem autem medium quiddam inter superbiam et comitatem; contra pudorem mediocritatem in confinio impudentiæ et consternationis positam; ad hoc urbanitatem rem mediam inter scurrilitatem et rusticitatem; inimicitiam medium quiddam inter assentationem et amicitiam; veritatem rem mediam inter dissimulationem et jactantiam; denique justitiam medium locum inter abundantiam atque inopiam vel inter nimium et parum tenere. Quum autem multæ aliæ sint virtutes, tum quæ per se subsistunt, tum quæ superioribus continentur, ut justitiæ subest pietas, sanctitas, probitas, facilitas, comitas; temperantiæ vero decentia, modestia, frugalitas, harum quoque definitiones carptim perscribere non alienum erit. Pietatem igitur esse volunt habitum ad colendos deos geniosque aptum eumque medium inter impietatem et superstitionem; sanctitatem, habitum officia diis et mortuis debita sequentem eumque medium inter id quod profanum est et aliud nomine vacans; probitatem vero, habitum sponte hominibus ipsorum causa bene facientem, atque inter improbitatem et rem nomine vacantem interjectum; facilitatem autem habitum innocentes in vitæ societate præstantem, atque inter morositatem et rem innominatam interjectum; porro comitatem, habitum in contractibus ab omni injustitia abhorrentem, atque inter naturam insociabilem et rem nullo nomine notatam interjectum, quam summum jus quodammodo vocare possis; præterea decentiam, habitum in motibus et gestibus decori servatorem, qui medius sit inter indecentiam et rem nullo vocabulo nuncupatam; modestiam, habitum ad honestatem in conservando ordine propensum, qui medium locum inter petulantiam et rem nomine carentem teneat; insuper frugalitatem, habitum rebus quibuslibet contentum, conjunctum cum liberalitate atque inter mendicitatem et magnificentiam interjectum; ad hæc alacritatem, habitum invictum in ferendis rebus adversis atque inter timiditatem et pugnacitatem interjectum; denique industriam, habitum nullo labore languescentem ac præclarorum operum fabricatorem, qui medius sit inter mollitiem et studium inane. At quæ ex cunctis virtutibus moralibus composita sit virtus, eam morum integritatem dici ac perfectam esse virtutem, tum bene atque utiliter facientem, tum honeste agentem, honesta autem per se expetentem.

Quum vero satis jam explicatæ sint virtutes et pleraque morum doctrinæ capita pertractata, operæ pretium est deinceps de privatæ vitæ ratione ac de rerum unicarum rectione disserere, quoniam natura homo animal civile est. Prima autem societas viri est et feminæ congressio legitima ad liberos procreandos et vitæ communitatem. Quæ quidem res ut familia vocatur, ita civitatis initium est, de quo hic etiam disputandum videtur. Etenim parva quædam civitas est familia, siquidem ad voluntatem succedentibus nuptiis et liberis pubescentibus atque inter se copulatis, altera nascitur familia, item tertia et quarta, ex his vero pagus ac civitas. Nimirum e pagorum numero paullatim

πρὸς ἀλλήλους, δημοκρατικόν. Συνέρχεται γὰρ τῷ θήλει τὸ ἄῤῥεν κατὰ πόθον τεκνώσεως, καὶ τῆς τοῦ γένους διαμονῆς· ἐφίεσθαι γὰρ ἑκάτερον γεννήσεως. Συνελθόντων δὲ καὶ συνεργὸν τῆς κοινωνίας προσλαμβανομένων, εἴτε φύσει δοῦλον, (ἰσχυρὸν μὲν τῷ σώματι πρὸς ὑπηρεσίαν, νωθῆ δὲ καὶ καθ' ἑαυτὸν ἀδύνατον διαζῆν ᾧ τὸ ἄρχεσθαι συμφέρει,) εἴτε καὶ νόμῳ δοῦλον, ἐκ τῆς ἐπὶ τὸ αὐτὸ συνόδου, καὶ τῆς πάντων πρὸς ἓν συμφέρον προμηθείας, οἶκον συνίστασθαι. Τούτου δὲ τὴν ἀρχὴν κατὰ φύσιν ἔχειν τὸν ἄνδρα. Τὸ γὰρ βουλευτικὸν ἐν γυναικὶ μὲν χεῖρον, ἐν παισὶ δ' οὐδέπω, περὶ δούλους οὐδ' ὅλως· τὴν δ' οἰκονομικὴν φρόνησιν, διοικητικὴν οὖσαν αὐτοῦ τε καὶ τῶν κατ' οἶκον, οἰκείαν ἀνδρὸς ὑπάρχειν. Ταύτης δὲ τὸ μὲν εἶναι πατρικόν, τὸ δὲ γαμικόν, τὸ δὲ δεσποτικόν, τὸ δὲ χρηματιστικόν. Δεῖν γάρ, ὥσπερ στρατιᾷ μὲν παρασκευῆς, πόλει δὲ προσόδων, τέχνῃ δ' ὀργάνων, οὕτω καὶ οἴκῳ τῶν ἀναγκαίων. Διττὰ δὲ ταῦτα, πρός τε τὸ κοινότερον ζῆν, καὶ πρὸς τὸ εὖ. Τούτων γὰρ πρῶτον ἔχειν δεῖ πρόνοιαν τὸν οἰκονομικόν, ἢ τὰς προσόδους αὔξοντα διὰ πορισμῶν ἐλευθερίων, ἢ τὰ δαπανήματα συστέλλοντα· μέγιστον γὰρ τοῦτο τὸ κεφάλαιον τῆς οἰκονομικῆς. Δι' ὃ καὶ πολλῶν ἔμπειρον εἶναι τὸν οἰκονομικόν, γεωργίας, προβατείας, μεταλλείας, ἵνα τοὺς λυσιτελεστάτους ἅμα καὶ δικαιοτάτους καρποὺς διαγιγνώσκῃ. Τῆς δὲ χρηματιστικῆς τὴν μὲν εἶναι κρείττω, τὴν δὲ χείρω. Κρείττω μὲν τὴν φύσει γιγνομένην, χείρω δὲ τὴν διὰ καπηλικῆς. Καὶ ταῦτα μὲν περὶ τῆς οἰκονομικῆς εἰρημένα ἀπόχρη [276].

Περὶ δὲ πολιτικῆς ταῦτ' ἂν εἴη κεφάλαια· πρῶτον μὲν ὅτι συνέστησαν αἱ πόλεις τῇ μὲν διὰ τὸ φύσει κοινωνικὸν εἶναι τὸν ἄνθρωπον, τῇ δὲ διὰ τὸ συμφέρον. Εἶτα ὅτι ἡ τελειοτάτη κοινωνία πόλις ἐστί, καὶ ὅτι πολίτης ἐστίν, ᾧ μέτεστι πολιτικῆς ἀρχῆς [277]. Πόλις δὲ τὸ ἐκ τῶν τοιούτων πλῆθος ἱκανὸν πρὸς αὐτάρκειαν ζωῆς. Τοῦ δὲ πλήθους ὅρον εἶναι τοιοῦτον, ὥστε μήτε τὴν πόλιν ἀσυμπαθῆ, μήτ' εὐκαταφρόνητον ὑπάρχειν, παρεσκευάσθαι δὲ καὶ τὰ πρὸς τὴν ζωὴν ἀνενδεῶς, καὶ τὰ πρὸς τοὺς ἔξωθεν ἐπιόντας ἱκανῶς. Εἶναι γὰρ τῆς φρονήσεως τὸ μὲν οἰκονομικόν, τὸ δὲ νομοθετικόν, τὸ δὲ πολιτικόν, τὸ δὲ στρατηγικόν. Οἰκονομικὸν μέν, ὡς εἶπον, τὸ διοικητικὸν αὐτοῦ τε καὶ τῶν περὶ οἶκον, νομοθετικὸν δέ, τὸ περὶ τὴν θέσιν καινῶν νόμων, πολιτικὸν δέ, τὸ τῆς πόλεως διοικητικόν, στρατηγικὸν δέ, τὸ περὶ τὴν θεωρίαν καὶ διοίκησιν τῶν στρατοπέδῳ συμφερόντων. Ἄρχειν δ' ἀναγκαῖον τῶν πόλεων ἢ ἕνα ἢ ὀλίγους ἢ πάντας. Τούτων δὲ ἕκαστον ὀρθῶς ἢ φαύλως ἔχειν. Ὀρθῶς μέν, ὅταν οἱ ἄρχοντες τοῦ κοινῇ συμφέροντος στοχάζωνται· φαύλως δέ, ὅταν τοῦ ἰδίου. Τὸ δὲ φαῦλον παράβασιν εἶναι τοῦ ὀρθοῦ. Βασιλείαν μὲν οὖν καὶ ἀριστοκρατίαν καὶ δημοκρατίαν ἐφίεσθαι τοῦ ὀρθοῦ· τυραννίδα δὲ καὶ ὀλιγαρχίαν καὶ ὀχλοκρατίαν τοῦ φαύλου. Γίγνεσθαι δέ τινα καὶ μικτὴν ἐκ τῶν ὀρθῶν πολιτειῶν ἀρχήν. Μεταβάλλειν δὲ τὰς πολιτείας πολλάκις πρὸς τὸ ἄμεινον καὶ τὸ χεῖρον. Καθόλου δ' ἀρίστην εἶναι πολιτείαν τὴν κατ' ἀρετὴν διακεκοσμημένην, χειρίστην δὲ τὴν κατὰ κακίαν. Ἄρχειν δὲ καὶ βουλεύειν καὶ δικάζειν

---

aucto civitas oritur. Quocirca quemadmodum e familia civitas, sic etiam respublica proseminata est. Cerni enim in familia quasi adumbrationem quandam non magis regni quam optimatium dominatus et popularis reipublicæ. Nam parentum quidem cum liberis societas regni speciem præbet, maritorum cum uxoribus optimatium civitatis, liberorum denique inter se rationis popularis. Quippe mas cum femina congreditur tum liberorum procreandorum tum generis propagandi causa, quoniam uterque gignendi cupiditate flagrat. Qui postquam congressi sunt atque in societatem assumserunt victus quotidiani administrum sive natura servum, (ut corpore ad ministerium valentem, ita propter ingenii tarditatem, quum per se vivere non possit, dominum requirentem,) sive etiam lege servum, ex hoc conventu omniumque rerum cura ad communem utilitatem relata conflari atque effici familiam. Hujus autem principatum secundum naturam virum obtinere, quia consilium mulier quidem deterius habeat, pueri autem nondum, servi vero nequaqam, et idcirco omnis privatæ vitæ ratio propria viri sit semet ipsum et rem familiarem tuentis. Eam porro partim esse paternam, partim nuptialem, partim herilem, partim quæstuosam. Nam quomodo exercitus apparatum, civitas vectigalia, ars instrumenta desideret, sic familiam rebus necessariis egere. Has duplicis esse generis cum ad parce tum ad laute vivendum. Iis videlicet primum prospicere debet bonus paterfamilias, vel ita ut reditus liberali quæstu amplificet, vel ut sumtus circumcidat; siquidem hoc est caput scientiæ dispensandi res domesticas. Quocirca oportet peritum earum dispensatorem multas res habere cognitas, verbi gratia agriculturam, pecuariam, metallorum scrutationem, ut maximos diligentiæ suæ fructus sine fraude percipiat. Ceterum pecuniæ quærendæ rationem alteram præstantiorem esse, alteram deteriorem; præstantiorem quæ natura duce exerceatur, deteriorem quæ institorio innitatur. Atque hæc quidem de rei domesticæ administratione dicta sufficiant.

De civili autem prudentia hæc præcipue notanda sunt: primum quidem civitates tum ob naturalem hominum ad societatem propensionem, tum utilitatis causa constitutas esse: deinde perfectissimam societatem civitatem esse atque eum pro cive habendum qui magistratum gerat. Est vero civitas talium virorum ad vitam commode agendam justus numerus. Sed justum illum numerum ita definiri, ut civitas neque ab aliis adjuvandis abhorreat, neque contemnenda sit, verum satis et ad bene vivendum et ad hostes propulsandos valeat. Est enim alia privatæ vitæ ratio, alia legum latoris facultas, alia civilis prudentia,

ἐν μὲν ταῖς δημοκρατίαις ἐκ πάντων, ἢ αἱρέσει ἢ κλήρῳ· ἐν δὲ ταῖς ὀλιγαρχίαις ἐκ τῶν εὐπόρων· ἐν δὲ ταῖς ἀριστοκρατίαις ἐκ τῶν ἀρίστων. Στάσεις δ' ἐν ταῖς πόλεσι γίγνεσθαι τὰς μὲν κατὰ λόγον, τὰς δὲ κατὰ πάθος. Κατὰ λόγον μέν, ὅταν οἱ ἴσοι ὄντες ἄνισα ἔχειν ἀναγκάζωνται· κατὰ πάθος δέ, διὰ τιμήν, ἢ φιλαρχίαν, ἢ κέρδος, ἢ εὐπορίαν. Καταλύεσθαι δὲ τὰς πολιτείας διὰ δύο αἰτίας, ἢ βίᾳ, ἢ ἀπάτῃ. Μονιμωτέρας [278] δὲ γίγνεσθαι τοῦ κοινῇ συμφέροντος ἐπιμελουμένας. Δικαστήρια δέ, καὶ βουλευτήρια, καὶ ἐκκλησίας, καὶ ἀρχὰς διωρίσθαι ταῖς πολιτείαις οἰκείως. Κοινοτάτας δ' ἀρχὰς εἶναι ἱερωσύνην θεῶν, στρατηγίαν, ναυαρχίαν, ἀγορανομίαν, γυμνασιαρχίαν, γυναικονομίαν, παιδονομίαν, ἀστυνομίαν, ταμιείαν, νομοφυλακίαν, πρακτορείαν. Τούτων δ' εἶναι τὰς μὲν κατὰ πόλεις, τὰς δὲ κατὰ πόλεμον, τὰς δὲ περὶ τοὺς λιμένας καὶ τὰς ἐμπορίας. Πολιτικοῦ δ' ἀνδρὸς ἔργον εἶναι καὶ τὸ διορθῶσαι πολιτείαν, ὃ πολὺ χαλεπώτερον φαίνεται τοῦ κτίσαι· καὶ τὸ διανεῖμαι τοῦ πλήθους τῶν ἀνθρώπων τὸ μὲν πρὸς τἀναγκαῖα, τὸ δὲ πρὸς τὰ σπουδαῖα. Δημιουργοὺς μὲν γὰρ καὶ θῆτας [279] καὶ γεωργούς, καὶ ἐμπόρους, πρὸς τὸ ἀναγκαῖον, ὑπηρέτας γὰρ εἶναι τοῖς πολιτικοῖς τούτους· τὸ δὲ μάχιμον πᾶν καὶ βουλευτικὸν κυριώτερον εἶναι, διὰ τὸ ἀρετῆς ἐπιμελεῖσθαι, καὶ περὶ τὰ καλὰ σπουδάζειν. Τούτων δὲ τὸ μὲν πρεσβύτερον προβουλεύειν, τὸ δὲ γεραρώτερον θεραπεύειν τὸ θεῖον, τὸ δὲ νέον ἅπαν προπολεμεῖν. Ταύτην δ' ἀρχαίαν εἶναι πάνυ τὴν διάταξιν, Αἰγυπτίων πρώτων καταστησαμένων, πολιτικῶν δὲ καὶ τῶν ἄλλων οὐχ ἧττον· καὶ τὸ τὰ ἱερὰ τῶν θεῶν ἐν τοῖς ἐπιφανεστάτοις ἱδρῦσθαι τόποις· καὶ τὸ τῆς τῶν ἰδιωτῶν χώρας τὸ μὲν ἕτερον πρὸς ταῖς ἐσχατιαῖς διατετάχθαι, τὸ δ' ἕτερον πρὸς τῇ πόλει, ἵνα δύο κλήρων ἑκάστῳ νεμηθέντων, ἀμφότερα τὰ μέρη τῆς χώρας εὐσύνοπτα ὑπάρχῃ. Χρήσιμον δὲ καὶ τὸ νομοθετεῖν συσσίτια ποιεῖσθαι, καὶ τὸ περὶ τῆς κοινῆς παιδείας τῶν τέκνων σπουδάζειν· καὶ τὸ πρὸς τὴν ῥώμην τῶν σωμάτων καὶ τελειότητα δεῖν μήτε νεωτέρων ἄγαν μήτε πρεσβυτέρων τοὺς γάμους ποιεῖσθαι, ἀτελῆ γὰρ γίγνεσθαι κατ' ἀμφοτέρας τὰς ἡλικίας καὶ τελείως ἀσθενῆ τὰ ἔκγονα. Καὶ τὸ νομοθετεῖν δὲ μηδὲν ἐκτρέφειν πεπηρωμένον, μηδ' ἐκτιθέναι τέλειον, μηδ' ἑξαμβλοῦν, συμφορώτατον δήπου. Καὶ τῶν μὲν πολιτικῶν τὰ κεφάλαια ταῦτα [280].

---

alia denique ars imperatoria. Ac privatæ quidem, ut dixi, vitæ ratio est suarum rerum et familiæ cura, legum latoris facultas vero novarum legum sanciendarum scientia, contra civilis prudentia reipublicæ administratio, denique ars imperatoria contemplatio et administratio rerum exercitui utilium. Est autem necesse vel unum vel paucos vel omnes civitatem gubernare, atque horum singula aut recte aut secus se habere. Recte quidem, quum principes communem spectant utilitatem, secus vero quum propriam; pravum autem esse recti violationem. Ac regnum quidem, optimatium dominatum et popularem rempublicam ad rectum tendere; tyrannidem vero, paucorum potentiam et plebis imperium sequi pravum. Quin etiam mixtum quoddam e bonis civitatis generibus imperium conflari. Porro mutari sæpenumero respublicas in melius vel deterius. Omnino vero optimam esse civitatem quæ honeste gubernetur, pessimam quæ turpiter regatur. Magistratum autem gerere ac senatores et judices esse in populari republica viros ex omni civium numero vel electione vel sorte ductos; in paucorum potentia homines ex divitum, in optimatium dominatu ex optimatium numero. Præterea seditiones in civitatibus partim cum ratione, partim cum affectu concitari. Cum ratione quidem, quando æquales ad inæqualia rediguntur; cum affectu vero ab iis qui honorum, imperii, lucri, opum cupiditate trahuntur. Everti autem civitates duabus rationibus, aut vi aut dolo. Ex his diutius stare quæ communi utilitati serviant. Judicia vero, curias, conciones et magistratus pro reipublicæ genere constitui. Cæterum frequentissimos magistratus esse sacerdotia deorum, præturam, classis imperium, annonæ præfecturam, gymnasii gubernationem, modestiæ matronalis curam, puerilem institutionem, ædilitatem, quæsturam, legum custodiam, pecuniarum exactionem. Horum magistratuum alios esse urbanos, alios militares, alios denique circa portus et mercaturam versari. Jam vero viri rempublicam capessentis esse emendare etiam civitatem, quod multo difficilius videatur quam eam condere; nec non alteram multitudinis partem ad necessaria, alteram ad honesta adducere. Opifices enim, mercenarios, agricolas, mercatores ad necessaria referri, quia hi multam operam et reipublicæ utilem præbeant; at milites omnes ac senatores primores civitatis haberi, quum et virtutem colant et rebus præclaris studeant. Ex his senes quidem consulere, majestate venerabiles diis immortalibus cultum adhibere, juvenes denique cunctos pro patriæ salute propugnare. Verum cum hanc rerum publicarum constitutionem admodum antiquam esse eamque primum ab Ægyptiis profectam, tum reliquorum quoque quæ ad civitatem spectant, verbi gratia, ut deorum templa clarissimis locis ponerentur, utque privatorum agri partim in extrema regione partim ad urbes locarentur, quo facilius binis unicuique tributis agri portionibus utraque regionis pars inspiceretur. Præterea utile est lege sancire, ut sodalitia instituantur et communis liberorum educationis cura agatur, nec non corporum roboris et perfectionis causa, ne justo juniores neve seniores matrimonio jungantur, quod utriusque ætatis parentum proles imbecilla atque imperfecta fiat. Adde quod utique reipublicæ maxime conducit cautum esse in legibus, ne vel mutili infantes tollantur atque educentur, vel integri et perfecti exponantur vel abortus fiant. Atque hæc quidem de republica præcipue notanda esse arbitratus sum.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Stobæus Eclog. lib. II cap. 7, p. 32 seqq. ed. Heeren. Universam de moribus doctrinam hoc capite complectitur Didymus, Academicorum, Peripateticorum et Stoicorum habita ratione. Quum autem ex cæteris philosophorum familiis Epicureos potissimum et Cyrenaicos multum de talibus rebus quæsivisse constet, existimamus eum de illis quoque disputasse, sed eorum placita a Stobæo in Septimii filii gratiam has qualescunque veterum reliquias colligente esse prætermissa. Ad Academicorum decreta cognoscenda eorumque summam proponendam sine dubio Didymus Speusippi, Xenocratis et reliquorum scripta adiit quæ jam pridem interciderunt. Cum hac vero disputationis parte contendenda sunt quæ Cicero in Academicis Quæstionibus iisdem de rebus disserit. De singulis locis pauca notabimus. — [1] τὸ ὀρεκτικὸν μέρος legi convenit cum melioribus codd. pro τὸ ὀρεκτικὸν πάθος. Nam nemo est qui ignoret Platonem tres animæ partes esse voluisse, unam ratione præditam, τὸ λογικὸν μέρος, ac duas ratione vacantes, τὸ ἐπιθυμητικόν, et τὸ θυμικόν, quæ hic communi nomine τοῦ ὀρεκτικοῦ comprehenduntur. — [2] Scripserat Zeno teste Diog. Laert. lib. VII, 4 plures de morali philosophia libros, περὶ ὁρμῆς, περὶ παθῶν, περὶ τοῦ καθήκοντος et alios ex quibus hæc petita videntur. — [3] Vid. Aristot. Ethic. Nicom. lib. II, 4. Sed hanc ipsam definitionem conjicimus ab Aristotele in deperdito opere περὶ παθῶν vulgatam esse. Cf. Diog. Laert. lib. V, 23. — [4] Sic etiam Diogenes Laertius lib. VII, 63 : ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. — [5] Applicat se Didymus in exsequendis Academicorum scitis ad duos ejus philosophiæ magistros, Philonem Larissæum et Eudorum Alexandrinum, qui novæ Academiæ philosophis annumerantur. Fuit autem Philo Larissæus clarus Ciceronis ætate qui eum bello Mithridatico profugum Romæ audiverat summisque laudibus effert Quæst. Acad. lib. I, 4 et lib. IV, 4. Perierunt ejus libri, in quibus duas esse Academias negaverat. Vid. Cicero l. c. — [6] Philonem Clitomachi auditorem fuisse memoriæ prodit etiam Cicero Acad. lib. IV, 6. — [7] Scripsi ἀναλογίας rejecta codicum scriptura ἀναλογίαν. — [8] Posui τὸ προσάγειν ἐστὶ τὰ μὲν θεραπευτικά pro membranarum lectione τὸ προσάγειν ἐστὶ ταύτην τοῦ μὲν θεραπευτικοῦ. — [9] Rescripsi δή; codd. διὰ. Cæterum post νοσοποιεῖται τῆς ψυχῆς codices exhibent verba προσάγει λόγον quæ quia supervacanea erant a me omissa sunt. — [10] Membranarum scripturam ἐφ' ὃν καὶ δι' ὃν mutavi in ἐφ' ὧν καὶ δι' ἃ. — [11] οἷον τὸ τίς ἀρίστη rescripsi; libri οἷον ἐκ τοῦτίς ἀρίστη. — [12] ἑξαμέρεια est divisio in sex partes sive locos. Continet enim ὁ προτρεπτικὸς λόγος duos locos, τὸν παρορμῶντα et τὸν ἀπελέγχοντα, porro ὁ θεραπευτικός duos item, τὸν ὑπεξαιρετικόν et τὸν ἐνθετικόν, denique ὁ περὶ τέλους duos, τὸν περὶ εὐδαιμονίας et τὸν περὶ βίων, qui etsi duabus partibus de vita tum privata tum publica constat, tamen posteriorem, quod latissime pateat, separatim tractari debere contendit. — [13] Eudori Alexandrini, qui tum Academicus fuit tum Pythagoricus, res atque in litteras merita attigi in dissertatione de Pythagoreis. — [14] Expositis variis τῆς θεωρίας locis transit ad ea quæ ἡ ὁρμή sive appetitus complectitur. — [15] ἀῤῥωστήματα, quæ Cicero Tusc. IV, 10 vocat ægrotationes, pertinent ad vitiosum animi statum ex affectuum imperio ortum. Quæ sequuntur Stoicorum doctrinam redolent. Stoici enim multi erant in affectuum cum morbis comparatione, ut ex iis quæ infra de eorum decretis dicentur patebit. — [16] Pergit scriptor ad caput tertium περὶ πράξεως, cujus singulos locos enumerat. — [17] Post παθολογικός desideramus divisionem locorum περὶ τῶν αἰτιῶν et περὶ τῆς ἀσκήσεως, quia plures utriusque partes fuerunt. Quamobrem librariorum culpa hic quædam intercidisse arbitramur. — [18] Locorum qui ad πρᾶξιν spectant repetitionem mancam esse, præcedentia docent. Deest enim locus προτρεπτικός. Insuper locus παθολογικός quum non differat a παραμυθητικῷ, liquet vocem παθολογικόν quam Heerenius uncis inclusit, vel delendam vel reponendum esse ἢ παθολογικόν, nisi potius ad plenam enumerationem efficiendam præferas παραμυθητικόν, προτρεπτικόν, περὶ ἀσκήσεως κτλ. — [19] Exposita moralis philosophiæ divisione transit auctor ad singulos hujus disciplinæ locos, ita ut primum de fine agat; quam rem a veteribus philosophis sæpe pertractatam fuisse ex Ciceronis de Finibus bonorum et malorum libris intelligitur; deinde vero super bonis et malis scribat. Quum autem præter Academicorum placita aliorum quoque philosophorum decreta memoret, sequentia neque ex Philone neque ex Eudoro a Didymo sumta esse statuimus. Cæterum initio variæ vocis τέλος significationes enumerantur. — [20] Posui ἀτελής τις; codd. αὐτοτελής. — [21] Eadem leguntur apud Pollucem III, 3, qui, τέλειος, inquit, γάμος ἐλέγετο, ὡς τελειῶν πρὸς τὸν βίον τὸν ἄνθρωπον. Hinc et Jupiter τέλειος, ut nuptiarum præses, et Ἥρη τελεία. — [22] Euripid. Bacch. vs. 385. — [23] Homer. Iliad. lib. X, 470. — [24] Cf. Lipsius Manud. Stoic. II, 13. — [25] Scripsi ὑπὸ Κράτητος; codd. Κρατίνος.

:d Cratinus non fuit philosophus. Similiter cero de Fin. lib. I cap. 9 : « Quærimus igitur, uid sit extremum, quid ultimum bonorum; iod, omnium philosophorum sententia, tale bet esse, ut ad id omnia referri oporteat, i-um autem nusquam. » — [26] ἐπ' οὐδέν reposui m Lipsio Manud. Stoic. II, 13; codd. ἐπ' οὐ-νός. — [27] πρακτικόν rescripsi cum Heerenio; ori πρακτέον. — [28] διατεθεῖσθαι exaravi cum advigio ad Cic. de Fin. p. 144; membranæ τιθέναι. — [29] ἀγούσης posui cum eodem pro embranarum scriptura ἁπάσης. — [30] ἐπιβολῆς m Heerenio edidi; libri ἐπιβουλῆς. — [31] Ho-er. Odyss. lib. IX vs. 5, ubi τέλος usurpatur ut ῥῆμα, *non enim ego ullam puto rem gratiorem se.* Vide ibi Clarkium et Ernestum. — [32] Conf. lat. Tim. p. 64 et Protag. p. 350. — [33] ὑπο-λὲς vocatur *quod fini subjacet* sive quo ad finem onsequendum a natura instructi sumus. Est enim nis secundum Stoicos naturæ convenienter vi-ere, τὸ ὑποτελὲς autem complectitur quidquid d conservationem naturæ nostræ pertinet, ac si pimus eo conferri potest, ut ejus ope ad sum-um bonum perveniamus. Quæ quum ita sint, ὑποτελὲς latine *indolem* vertimus. — [34] εὐ-υία legendum cum melioribus libris pro mem-ranarum quarundam scriptura εὐποιΐα, sed alte-am lectionem confirmat etiam Diogenes Laertius ib. VII, 61 : οἷον ἐπὶ μὲν τῶν ψυχικῶν, εὐφυΐαν, τέ-νην κτλ. — [35] Nonnulli τὸ ὑποτελὲς nominarunt ποτελίδα, velut Herillus teste Diogene Laertio ib. VII, 165 : διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα, τῆς ἐν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ όνον τὸν σοφόν. — [36] Homer. Odyss. lib. IX, -6. — [37] Homer. Odyss. lib. V, 193. — [38] Scripsi ἐπ' αὐτοῦ; codd. ὑπ' αὐτόν. — [39] Posui ρμονικῷ cum Wyttenbachio ad Plutarch. lib. e ser. num. vind. p. 550, D, pro membranarum criptura ἁρμονικῶς. — [40] Rescripsi παρὰ Πλά-ωνος; libri παρὰ Πλάτωνι. — [41] Plato de Leg. lib. IV p. 716. — [42] οὐ πολύδοξον inserui e se-quentibus cum Heerenio; in codd. hæc verba esiderantur. — [43] εἰς δὲ ταὐτὸ scripsi cum eo-dem; libri εἰ δὲ ταὐτὸ. — [44] Cf. Plat. Tim. p. 90. — [45] κατὰ τοὔνομα scripsi; codd. κατ' οὔνομα vel καὶ τ' οὔνομα. — [46] In Platonis loco Stobæi membranæ exhibent ὁμοίως ἂν τὸ δὲ vel τάδε pro ὁμοιώσαντα δὲ et προστεθέντος pro προτε-θέντος quæ ex Platone restitui. In iisdem mem-branis est πρός τε τὸν παρόντα καὶ τὸν μέλλοντα omisso χρόνον, quod ex Platone adjeci. Hic enim plene scripsit : πρός τε τὸν παρόντα καὶ τὸν ἔπειτα χρόνον. — [47] Quæ sequuntur Aristotelis dogmata conveniunt quidem in universum cum iis quæ Stagirites in libris de Moribus ad Nicomachum, in primis lib. I cap, 5-9 exposuit, ubi finem hominis esse beatitudinem, hanc vero in virtute sive ἐν ἐνεργείᾳ κατ' ἀρετὴν positam esse demonstrat, nec tamen ex illo philosophi opere sumta videntur. Quum enim plura hic legantur quæ in Ethicis Nicomacheis non comparent neque verba utrobique eadem sint, arbitramur hunc locum e deperdito quodam Aristotelis libello esse petitum. Est autem verisimile eum in hunc modum philosophatum esse in commentariis quos de virtute (περὶ ἀρετῆς) ac de voluptate (περὶ ἡδονῆς) teste Diogene Laertio lib. V, 22-23 composuerat. — [48] Conf. Aristot. Eth. Nic. lib. I, 13, qui tamen ibi non tria, quorum hic mentio fit, genera virtutis, sed duo tantum τὴν διανοητικὴν et τὴν ἠθικὴν statuit. — [49] Quæ hic Aristoteli attribuitur felicitatis explicatio, apud Diogenem Laertium lib. V, 30 ad finem transfertur : τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ, quod tamen eodem redit, quia apud Aristotelem felicitas pro ipso fine ponitur. Sic enim Ethic. lib. I cap. 10 : τί οὖν κωλύει λέγειν εὐδαίμονα τὸν κατ' ἀρετὴν τελείαν ἐνεργοῦντα; et paulo post, τὴν εὐδαιμονίαν δὲ τέλος καὶ τέλειον τίθεμεν πάντως. — [50] Aristoteles l. c. tria ad beatitudinem requirit, primum χρῆσιν ἀρετῆς, deinde ἀρετῆς τελείας, denique ἐν βίῳ τελείῳ, ita ut exercitatio virtutis perfectæ in vita perfecta cernatur. Sed quartum illud quod hic adjicitur, ut sit χρῆσις προηγουμένη, desideratur apud Stagiriten. Itaque hoc aut e Stoicorum doctrina ductum est aut e rariore quadam Peripatetici philosophi lucubratione, quæ jam pridem intercidit. Stoici τὰ προηγούμενα vel *producta* esse dicebant, quæ non quidem vera bona essent, sed tamen dignitatem quandam haberent. Hæc autem ab aliis bona corporis et externa vocari solent. De iisdem hoc loco agi intelligitur ex apposita interpretatione : προηγουμένην δέ, χάριν τοῦ τὴν χρῆσιν ἐν ἀγαθοῖς γίγνεσθαι, μὴ ἐν κακοῖς. Quid? quod Peripatetici quoque corporis bona et externa pro bonis habentes his sublatis perfectam felicitatem tolli affirmabant. Quapropter de fonte eorum quæ hic disseruntur non constat. Cæteroqui rejecta codicum scriptura προηγουμένοις vel προηγουμένην reposui προηγουμένη. — [51] μετενηνεγμένον scripsi; codd. μετηγμένον. Est autem Platonis locus in Euthydemo p. 288. — [52] Vid. Aristot. Rhet. lib. I. — [53] Aristot. Rhet. lib. I cap. 9, item cap. 11. — [54] Plato Tim. p. 64. — [55] Posui Νικομαχείων; codd. Νικομαχιῶν. — [56] De hoc Eudoxi placito agit Aristoteles Ethic. Nicom. lib. X cap. 2. — [57] Vide quæ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

dixi de illo loco ad Democriti fragmenta moralia pag. 255 ed. Berol. — [58] Plato de legg. lib. I p. 636. — [59] διαφέρουσιν, quod refertur ad Democritum et Platonem, addidi cum Heerenio. In membranis tale verbum desideratur. — [60] Quæ hic de *bono* traduntur maxime e Stoicorum scriptis petita sunt. Vid. Lipsium in Manud. Stoica Op. IV p. 484. Sed operæ pretium est cum iis comparare Aristotelis explicationes Rhet. lib. I cap. 6 propositas. — [61] Strato Lampsacenus, Peripateticus, teste Diogene lib. V, 58 tres de *bono* (περὶ τἀγαθοῦ) conscripserat libros, e quibus hic locus sine dubio depromtus est. — [62] καθὸ κρατήσει τῶν μερῶν scripsi cum Heerenio; codd. καθοραθήσεται τῶν μερῶν vel τῶν κατὰ μέρος. Cf. Cicero de Fin. V, 10-12. — [63] Plato de legg. I p. 361. — [64] Vide bonorum divisionem de leg. I p. 361 expositam, quæ conferenda est cum præclaro Philebi loco pag. 55. — [65] Quum tria sint bonorum genera, τὸ καλὸν non modo animi bonis convenire dicit, sed reliquis quoque duobus, quæ tum ad corpus tum ad externa pertinent. — [66] Aristoteles de Moribus ad Nicomachum lib. I cap 6, 8, et Magn. Moral. I, 3. — [67] Hanc τοῦ καλοῦ originationem habet Plato Cratyl. p. 416. — [68] Postquam de singulis locis egit scriptor ex quibus morum doctrina maxime pendebat atque in quibus illustrandis philosophi præcipue versabantur, transit ad Stoicorum de morali philosophiæ parte placita. Videtur autem Zenonis, Chrysippi et Cleanthis potissimum scrinia compilasse. Inter Zenonis scripta moralia eminuit olim opus περὶ ὁρμῆς memoratum Diogeni Laertio lib. VII, 4. Cf. Fabric. Bibl. Græc. vol. III, p. 581 ed. Harl. Cæterum initio adumbratur divisio rerum, quatenus vel bonæ vel malæ vel indifferentes sunt. Magnum enim in ea positum est momentum ad rerum omnium naturam e Stoicorum ratione aperiendam. — [69] περιπάτησις hoc loco est *disputatio philosophica*, ut apud Diogenem Laertium lib. VII, 98. Vide Rossium in Comm. Laert. p. 138 seq. Cf. Henr. Stephanum in Thes. ling. græc. voc. περίπατος. — [70] Similiter Diogenes Laertius lib. VII, 98 : πᾶν δὲ ἀγαθὸν συμφέρον εἶναι καὶ δέον καὶ λυσιτελὲς καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν καὶ ὠφέλιμον καὶ αἱρετὸν καὶ δίκαιον, qui locus omnino cum hoc conferendus. — [71] Planius hæc explicat Sextus Empiricus adv. Math. lib. XI, 25, pag. 695 ed. Fabric : λέγεται γὰρ ἀγαθόν, φασί, καθ' ἕνα μὲν τρόπον τὸ ὑφ' οὗ ἢ ἀφ' οὗ ἔστιν ὠφελεῖσθαι· ὃ δὴ ἀρχικώτατον ὑπῆρχε καὶ ἀρετή· ἀπὸ γὰρ ταύτης ὥσπερ τινὸς πηγῆς πᾶσα πέφυκεν ἀνίσχειν ὠφέλεια. Καθ' ἕτερον δὲ τὸ καθ' ὃ συμβαίνει ὠφελεῖσθαι· οὕτως οὐ μόνον αἱ ἀρεταὶ λεχθήσονται ἀγαθά, ἀλλὰ καὶ αἱ κατ' αὐτὰς πράξεις, εἴπερ καὶ κατὰ ταύτας συμβαίνει ὠφελεῖσθαι. Κατὰ δὲ τὸν τρίτον καὶ τελευταῖον τρόπον λέγεται ἀγαθόν, τὸ οἷόν τε ὠφελεῖν, ἐμπεριλαμβανούσης τῆς ἀποδόσεως ταύτης τάς τε ἀρετὰς καὶ τὰς ἐναρέτους πράξεις, καὶ τοὺς φίλους καὶ σπουδαίους ἀνθρώπους. Vide Lipsium Manud. Stoic. II p. 22; item Menagium ad Diog. Laert. lib. VII, 94. — [72] Scripsi καθ' ὃ; codd. καθ' οὗ. — [73] Cf. Diog. Laert. lib. VII, 95. — [74] Verba ἕξεις, τὰ δὲ quæ desunt in membranis addidit Bakius Posidon. p. 212 ex Diog. Laert. lib. VII, 98. — [75] Inserui ἕξεις τὰ δὲ quæ excidisse videntur. — [76] Reposui Heerenio præeunte τὰς γ' εὐκαταφορίας; codd. τὰς δ' εὐκαταφθορίας; Diogenes Laertius VII, 115 : καὶ ὡς ἐπὶ τοῦ σώματος εὐεμπτωσίαι τινὲς λέγονται, οἷον καταῤῥοὺς καὶ διαῤῥοιαι· οὕτω κἀπὶ τῆς ψυχῆς εἰσιν εὐκαταφορίαι, οἷον ῥθονερία, ἀνελεημοσύνη, ἔριδες καὶ τὰ παραπλήσια. Ad quem locum vide Menagium. Cf. Cicero Tuscul. IV, 12. — [77] Diog. Laert. VII, 96. — [78] Sequuntur eæ quæ olim in Stoicorum libris reperiebantur virtutum vitiorumque illis oppositorum definitiones. Quo nomine hic scriptor quem rerum frequentia crebrum esse omnes confitentur, longe præstat Diogeni Laertio pauciora de eodem argumento nos docenti. — [79] φύσει πολιτικὸν ζῷον nominatur homo quem totius mundi incolam atque civem esse Stoici arbitrabantur eaque re a bestiis distingui affirmabant. Arrian. II, 10 : ἐπὶ τούτοις πολίτης εἰ τοῦ κόσμου κτλ. — [80] Inserui ἀδικίαν δὲ ἄγνοιαν μὴ ἀπονεμητικὴν τῆς ἀξίας ἑκάστῳ, quæ verba desunt in membranis. — [81] A Zenone Didymum hasce virtutum explicationes mutuatum esse intelligitur ex Plutarch. de virt. morali cap. 2, vol. IX p. 392 ed. Hutten. — [82] Cf. Diog. Laert. VII, 90. — [83] Scripsi ἅμα διαιρετικὴν καὶ ἀναχεφαλαιωτικὴν cum Wyttenbachio ad Plutarch. II p. 103 A; codd. ἀνταναιρετικὴν καὶ μὴ χεφαλαιωτικήν. — [84] Diog. Laert. VII, 93 : τὴν δὲ μεγαλοψυχίαν, ἐπιστήμην ἢ ἕξιν ὑπεράνω ποιοῦσαν τῶν συμβαινόντων κοινῇ φαύλων τε καὶ σπουδαίων. — [85] κατὰ τὸ σύμφωνον cum Heerenio edidi; codd. καὶ τὸ σύμφωνον. Etenim quadruplex fructus virtutis cujus hic mentio fit pertinet ad quatuor virtutes primarias; officii inventio ad prudentiam, appetitionum constantia ad temperantiam, resistendi vis ad fortitudinem, denique distributiones secundum concentum a natura constitutum ad justitiam. — [86] Iisdem prope verbis Cicero Tuscul. IV, 13 : « ut enim corporis temperatio, cum ea congruunt inter se e quibus constamus, sanitas, sic animi dicitur cum ejus judicia opinionesque concordant. » Com-

4. Alcmæon in cerebro animi principatum posuit, ejusque ope, dum per respirationem odores trahit, censuit nos odorari.

5. Alcmæon audire nos inani quod intra aurem est; id

6. Ἀλκμαίων Κροτωνιάτης τάδε ἔλεξε, Πειρίθου υἱός, Βροντίνῳ καὶ Λέοντι καὶ Βαθύλλῳ· περὶ τῶν ἀφανέων καὶ περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι, ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι.

(Diogenes Laertius lib. VIII, 83 : ἦν δὲ Πειρίθου υἱός, ὡς αὐτὸς ἐναρχόμενος τοῦ συγγράμματός φησιν· Ἀλκμαίων κτλ.)

7. Ἔτι δὲ κεφαλῆς μόριον, δι' οὗ ἀκούει, ἄπνουν, τὸ οὖς· Ἀλκμαίων γὰρ οὐκ ἀληθῆ λέγει, φάμενος ἀναπνεῖν τὰς αἶγας κατὰ τὰ ὦτα.

(Aristoteles Hist. animal. lib. I cap. XI.)

ΘΕΑΝΟΥΣ.

1. Καὶ συχνοὺς μὲν Ἑλλήνων πέπυσμαι νομίσαι φάναι Πυθαγόραν ἐξ ἀριθμοῦ πάντα φύεσθαι. Οὗτος δὲ ὁ λόγος ἀπορίαν παρέχει ἡμῖν, πῶς ἃ μηδὲ ἔστιν ἐπινοεῖται καὶ γεννᾶν. Ὁ δὲ οὐκ ἐξ ἀριθμοῦ, κατὰ δὲ ἀριθμὸν ἔλεγε πάντα γίγνεσθαι, ὅτι ἐν ἀριθμῷ τάξις πρώτη, ἧς μετουσίᾳ κἀν τοῖς ἀριθμητοῖς πρῶτόν τι καὶ δεύτερον καὶ τἄλλα ἑπομένως τέτακται.

(Stobæus Eclog. I cap. XI, 13 p. 302 seqq. ed. Heer. Θεανοῦς ἐκ τοῦ περὶ εὐσεβείας. Reposui πέπυσμαι cum Meinekio pro membranarum lectione πέπεισμαι; in sequentibus autem codicum scripturam αὐτὸς δὲ ὁ λόγος ἀπορήσας ἔρχεται mutavi in οὗτος δὲ ὁ λόγος ἀπορίαν παρέχει ἡμῖν. [Fort. ἀπορήσεως ἔχεται.])

2. Θεανὼ ἡ Πυθαγόρειος ἐρωτηθεῖσα πῶς ἔνδοξος ἔσται, ἔφη· « ἱστὸν ἐποιχομένη καὶ ἐμὸν λέχος ἀντιόωσα. »

(Stobæus Floril. LXXIV, 32 Θεανοῦς.)

3. Ἡ Θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον· εἰπόντος δέ τινος « καλὸς ὁ πῆχυς », « Ἀλλ' οὐ δημόσιος » ἔφη. Δεῖ δὲ μὴ μόνον τὸν πῆχυν, ἀλλὰ μηδὲ τὸν λόγον δημόσιον εἶναι τῆς σώφρονος, καὶ τὴν φωνήν, ὡς ἀπογύμνωσιν αἰδεῖσθαι καὶ φυλάττεσθαι πρὸς τοὺς ἐκτός. Ὁρᾶται γὰρ ἐν αὐτῇ καὶ πάθος καὶ ἦθος καὶ διάθεσις τῆς λαλούσης.

(Plutarchus Conjug. præc. vol. VII p. 421 ed. Hutten. Eadem verba leguntur apud Stobæum Flor. LXXIV, 49 a. Similiter Clemens Alexandrinus Strom. IV p. 522 : Τί δαί; οὐχὶ Θεανὼ ἡ Πυθαγορικὴ εἰς τοσοῦτον ἦκεν φιλοσοφίας, ὡς πρὸς τὸν περιέργως ἀπιδόντα καὶ εἰπόντα, Καλὸς ὁ πῆχυς, Ἀλλ' οὐ δημόσιος ἀποκρίνασθαι. Theodoretus serm. XII : Θεανὼ ἡ Πυθαγορική, ἀποβλέψαντός τινος εἰς αὐτὴν καὶ εἰπόντος, Καλὸς ὁ πῆχυς, Ἀλλ' οὐ δημόσιος, ἀπεκρίνατο.)

4. Θεανὼ ἐρωτηθεῖσα ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει, « ἀπὸ μὲν τοῦ ἰδίου » εἶπε « παραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε. »

(Stobæus Floril. LXXIV, 53 Θεανοῦς. Eadem habet Diogenes Laertius lib. VIII, 43. Clemens Alexandrinus Strom. V. l. c.: τῆς αὐτῆς φέρεται σεμνότητος κἀκεῖνο τὸ ἀπόφθεγμα· ἐρωτηθεῖσα γάρ, ποσταία γυνὴ ἀπὸ ἀνδρὸς εἰς τὸ Θεσμοφόριον κάτεισιν, Ἀπὸ μὲν τοῦ ἰδίου καὶ παραχρῆμα, ἔφη, ἀπὸ δὲ ἀλλοτρίου οὐδεπώποτε. Theodoretus serm. XII : ἐρωτηθεῖσα δὲ πάλιν, Ποσταία γυνὴ ἀπὸ ἀνδρὸς εἰς τὸ Θεσμοφόριον κάτεισιν, Ἀπὸ μὲν τοῦ ἰδίου παραχρῆμα, ἔφη, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδεπώποτε. Aliter Jamblichus de vit. Pyth. lib. I cap. 26 : ἧς ἐστι καὶ τὸ καλὸν καὶ περίβλεπτον ῥῆμα, τὸ τὴν γυναῖκα δεῖν θύειν αὐθημερὸν ἀνισταμένην ἀπὸ τοῦ ἑαυτῆς ἀνδρός. Ceterum apud Diogenem Laertium lib. VIII, 43 hæc adduntur : τῇ δὲ πρὸς τὸν ἴδιον ἄνδρα μελλούσῃ πορεύεσθαι παρήνει, ἅμα τοῖς ἐνδύμασι καὶ τὴν αἰσχύνην ἀποτίθεσθαι, ἀνισταμένην τε πάλιν ἅμα αὐτοῖς ἀναλαμβάνειν. Ἐρωτηθεῖσα, Ποῖα; ἔφη, Ταῦτα δι' ἃ γυνὴ κέκλημαι.)

5. Θεανὼ γὰρ ἡ Πυθαγορικὴ γράφει· Ἦν γὰρ τῷ ὄντι τοῖς κακοῖς εὐωχία ὁ βίος, πονηρευσαμένοις,

---

enim personare irrumpente aere, siquidem omnia vacua sonant.

6. Alcmæon Crotoniates, Piritli filius, hæc dixit Brontino et Leonti et Bathyllo : « *Dii quidem in plena rerum obscurarum et mortalium cognitione versantur, quantum vero hominibus conjicere licet.* »

7. Est præterea capitis pars, qua audimus, non spiramus, auris; neque enim Alcmæonis sententia vera est qui capras auribus spirare affirmavit.

HEANUS.

1. Multos quoque Græcorum audivi existimasse, dicere Pythagoram ex numero cuncta oriri. Hæc vero res dubitationem injicit nobis, quomodo ea quæ ne sunt quidem vim genitalem habere putentur. At ille non ex numeris, sed ad numerorum normam nasci cuncta dicebat, quia in numero primus cernitur ordo, cujus communicatione etiam in iis quæ numerari possunt primum, secundum et reliqua deinceps ponuntur.

2. Theano Pythagoricæ sapientiæ studiosa interroganti, quomodo gloriam consecutura esset, respondit : « *Telam percurrendo meumque lectum curando.* »

3. Theano vestem induens brachium exseruit, et quum quidam dixisset : « *Pulcher hic cubitus est,* » respondit « *At non publicus.* » Ceterum pudicæ mulieris non modo cubitus, sed ne sermo quidem publicus esse debet, voceque ad alienos, tanquam parum conveniente nudatione, ei abstinendum est. Namque in voce cernuntur loquentis et perturbatio et mores et animi affectio.

4. Theano interrogata, quot diebus mulier post viri congressionem pura fieret : *A suo*, inquit, *viro confestim, ab alieno vero nunquam.*

5. Quippe Theano Pythagorica scribit : « Esset enim revera vita convivium improbis, qui moriuntur postquam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἔπειτα τελευτῶσιν, εἰ μὴ ἦν ἀθάνατος ἡ ψυχή.

(Clemens Alexandrinus Stromat. lib. IV p. 492 A.)

6. Θεανὼ ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα τί πρέπον εἴη γυναικί, τὸ τῷ ἰδίῳ ἔφη ἀρέσκειν ἀνδρί.

(Stobæus Floril. LXXIV, 55 Θεανοῦς.)

7. Θεανὼ ἔφη· κρεῖττόν ἐστιν ἵππῳ ἀχαλίνῳ ἑαυτὸν πιστεύειν ἢ γυναικὶ ἀλογίστῳ.

(Floril. Monac. 268 in Stob. Flor. vol. IV p. 289 ed. Meinek.)

8. Θεανὼ ἔφη· περὶ ὧν λέγειν καλόν, περὶ τούτων σιωπᾶν αἰσχρόν, καὶ περὶ ὧν αἰσχρὸν λέγειν, περὶ τούτων σιωπᾶν ἄμεινον.

(Floril. Monac. 269 in Stob. Flor. vol. IV p. 289 seq. ed. Meinek.)

9. Ἡ αὐτὴ ἐρωτηθεῖσα τί ἐστιν ἔρως, ἔφη πάθος ψυχῆς σχολαζούσης.

(Floril. Monac. 270 in Stob. Flor. vol. IV p. 290 ed. Meinek.)

ΣΕΞΤΟΥ ΓΝΩΜΑΙ. *)

1. Μὴ ὀνειδίσῃς τὰς τῶν φίλων σου χάριτας· ἔσῃ γὰρ ὡς οὐ δεδωκώς.

(Excerpt. Vindobon. 45 in Stob. Flor. vol. IV p. 293 ed. Meinek.)

2. Μυστήριον ἐν φιλίᾳ ἀκούσας, ὕστερον ἐχθρὸς γενόμενος μὴ ἐκφήνῃς· ἀδικεῖς γὰρ οὐ τὸν ἐχθρὸν ἀλλὰ τὴν φιλίαν.

(Excerpt. Vindobon. 46 in Stob. Flor. vol. IV p. 293 ed. Meinek.)

3. Ταὼν εἰς δεῖπνων παρασκευάζεσθαι μέλλων, ἁπλώσας τὰ πτερὰ εἶπεν· Εἰ μὲν πολλῶν κρεῶν ὁρᾷς με μετέχοντα, θῦσον, εἰ δὲ τῇ τῶν πτερῶν ποικιλίᾳ χαίρεις, φεῖσαι σαρκὸς ὀλίγης κεκοσμημένης.

(Excerpt. Vindobon. 47 in Stob. Flor. vol. IV p. 293 ed. Meinek. Post ποικιλίᾳ addidi χαίρεις; nam hujusmodi verbum hîc desideratur. Præterea φεῖσαι mutavi in φεῖσαι.)

4. Ἀδύνατόν ἐστι τὸν ὀρθῶς βιοῦντα καὶ ὀρθῶς φρονοῦντα περιπεσεῖν πταίσμασιν αἰσχύνης ἢ πλάνῃ δαιμόνων. Ὥσπερ δὲ σκώληξ ἀναλίσκει τὸ ξύλον ὅπου εἰσέρχεται, οὕτως καὶ ἡ ἁμαρτία μένουσα ἐν τῷ ποιήσαντι αὐτήν.

(Excerpt. Vindobon. 48 in Stob. Flor. vol. IV p. 294 ed. Meinek.)

5. Ὁ αὐτὸς θεασάμενος ἐπὶ θύραις εὐπρεποῦς γυναικὸς οἰκοφθόρον μειράκιον, ἔφη· Ὦ μειράκιον, σπούδασον τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὴν ψυχὴν μεταγαγεῖν.

(Excerpt. Vindobon. 49 in Stob. Flor. vol. IV p. 294 ed. Meinek. At in Flor. Monac. 178 ibid. p. 281 hæc de Diogene leguntur : ὁ αὐτὸς θεασάμενος μειράκιον εὔμορφον καὶ διὰ τοῦτο φιλούμενον ἔφη, Ὦ σπούδασον τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὴν ψυχὴν μεταγαγεῖν.)

6. Ἀπαιδεύτου τὸ ἄλλῳ ἐγκαλεῖν ἐφ' οἷς ἂν αὐτὸς πράσσῃ κακῶς.

(Excerpt. Vindobon. 50 in Stob. Flor. vol. IV p. 294 ed. Meinek. Inserui ἂν particulam quæ in codice deest.)

7. Ἄνθρωπος μιαρολογῶν πολὺ ἀλογώτερος τῶν κτηνῶν ὑπάρχει· οὐ γὰρ τῆς ἀνάγκης ὁ μισθός, ἀλλὰ προαιρέσεως,

(Excerpt. Vindobon. 51 in Stob. Flor. vol. IV p. 294 ed. Meinek.)

8. Ὅταν λοιδορηθῇς περί τινος, ἄνθρωπε, σκόπευσον ἀκριβῶς μή τί σοι πέπρακται τῆς λοιδορίας ἄξιον, εἰ δ' οὐ πέπρακται, καπνὸν καὶ ἄνεμον τὴν λοιδορίαν νόμιζε.

---

omni malitiæ dediti fuerunt, nisi animus esset immortalis. »

6. Theano, mulier Pythagoricam sectam professa, interroganti, quid deceret matronam, respondit : *Viro suo placere.*

7. Theano ait satius esse equo effreni, quam mulieri inconsideratæ se committere.

8. Theano ait, de quibus dicere honestum sit, de iis turpe esse silere, de quibus autem turpe sit dicere, de iis silere melius esse.

9. Eadem interrogata, quid esset amor, animi otiosi affectionem esse respondit.

SEXTI SENTENTIÆ.

1. Ne exprobra amicis tuis beneficia in ipsos collata; nam nullo eos beneficio affecisse videberis.

2. Arcanum ab amico creditum postquam inimicitias cum eo suscepisti noli prodere; neque enim injuriam infers inimico, sed amicitiam violas.

3. Pavo quum jam in eo esset, ut convivantibus cibus pararetur, extentis pennis ita locutus est : Si me carnosum esse vides, macta; sin autem pennarum varietate gaudes, parce exiguæ carnis ornamento.

4. Fieri non potest, ut qui bene vivit recteque sentit quidquam vel turpiter faciat vel impie in deos hominesque committat. Quemadmodum vero tinea lignum, quæ parte intrat, consumit : sic delictum auctori perpetuo bærens perniciem affert.

5. Idem ad formosæ mulieris fores adolescentem nebulonem conspicatus : O adolescens, inquit, corporis amatores ad animum traducere stude.

6. Inculti hominis est, alteri objicere ea omnia propter quæ ipse miseriis premitur.

7. Homo spurcidicus multo minus intelligentiæ habet quam quævis bestia; neque enim necessitatis, sed consilii constituta est merces.

8. Quando reprehenderis de re aliqua, diligenter tibi, homo, videndum est, ne quid feceris quod sit reprehen-

*) Conf. Philos. Græc. Fragm. vol. I p. 522.

(Excerpt. Vindobon. 52 in Stob. Flor. vol. IV p. 294 ed. Meinek.)

9. Ἀνὴρ ἐπίφθονος μέγα κακόν· εἰ δὲ καὶ τὸ γείτων εἶναι κεχλήρωται, ἀπαραίτητον τὸ δυστύχημα καὶ τῷ θανάτῳ μόλις παυσόμενον.

(Excerpt. Vindobon. 53 in Stob. Flor. vol. IV p. 294 ed. Meinek.)

10. Οἱ νέοι καὶ σφριγῶντες ἀκόλαστοι καὶ τρυφῶντές εἰσιν ἀκρατέστεροι.

(Excerpt. Vindobon. 54 in Stob. Flor. vol. IV p. 294 ed. Meinek.)

11. Τί δῆτα τὸ κενὸν τοῦτο δοξάριον τὸν πήλινον ἀσκὸν ἐπὶ τοσοῦτον διεφύσησεν;

(Excerpt. Vindobon. 55 in Stob. Flor. vol. IV p. 294 ed. Meinek. Addidi ἐπὶ τοσοῦτον e Theophylacti epist. 79 ubi eadem sententia exstat. Est autem hoc loco *luteus uter* vel venter vel corpus humanum. Cf. Timon. fr. vs. 12-14, vol. I p. 85.)

12. Ὁδίτου χεῖρες ἀκόλαστοι καὶ γεωργικοὺς ἱδρῶτας ἀδικεῖν ἑτοιμότατοι.

(Excerpt. Vindobon. 56 in Stob. Flor. vol. IV p. 294 ed. Meinek.)

ΑΛΛΑ ΑΡΧΥΤΟΥ ΤΟΥ ΤΑΡΑΝΤΙΝΟΥ ΑΠΟΣΠΑΣΜΑΤΙΑ. *)

1. Ποῖον ἓν ἐρωτᾷς; τὸ ἀρχηγικὸν ἢ τὸ ὡς ἐν μορίοις ἐλάχιστον; ὅλως δὲ διαφορᾶς οὔσης παρ' αὐτοῖς ἑνὸς καὶ μονάδος, περὶ ἧς καὶ τῶν πρεσβυτέρων Πυθαγορείων πολλοὶ διελέχθησαν, ὥσπερ Ἀρχύτας ὅς φησιν ὅτι « τὸ ἓν καὶ ἡ μονὰς συγγενῆ ἐόντα διαφέρει ἀλλήλων » κτλ.

(Syrianus ad Aristot. Metaph. XIII, 8. Idem Archytam *causam ante causam* statuisse dicit initio commentarii ad Metaph. XIV (XII). Verba ejus hæc sunt: ὅλως δὲ οὐδὲ ἀπὸ τῶν ὡσανεὶ ἀντικειμένων οἱ ἄνδρες ἤρχοντο, ἀλλὰ καὶ τῶν δύο στοιχείων τὸ ἐπέκεινα ἤδεσαν, ὡς μαρτυρεῖ Φιλόλαος τὸν θεὸν λέγων πέρας καὶ ἀπειρίαν ὑποστῆσαι, διὰ μὲν τοῦ πέρατος τὴν τῷ ἑνὶ συγγενεστέραν ἐνδεικνύμενος πᾶσαν συστοιχίαν, διὰ δὲ τῆς ἀπειρίας τὴν ταύτης ὑφειμένην, καὶ ἔτι πρὸ τῶν δύο ἀρχῶν τὴν ἑνιαίαν αἰτίαν καὶ πάντων ἐξῃρημένην προέταττον ἣν Ἀρχαίνετος (leg. Ἀρχύτας) μὲν « αἰτίαν πρὸ αἰτίας » εἶναί φησι, Φιλόλαος δὲ τῶν πάντων ἀρχὰν εἶναι διισχυρίζεται. Paulo aliter Theo Smyrnæus Arithm. p. 27: Ἀρχύτας δὲ καὶ Φιλόλαος ἀδιαφόρως τὸ ἓν καὶ μονάδα καλοῦσι καὶ τὴν μονάδα ἕν· οἱ δὲ πλεῖστοι προστιθέασι τῷ μονάδα αὐτὴν τὴν πρώτην μονάδα, ὡς οὔσης τινὸς οὐ πρώτης μονάδος ἥ ἐστι κοινότερον καὶ αὐτὴ μονὰς καὶ ἕν.)

2. Ἀρχύτας δέ, ὥς φησιν Εὔδημος, οὕτως ἠρώτα τὸν λόγον· « ἐν τῷ ἐσχάτῳ ἤγουν τῷ ἀπλανεῖ οὐρανοῦ γενόμενος πότερον ἐκτείναιμι ἂν τὴν χεῖρα ἢ τὴν ῥάβδον εἰς τὰ ἔξω, ἢ οὐκ ἄν· τὸ μὲν οὖν μὴ ἐκτείνειν ἄτοπον· εἰ δὲ ἐκτείνω, ἤτοι σῶμα ἢ τόπος τὸ ἐκτὸς ἔσται. »

(Simplicius in Aristot. Phys. f. 108 a, qui hæc adjicit: διοίσει δὲ οὐδέν, ὡς μαθησόμεθα· ἀεὶ οὖν βαδιεῖται τὸν αὐτὸν τρόπον ἐπὶ τὸ ἀεὶ λαμβανόμενον πέρας καὶ ταυτὸν ἐρωτήσει, καὶ εἰ ἀεὶ ἕτερον ἔσται, ἐφ' ὃ ἡ ῥάβδος, δῆλον ὅτι καὶ ἄπειρον. Καὶ εἰ μὲν σῶμα, δέδεικται τὸ προκείμενον· εἰ δὲ τόπος, ἐστὶ δὲ τόπος τὸ ἐν ᾧ σῶμα ἐστὶν ἢ δύναιτ' ἂν εἶναι, τὸ δὲ δυνάμει ὡς ὂν χρὴ τιθέναι ἐπὶ τῶν ἀϊδίων, καὶ οὕτως ἂν εἴη σῶμα ἄπειρον καὶ τόπος. Ad intelligendam Pythagoreorum sententiam valent etiam ea quæ Simplicius ad Aristotelis Phys. f. 152 a ex Porphyrio annotavit: ἀχώριστον μὲν γὰρ ἔθεντο, φησὶν (ὁ Πορφύριος), αὐτὸ (τὸ κενὸν) οἱ περὶ Δημόκριτον, διόπερ μηδὲ συνεχὲς τὸ πᾶν, μεσολαβουμένων τῶν σωμάτων ὑπὸ τοῦ κενοῦ· χωριστὸν δὲ οἱ λέγοντες ἔξω τοῦ κόσμου κενόν, συνεχὲς δὲ ἀπολείποντες τὸ πᾶν, ὡς οἱ Πυθαγόρειοι.)

3. Τῷ μὲν τόπῳ ἴδιόν ἐστι τὸ τὰ μὲν ἄλλα ἐν αὐτῷ ἦμεν, αὐτὸν δὲ ἐν μηδενί. Εἰ γὰρ ἔν τινι τόπῳ ἔσται,

---

dendum; quod si nihil hujusmodi fecisti, convicium pro fumo et vento habeto.

9. Homo invidus magnum malum est; cui si etiam vicina habitatio sorte obvenit, pestis inevitabilis est, quæ vix morte exstinguatur.

10. Adolescentes vegeti, intemperantes et voluptarii libidinosiores sunt.

11. Quid tandem inanis hæc gloriola luteum utrem tantopere inflavit?

12. Viatoris manus incontinentes etiam ad corrumpendas agricolarum res multo sudore partas paratissimæ sunt.

*) Conf. Philos. Græc. Fragm. vol. I p. 553—575.

ALIA ARCHYTÆ TARENTINI FRAGMENTA.

1. Quale unum a me exquiris? principale illud an tanquam partium vel membrorum omnium minimum? Quum autem omnino apud eos unius et unitatis differentia sit, de qua antiquiorum Pythagoreorum multi disseruerunt, velut Archytas qui ait *unum et unitatem, quamvis cognata sint, tamen inter se differre* etc.

2. Archytas autem, ut ait Eudemus, sic interrogabat: « Ad ultimam, id est, inerrantem cœli partem delatus utrum manum vel baculum ad extera extendam, an non? jam vero non extendere absurdum; sin autem extendam, aut corpus aut locus quod extra est erit. »

3. Spatii hoc proprium habetur, quod cetera quidem in ipso sunt, ipsum autem nulla in re est. Nam si quo in

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ ὁ τόπος πάλιν αὐτὸς ἐν ἑτέρῳ, καὶ τοῦτο μέχρις ἀπείρω συμβασεῖται. Ἀνάγκα τοιγαρῶν [a] τὰ μὲν ἄλλα ἐν τόπῳ ἦμεν, τὸν δὲ τόπον ἐν μηδενί, ἀλλ' οὕτω ποττὰ ὄντα, ὥσπερ καὶ τὰ πέρατα πρὸς τὰ περατούμενα· ὁ γὰρ τῶ παντὸς κόσμω [b] τόπος πέρας ἁπάντων τῶν ὄντων ἐστί.

(Simplicius ad Aristot. Categ. f. 135 ex Archytæ libro περὶ τοῦ παντός. Scripsi : [a] τοιγαρῶν; libri τοιγαροῦν. — [b] κόσμω; codd. κόσμου.)

4. Ὁ μὲν θεῖος Ἰάμβλιχος ἐν τῷ πρώτῳ τῶν εἰς τὰς κατηγορίας ὑπομνημάτων τὸν Ἀρχύταν ὁρίζεσθαί φησι τὸν χρόνον ὡς ἐστὶ « κινάσιός τις ἀριθμὸς ἢ καὶ καθόλω διάσταμα τᾶς τῶ παντὸς φύσιος. »

(Simplicius ad Aristot. Phys. f. 186 b. Similiter ad Phys. f. 163 a : οἱ δὲ τὴν σφαῖραν αὐτὸν (χρόνον) τοῦ οὐρανοῦ (φασιν), ὡς τοὺς Πυθαγορικοὺς ἱστοροῦσι λέγειν οἱ παρακούσαντες ἴσως τοῦ Ἀρχύτου λέγοντος καθόλου τὸν χρόνον διάστημα τῆς τοῦ παντὸς φύσεως. Adde eundem in Categ. f. 129 a, ubi tamen κινάσιός τινος ἀριθμὸς legitur pro κινάσιός τις.)

5. Τὸ δὲ πόκα καὶ ὁ χρόνος καθόλου μὲν ἴδιον ἔχει τὸ ἀμερὲς καὶ τὸ ἀνυπόστατον· τὸ γὰρ νῦν ἀμερὲς ἐὸν καὶ λεγόμενον ἅμα καὶ νοεύμενον παρελήλυθε καὶ οὐκ ἔντι παραμένον· γινόμενον γὰρ συνεχῶς τωυτὸ μὲν οὐδέποκα σώσδεται κατ' ἀριθμόν, κατὰ μέντοι γε τὸ εἶδος. Ὁ γὰρ ἐνεστὼς νῦν χρόνος καὶ ὁ μέλλων οὐκ ἔντι ωὐτὸς τῷ προγεγονότι· ὁ μὲν γὰρ ἀπογέγονε καὶ οὐκ ἔτι ἐντί· ὁ δὲ ἅμα νοεύμενος καὶ ἐνεστακὼς παρώχηκε. Καὶ οὕτως ἀεὶ συνάπτει τὸ νῦν, συνεχῶς ἄλλο καὶ ἄλλο γινόμενον καὶ φθειρόμενον, κατὰ μέντοι γε τὸ εἶδος τωυτό. Πᾶν γὰρ τὸ νῦν ἀμερὲς καὶ ἀδιαίρετον, πέρας μέν ἐντι τῷ προγεγονότος, ἀρχὰ δὲ τῷ μέλλοντος· ὥσπερ καὶ γραμμᾶς εὐθείας κλασθείσας τὸ σαμεῖον, περὶ ὃ ἁ κλάσις, ἀρχὰ μὲν γίνεται τᾶς ἑτέρας γραμμᾶς, πέρας δὲ τᾶς ἑτέρας. Συνεχὴς δὲ ὁ χρόνος καὶ οὐ διωρισμένος, ὥσπερ ἀριθμὸς καὶ λόγος καὶ ἁρμονία· τῶ μὲν γὰρ λόγω ταὶ συλλαβαὶ τὰ μόρια· ταῦτα δὲ διωρισμένα· καὶ τᾶς ἁρμονίας τοὶ φθόγγοι καὶ τῷ ἀριθμῷ ταὶ μονάδες. Γραμμὰ δὲ καὶ χωρίον καὶ τόπος συνεχῆ· τὰ γὰρ μόρια τούτων κοινὰ τμάματα ποιέει διαιρεύμενα· τέμνεται γὰρ γραμμὰ μὲν κατὰ στιγμάν, ἐπίπεδον δὲ κατὰ γραμμάν, στερεὸν δὲ κατὰ ἐπίπεδον. Ἔντι ὦν ὁ χρόνος συνεχής· οὐ γὰρ ἦς ποκα φύσις, ὁπόκα χρόνος οὐκ ἦς, οὐδὲ κίνασις, ὁπόκα τὸ νῦν οὐ παρῆς· ἀλλ' ἀεὶ ἦς καὶ ἐσσεῖται καὶ οὐδέποκα ἐπιλείψει τὸ νῦν, ἄλλο καὶ ἄλλο γινομενον, καὶ ἀριθμῷ μὲν ἄτερον, εἴδει δὲ τωυτόν. Διαφέρει δὲ γραμμὰ τῶν ἄλλων συνεχέων, ὅτι τᾶς μὲν γραμμᾶς καὶ τῷ χωρίω καὶ τῷ τόπω τὰ μέρεα ὑφέσταχε, τῷ δὲ χρόνω τὰ μὲν γενόμενα ἔφθαρται, τὰ δὲ γενασόμενα φθαρήσεται.

(Simplicius in Aristotelis Phys. f. 186 a. Eundem Archytæ locum in Comm. ad Categ. f. 130 b affert, ita tamen ut pro doricis vocum formis atticas vel communes substituat. Sequitur Archytas, vel quicunque hujus fragmenti auctor est, in temporis natura definienda Aristotelem Phys. ausc. lib. IV cap. 10—14, p. 217 b. — 224 a ed. Bekker. hanc materiam copiosissime tractantem.)

6. Οἱ δὲ περὶ Εὔδοξον καὶ Ἀρχύταν τὸν λόγον τῶν συμφωνιῶν ἐν ἀριθμοῖς ὥροντο εἶναι, ὁμολογοῦντες καὶ αὐτῶν ἐν κινήσεσιν εἶναι τοὺς λόγους· καὶ τὴν μὲν ταχεῖαν κίνησιν ὀξεῖαν εἶναι, ἅτε πλήττουσαν συνεχὲς

---

spatio sit, spatium etiam ipsum rursus in altero sit necesse est, idque in immensum pertinebit. Necesse igitur est, cetera quidem in spatio, spatium vero nulla in re esse, sed eandem habere rationem ad res, quam fines ad finita, quoniam universitatis spatium omnium rerum finis est.

4. Jamblichus, homo divinus, in primo commentariorum in categorias Archytam ait tempus ita definire, ut esse dicat *motus quendam numerum vel etiam omnino creatarum omnium rerum intervallum.*

5. Illud autem *quando* et tempus omnino propriam habet naturam tum individuam tum non subsistentem; ipsum enim *nunc*, quum individuum sit, simul dictum et cogitatum præteriit neque consistit; quippe perpetuo nascens nunquam quidem numero, sed tamen specie idem manet. Etenim tempus nunc præsens et futurum non est idem quod præteritum; siquidem hoc abiit neque amplius est, illud simul cogitatum et præsens exactum est. Ita semper instat ipsum *nunc*, continenter aliam atque aliam naturam induens ideoque exstinctum, specie tamen idem manens. Omne enim istud *nunc*, ut individuum et indiscretum, finis quidem præteriti, initium autem futuri temporis est; quemadmodum etiam rectæ lineæ flexæ punctum, circa quod deflexio sit, alterius quidem lineæ initium, alterius autem finis est. Est autem tempus perpetuum neque definitum, ut numerus et verbum et harmonia, siquidem verbi partes syllabæ sunt, quæ sunt definitæ, item harmoniæ partes soni et numeri monades. Sed linea et figuræ area et spatium continua sunt; namque harum rerum partes constitutæ communia segmenta efficiunt, quoniam linea puncto, planum linea, solidum denique plano secatur. Est igitur tempus perpetuum; neque enim unquam fuit rerum ortus, quum tempus non esset, neque motus, quum ipsum *nunc* non adesset, sed semper fuit atque erit neque unquam deficiet hoc *nunc*, aliam atque aliam naturam induens, et numero quidem variatum, specie autem idem manens. Ceterum eo differt linea a reliquis rebus continuis, quod tam lineæ quam areæ et spatii partes exstant, at sicut præteriti temporis hominum facta exoleverunt, ita futuri exolescent.

6. At Eudoxus et Archytas rationem concentuum in numeris esse positam censuerunt, concedentes etiam in

ὠκύτερον κεντοῦσαν τὸν ἀέρα, τὴν δὲ βαρεῖαν
αδεῖαν, ἅτε νωθεστέραν οὖσαν.

(Theo Smyrnæus Music. pag. 94 ed. Bulliald. f. Philos. Græc. Fragm. Vol. I p. 564 seq.)

7. Μέσαι δέ ἐντι τρεῖς τᾷ μωσικᾷ· μία μὲν ἀριηντικά, δευτέρα δὲ ἁ γεωμετρικά, τρίτα δὲ ὑπεναν-
, ἂν καλέοντι ἁρμονικάν. Ἀριθμητικὰ μέν, ὅκκα
ντι [a] τρεῖς ὅροι κατὰ ταυτὰν ὑπεροχὰν ἀνάλογον, ὧν
ὁ πρᾶτος δευτέρω ὑπερέχει, τόσῳ δεύτερος τρίτῳ
ερέχει. Καὶ ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ συμπίπτει ἦ-
[b] τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖον, τὸ δὲ τῶν
όνων μεῖζον. Ἁ γεωμετρικὰ δέ, ὅκκα ἔωντι [c] ὡς ὁ
ᾶτος ποτὶ τὸν δεύτερον, καὶ ὁ δεύτερος ποτὶ τὸν τρίτον·
ύτων δὲ οἱ μείζονες ἴσον ποιοῦνται τὸ διάστημα καὶ
μείους. Ἁ δὲ ὑπεναντία, ἂν καλοῦμεν ἁρμονικάν,
ἔωντι τοιοῦτοι, ὥστε ᾧ ἂν πρᾶτος ὅρος τῶ δευ-
ῳ ὑπερέχῃ ἑαυτῶ μέρει [d], ταύτῳ ὁ μέσος τῶ τρίτω
ερέχει τῷ τρίτω μέρει. Γίνεται δὲ ἐν ταύτᾳ τᾷ ἀναγίᾳ τὸ τῶν μειζόνων ὅρων διάστημα μεῖζον, τὸ δὲ
ν μειόνων μεῖον.

(Porphyrius Comment. ad Ptolem. Harmonica Jo. Wallisii Opp. Mathem. Oxonii 1699 editis l. III pag. 267 : Ἀρχύτας περὶ μεσοτήτων λέγων άφει· Μέσαι δέ ἐντι κτλ. Emendavi : [a] ἔωντι ; codd. ντι — [b] ἐν ταύτᾳ τᾷ ἀναλογίᾳ συμπίπτει ἦμεν ; codd. ταύτᾳ ἀναλογίᾳ συμπίπτει εἶμεν. — [c] ἔωντι ; libri ντι. — [d] ὅκκα ἔωντι τοιοῦτοι, ὥστε ᾧ ἂν πρᾶτος ὅρος ὁ δευτέρω ὑπερέχῃ ἑαυτῶ μέρει ; libri ὅκκα ἔοντι, πρᾶτος ὅρος ὑπερέχει τῶ δευτέρω ἂν ἑαυτῶ μέρει. edietas (μεσότης) Græcis erat medium proporonis continuæ (ἀναλογίας συνεχοῦς) membrum. uærebant enim, quam necessitudinem duo nueri cum tertio eoque interposito habituri esnt. Ita tres constituebant medietates, arithmecam, geometricam, harmonicam. His utebantur tiquiores a Platone usque ad Eratosthenem. f. Porph. ad Ptolem. p. 159, 163, 168. Theo myrnæus de Mus. cap. 32 et 33. Bulliald. ad heon. p. 274 : Gelder. ad ejusd. Arithm. p. 148. oeth. Arithm. II, 45. Ceterum rei inventores ippasum et Archytam ferebant. Medietas igitur rithmetica oritur, si duobus numeris tertius ita terponitur, ut quanto primus secundum magnitudine antecedit, tanto secundus tertium antecedat. Exempli causa ponantur numeri 6. 4. 2. quorum quum differentia sit binarius (2), summa extremorum membrorum æquat duplum medii ($6+2=4\times2$). Medietas geometrica locum habet, quando, quoties secundum membrum primo, toties tertium secundo continetur. Qua in re paulo obscurius loquitur Archytas, geometricam appellans medietatem, quum primus ad secundum eandem rationem habet, quam secundus ad tertium. Talis rationis exempla sint numeri 8. 4. 2, item 27. 9. 3, quorum quum priores duplo, posteriores triplo inter se differant, summa e membrorum extremorum multiplicatione effecta medii quadratum æquat ($8\times2=4^2$; $27\times3=9^2$). Harmonica denique invenitur, ubi qua sui parte primus terminus secundum, eadem secundus tertium tertii parte superat. Ejus rei exempla afferam numeros 12. 8. 6, quorum quum primus medium tertia sui parte, id est, triente superet, eadem parte tertii medius tertium superat. Addo numeros 12. 6. 4, qui inter se comparati semisse invicem superiores sunt. His ea contigit natura, ut summa extremorum terminorum per medium multiplicata duplo superet summam e sola membrorum extremorum multiplicatione effectam :

$$6+12=18\times8=6\times12\times2=144.$$
$$4+12=16\times6=4\times12\times2=96.$$

Sunt autem singula medietatum illarum membra proportionis varietate temperata. Namque arithmeticæ medietatis ratio ita comparata est, ut majorum intervallum minus, minorum majus sit, verbi causa $=1\frac{2}{3}<=2$. Geometricæ conditio ea est, ut majores termini et minores paribus intervallis disjungantur, ut : $\frac{8}{4}=\frac{4}{2}=2$. Harmonica denique majorum terminorum intervallum majus, minorum minus habet, exempli gratia : $\frac{12}{8}=1>\frac{6}{8}=1\frac{1}{3}$. Cf. Theo Smyrnæus c. 56-58 ibique Bulliald. p. 291. Vide etiam Bœckhii dissertationem *über die Bildung der platon. Weltseele* in Daub. et Creuzeri Studiis III,

---

otibus eorum rationes cerni; ac celerem quidem motum se acutum [sonum], quippe qui continenter feriat ac tius perrumpat aerem; contra gravem [sonum] tardum se, quia lentior sit.

7. Tres in musica medietates comparent, una arithmeca, alia geometrica, tertia contraria quam harmonicam ppellant. Arithmetica existimatur, quando tres sunt terhini pro rata parte invicem superiores, e quibus quanto rimus secundum, tanto secundus tertium magnitudine ntecedit. Qua proportione fit, ut majorum terminorum intervallum minus, minorum majus sit. Porro geometrica est, quum primus ad secundum eandem rationem habet, quam secundus ad tertium : horum autem majores et minores paribus intervallis disjunguntur. Denique contraria quam harmonicam vocamus ilia est, quum tales sunt termini, ut qua sui parte primus secundum superat, hac medius tertium tertii parte superet. Hac vero proportione fit, ut majorum terminorum intervallum majus, minorum minus sit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

p. 56. Quæ vero antea contraria medietas dicebatur, eam primi Archytas et Hippasus harmonicam vocarunt, si locuples testis videtur Jamblichus in Nicom. p. 141 ita scribens : ὑπὸ δὲ τῶν περὶ τὸν Ἀρχύταν καὶ Ἵππασον ἁρμονικὴ μετακληθεῖσα, ὅτι τοὺς κατὰ τὸ ἡρμοσμένον καὶ ἐμμελὲς ἐφαίνετο λόγους περιέχουσα. Quod reliquum est, Porphyrius in Commentario ad Ptolemæi Harmonica Archytæ fragmentum de quo hîc agitur eo consilio affert, ut probet quod posteriores Græci τὸν λόγον (rationem) appellarunt, id priores διάστημα (intervallum) nominasse.

8. Φιλοσοφίαν φαντὶ [1] ὄρεξιν ἦμεν τῶ ἀναλαμβάνεν ἢ συνέχεν αὔταυτον ἐν ἀρετᾷ πρακτικᾷ κατ᾽ τὰν ἔφεσιν τᾶς σοφίας δι᾽ αὐταύταν [2]· ταύτας δ᾽ ἀρχὰν μὲν τὰν φύσιν προδιδάσκεν [3], μέσα δὲ τὰν ἄσκησιν, τέρμα δὲ τὰν εἴδησιν φέρεν [4]. Εὐτυχὲς μὲν ὦν ἦμεν φῦναι εὖ τραφῆμέν [5] τε καὶ ἀχθῆμεν κατ᾽ τὸν ὀρθὸν νόμον καθ᾽ ὁμολογά τε τᾷ φύσι ἔθεα· δεῖ δ᾽ ἀσκηθῆμεν ὑπὸ [6] γενέτορας ἢ ἐπιτρόπως [7] παιδευτάς τε σώφρονας γενέσθαι. Καλὸν δὲ τὸ αὐτὸν [8] αὑτῷ προστάσσεν τὰ ἄριστα μηδὲ ποτιδέεσθαι ἀνάγκας, εὐπειθέα δ᾽ ἦμεν τοῖς ὑφαγεομένοις τὰ ἄριστα ποτὶ πρᾶξιν καὶ εἴδησιν. Ταὶ γὰρ εὐφυΐαι καὶ ταὶ καλαὶ τροφαὶ πολλάκις φθάνοντι τὰς διδασκαλίας ἐς ὀρθότατα ἄγοισαι, ἀποδέοντι δὲ μόνον λόγω ἀγεμόνος, τὸν ἐντίθητι ἐπιστάμα [9]. Δύο μὲν ὦν ἐντι βίοι ἀντίπαλοι τοὶ τῶν πρατήων ἀντιποιεύμενοι, πρακτικός τε καὶ φιλόσοφος· πολὺ δὲ κάρρων δοκέει ἦμεν ὁ ἐξ ἀμφοτέρων κεκραμένος ποτὶ καιρὼς τὼς ἁρμόσδοντας συντεταγμένος καθ᾽ ἑκατέραν διέξοδον. Γεγόναμες γὰρ ποτ᾽ ἐνέργειαν νοεράν, ἂν καλέομες πρᾶξιν· τᾶς δὲ διανοίας ἁ μὲν πρακτικὰ ἐπὶ τὰν πολιτικὰν φέρεται, ἁ δὲ ἐπισταμονικὰ [10] ἐπὶ τὰν θέαν τῶν συμπάντων, αὐτὸς δ᾽ ὁ καθόλω νόος ταύτας τὰς δύο δυνάμιας ἀμπέχων ἐπὶ τὰν εὐδαιμονίαν, τάν φαμες ἐνέργειαν ἀρετᾶς ἐν εὐτυχίᾳ ἦμεν, οὔτε πρακτικὰν ἔασαν μόνον ὥστε καὶ μὴ τὰν ἐπιστάμαν [11] περιέχεν, οὔτε θεωρητικὰν ὡς ἄπρακτον ἦμεν. Ἁ γὰρ τέλος [12] διάνοια ποτὶ δύο ἀρχὰς ἐπικρατέας ῥέπει, ποθ᾽ ἃς καὶ ὁ ἄνθρωπος πέφυκε, τάν τε κοινανικὰν [13] καὶ τὰν εἰδημονικάν. Καὶ γὰρ αἱ [14] κατὰ τοίας ἀντιλήψιας δοκέοντι ἀντιθλίβεν ἀλλάλας ταὶ ἀγωγαί, ταὶ [15] μὲν γὰρ πολιτικαὶ ἀφέλκοισαι τᾶς θεωρίας, ταὶ δὲ θεωρητικαὶ [16] ἀπὸ τᾶς πολιτείας μετάγοισαι ἐς ἀσυχίαν, ἀλλ᾽ ὧν [17] τὰ πέρατα συναψαμένα [18] ἁ φύσις ἀπέδειξεν ἐν τωυτῷ ἀνωμένα [19]· οὐ γὰρ ἀντιπαθέες ἐντὶ ταὶ ἀρεταί [20], ἀλλ᾽ ἁρμονίας ἁπάσας συμφωνότεραι. Αἱ δὲ κά τις ἐκ νέω [21] ὁρμαθεὶς αὐτὸς ἁρμόσδηται [22] ἐς τὰς ἀρχὰς τᾶν ἀρετᾶν [23] καὶ ἐς [24] τὸν θεῖον νόμον τᾶς τῶ κόσμω ἁρμονίας, εὕροον βίον διαξεῖ [25]· αἱ δέ κα αὐτὸς καθ᾽ αὑτὸν πλαζόμενος τύχῃ ἀγεμόνων καρρόνων, ἀπευθύνεν [26] τὸν ὁρόμον δυνασεῖται [27] ποτὶ μακαριότατα, ὥσπερ τοὶ εὐτυχέοντες ἐν πλοίῳ ἀνύοντι τὰν θάλασσαν διὰ τᾶς κυβερνατικᾶς [28] εὐπλοίας ἐφιέμενοι, ἅπερ [29] ἐν βίῳ τᾶς εὐδαιμονίας. Αἱ δὲ μήτ᾽ αὐτὸς νοέοι τὰ ποτίφορα [30] μήτ᾽ ἐπιτρόπων τύχοι ἐμφρόνων, οὐδὲν ὄφελος χοραγίας ἀφθόνω· ἀφροσύνα γάρ, αἱ καὶ ἐς τἄλλα εὐτυχεῖ [31], κακοδαίμων ἐσαεί ἐστιν. Ἐπεὶ δ᾽ ἐν ἁπάντεσσι [32] πρᾶτον ἀνάγκα σκοπῆν μὲν τὸ τέλος (τοῦτο γὰρ ποιέοντι κυβερνᾶται μὲν λιμένα [33] ἐς δν

8. Philosophiam esse ajunt cupiditatem sui vel colligendi vel in virtutis actuosæ studio continendi pro desiderio sapientiæ propter se expetendæ : hujus autem initium naturam docere, medios locos exercitationem aperire, finem denique scientiam afferre. Esse igitur in fortunæ donis ingenii sollertiam educationemque atque institutionem conjunctam cum recto more et consuetudine naturæ consentanea ; sed danda est opera, ut sub parentum imperio simus vel honestis tutoribus et magistris committamur. Est vero pulchrum sibi ipsi injungere munus optima quæque faciendi neque egere quadam præclaræ rei gerendæ necessitate, sed obsequi iis qui utilissima ad rerum actionem et cognitionem suadent. Namque ingenii sollertia rectusque cultus sæpe prius quam doctrina in rectam viam deducunt, carentes tantum ratione duce quam scientia mortalibus indit. Sunt igitur duo vitæ genera contraria eaque principatus quasi cupida, alterum actuosum, alterum philosopho dignum; sed his longe præstare videtur tertium ex ambobus conflatum, quod ad tempora opportuna, prout utriusque ratio fert, accommodatum est. Nati enim sumus ad mentis agitationem, quam actionem appellamus; animus autem partim rebus gerendis intentus ad prudentiam civilem fertur, partim scientiæ amore incensus ad contemplandam rerum universitatem incumbit, ipsa vero mens omnino duplici hac facultate prædita ad felicitatem tendit, quam dicimus quidem esse virtutis in rebus secundis exercitationem, sed neque in agendo tantum positam, ut scientiam non habeat, neque contemplativam solam, ut plane nihil agat. Quippe animus perfectus duarum rerum earumque gravissimarum, ad quas homo etiam natus est, principatum appetit, societatis ac scientiæ. Nam si propter ejusmodi præmia vitæ rationes mutuo officere videntur, quia publica negotia a rerum contemplatione abstrahunt, vita autem contemplativa a reipublicæ administratione ad otium traducit, tamen fines natura quum uno vinculo copularit, conjunctos esse ostendit ; neque enim contrariæ sunt virtutes, sed quovis concentu convenientiores. Quodsi quis ipse ab ineunte ætate prompto animo virtutum fundamentis divinisque harmoniæ hujus mundi legibus assuescit, vitam fortunatam deget; sin autem ipse per se errans duces meliores nanciscatur, cursum suum ad beatitudinem dirigere poterit, quemadmodum homines prospero fortunæ flatu utentes in navigio cursum maritimum gubernandi arte conficiunt, secundæ navigationis cupidi, ut in vita felicitatis. At si neque ipse commoda sua intelligat neque prudentes curatores nanciscatur, magni sumtus nul-

ταχθήσονται προτιθέμενοι, ἀνίσχοι δὲ τέρμα δρόμω, ὁταὶ δὲ καὶ σφενδονᾶται σκοπὸν ποθ' ὃν πάντα ἀρσδονται)· ἀνάγκα καὶ τᾷ ἀρετᾷ προκέεσθαί τινα περ τέχναν τῶ βίω σκοπὸν ἢ πρόθεσιν, ταῦτα γὰρ ώσκω καθ' ἑκατέρω [34]· τοῦτο δέ φαμι ἦμεν [35] τῷ ν πρακτικῷ [36] τὸ κράτιστον, τῷ δὲ φιλοσόφω [37] ῳ τὸ τέλῃον [38] ἀγαθόν, τὸ λέγοντι τοὶ τὰ θεῖα καὶ νθρώπεια σοφοὶ [39] εὐδαιμονίαν. Ταύταν δὲ οὔτε κατω ἀλάθειαν [40] κρίνειν δύνανται τοὶ κακῶς ἔχοντες δόξ [41], οὔτε ἐλέσθαι ἰσχύοντι τοὶ μὴ ἐκδαλότατα δρέονς αὐτάν· τίνοντι [42] δὲ δίκας ἀφροσύνας τοὶ ἀδονᾷ τὸ ιστον διδόντες, κολάζονται τοὶ τὰν ἀναλγησίαν πάνν προτιμῶντες, καθόλω δ' εἰπέν, ἄγχονται ἐν κακᾷ λᾳ τοὶ ἐν εὐπαθείᾳ σωμάτων ἢ ἐν ψυχᾶς ἀλόγῳ κασκευᾷ ἀπολιπόντες τὰν εὐδαίμονα ζωάν. Οὐδὲ πολν τούτων [43] εὐτυχέστεροί ἐντι τοὶ ἐξαίροντες μὲν τὸ λόν, ὡς κατ' αὔταυτο τίμιον ἐόν [44], ὁμότιμον δὲ αὐ τὰν ἀδονὰν καὶ τὰν ἀναλγησίαν καὶ τὰς εὐπαθείας ς πράτας καὶ φυσικὰς καὶ ἀλόγως ὁρμὰς ἢ σώματος ψυχᾶς ἀνέχοντες [45]. Ἑκάτερα γὰρ ἀδικέοντι, τὰν ἐν ψυχικὰν ἀκρότατα καὶ τὰ ἔργα αὐτᾶς κατάγοντες [46] ἰσότατα ποττὰν τῶ σώματος τελῃότατα [47], τὰν σωματικὰν εὐεξίαν ἐς ὕψος ἀντικαθιστάντες τᾷ ψυχᾷ ἀδονᾷ. Ἐνεμεσήθη δὲ [48] καὶ ἁ φύσις καὶ τὸ ῖον τᾷ τούτων κατακράσι [49]· οὐ γὰρ φυλάσσοντι τὰν ξίαν τῶ κάῤῥονος πρὸς τὸ χεῖρον· ἀλλ' ἁμές γε λέγοες [50] σῶμα μὲν ἦμεν [51] ψυχᾶς ὄργανον, νόον δὲ ἀγεόνα τᾶς τε ἄλλας ψυχᾶς καὶ τῶ σκάνεος αὐτᾶς, τὰν ἐς [52] τᾶλλα εὐτυχίαν φυσικὰν ὀργανικὰν τᾷ νοερᾷ νεργείᾳ ἦμεν, αἴκα παντελὴς δυνάμι [53] τε καὶ χρόνῳ καὶ χοραγίᾳ ᾖ.

(Excerpta e codice Florentino Joann. Damasc. n Stob. Eclog. tom. II p. 741—143 ed. Gaisford; item in Flor. vol. IV p. 206—209 ed. Meinek. Conf. Cobet. Var. Lectt. in Mnemos. tom. II p. 405-407. Multa hîc emendavimus ob scriptoris verba a librariis corrupta. Scripsimus igitur : [1] φαντὶ ὄρεξιν ἦμεν τῶ ἀναλαμβάνειν ἢ συνέχειν; cod. φάντι ὄρεξιν εἶμεν τῶ ἀναλαμβάνειν ἢ συνέχειν. — [2] δι' αὐταύταν cum Cobeto; cod. διὰ ταύταν. — [3] προδιδάσκειν; cod. προειδέμεν. — [4] φέρειν; cod. φέρειν. — [5] εὖ τραφῆμέν τε καὶ ἀχθῆμεν καττὸν ὀρθὸν νόμον καθ' ὁμόλογά τε τᾷ φύσι; cod. εὖ τραφῆναί τε καὶ ἀχθῆμεν καττὸν ὀρθὸν νόμον καθομολογᾶ τε τᾷ φύσει. — [6] ὑπὸ γενέτορας; cod. ὑπό τε γενέτορας. — [7] ἐπιτρόπως; cod. ἐπιτρόπους. — [8] τὸ αὐτὸν cum Meinekio; cod. τὸν αὐτὸν. — [9] ἐντίθητι ἐπιστάμα cum Badhamio præf. ad Eurip. Hel. p. 6; cod. ἐν τήθῃ τῇ ἐπιστάμα. — [10] ἐπισταμονικά; cod. ἐπιστημονικὰ. — [11] ἐπιστάμαν; cod. ἐπιστήμαν. — [12] τέλῃος cum Gaisfordo; cod. τέλος. — [13] κοινανικὰν cum Cobeto; cod. κοινὰν νίκας νικαν. — [14] αἱ cum eodem; cod. αἱ. — [15] ταὶ ἀγωγαί, ταὶ μὲν γὰρ πολιτικαὶ cum eodem; cod. τᾷ ἀγωγᾷ, τᾷ μὲν γὰρ πολιτικᾷ. — [16] ταὶ δὲ θεωρητικαὶ cum Cobeto; cod. τᾷ δὲ θεωρητικᾷ. — [17] ἀλλ' ὧν cum Cobeto; cod. ἄλλων — [18] συναψαμένα cum Cobeto; cod. ὧν ἁψαμένα. — [19] ἀνωμένα cum Hartensteinio de Archyta p. 59; cod. ἀλωμένα. — [20] ταὶ ἀρεταί cum Cobeto; cod. τᾷ ἀρετᾷ. — [21] ἐκ νέω cum Cobeto; cod. ἐκ νέων. — [22] ἁρμόσδηται; cod. ἁρμόζηται. — [23] τᾶν ἀρετᾶν cum Cobeto; cod. τὰν ἀρετὰν. — [24] καὶ ἐς τὸν; cod. καὶ τὸν. — [25] διαξεῖ cum Cobeto; cod. διεξάγει. — [26] ἀπευθύνεν; cod. ἀπευθύνειν. — [27] δυνασεῖται; cod. δυνάσεται. — [28] κυβερνατικᾶς; cod. κυβερνητικᾶς. — [29] ᾗπερ; cod. ὅπερ. — [30] νοέοι τὰ ποτίφορα cum Cobeto; cod. νέοιτο ποτίφορα. — [31] αἱ καὶ ἐς τᾶλλα

---

um præbeant usum; quoniam dementia, etiamsi cetera ei prospere cedant, tamen perpetuo misera est. Quum vero in omnibus rebus primum necesse sit spectari finem (hoc enim faciunt gubernatores portum in quem invehentur animo proponentes, item aurigæ curriculi terminum, sagittarii vero et funditores scopum ad quem omnia referunt) : necesse est etiam virtuti propositam esse quandam, ut sic loquar, vivendi artem tanquam metam vel scopum : ita enim de utroque ætatis degendæ genere judico : id vero ajo tum actuosæ vitæ esse extremum bonorum, tum philosopho dignæ summum bonum, quod rerum divinarum humanarumque periti felicitatis nomine afficiunt. Hanc autem neque ex veritate æstimare possunt qui in falsa sunt opinione, neque eligere valent qui eam non perspicue vident; pendunt vero pœnas amentiæ suæ qui maximum voluptati pretium statuunt, cruciantur qui indolentiam ceteris rebus omnibus anteponunt, denique ut generatim atque universe loquar, vexantur turbidis procellis qui in corporis voluptatibus vel in animi affectione a recta ratione aversa vitam beatam ponunt. Neque vero his multo feliciores sunt qui honestatem quidem exaggerant, tanquam rem per se præclaram, sed tamen quasi æque venerabiles atque illam primum voluptatem, deinde indolentiam, tum delicias primas naturæque convenientes, postremo vesanos vel corporis vel animi impetus diligunt. Dupliciter enim peccant, partim ingenii magnitudinem ejusque facinora cum corporis integritate æquantes, partim bonum corporis habitum, velut in fastigio stantem, animi voluptati opponentes. Quin etiam natura ac deorum numen harum rerum permixtionem respuit; neque enim servant homines isti rei melioris cum deteriore comparatæ dignitatem; at nos certe dicimus corpus quidem esse animi instrumentum, mentem vero ducem cum reliquarum animi partium tum corporis ei adjuncti, præterea naturali in ceteris rebus felicitate tanquam instrumento uti mentis agitationem, si et facultatis præstantia et temporis diuturnitate et opum magnitudine satis valeat

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

εὐτυχεῖ ; cod. αἶκα ἐς τἆλλα εὐτυχῇ. — [32] ἁπάντεσσι ; cod. ἅπαντι. — [33] λιμένα ἐς ὄν ; cod. λιμένα νεὼς ἐς ὄν. — [34] γινώσκω καθ' ἑκατέρω ; cod. ὀνυμαίνω καθ' ἑκατέρων. — [35] ἦμεν ; cod. εἶμεν. — [36] τῷ μὲν πρακτικῷ cum Gaisfordo ; cod. τὸν μὲν πρακτικῶν. — [37] τῷ δὲ φιλοσόφῳ βίῳ cum eodem ; cod. τῶ δὲ βίω. — [38] τέληον ; cod. τέλειον. — [39] τὸ λέγοντι τοὶ τὰ θεῖα καὶ τἀνθρώπεια σοφοὶ cum Halmio et Meinekio ; cod. τῶ λέγοντι τοὶ τἀνθρώπεια σοφοὶ. — [40] ἀλάθειαν ; cod. ἀλήθειαν. — [41] ἔχοντες δόξας ; cod. ἔχοντες. — [42] αὐτάν· τίνοντι ; cod. αὐτήν· τίνουσι. — [43] πολλὸν τούτων ; cod. πολλὸν ἀπὸ τούτων. — [44] κατ' αὔταυτο τίμιον ἐόν ; cod. κατταῦτα τὶ μὴ λέγεν. — [45] ἀνέχοντες ; cod. ἀντέχοντες. — [46] ἐς ; cod. εἰς. — [47] τῶ σώματος τελητότατα ; cod. τοῦ σώματος τελεώτατα. — [48] ἐνεμεσήθη δὲ cum Cobeto ; cod. ἐμέσης δὴ θὲ. — [49] καταχράσι ; cod. διακρίσει. — [50] ἁμές γε λέγομες cum Cobeto ; cod. ἡμεῖς γε λέγοντες. — [51] ἦμεν ; cod. εἶμεν. — [52] ἐς ; cod. εἰς. — [53] δυνάμι ; cod. δυνάμει. — Cæterum de triplici vitæ genere, actuoso, philosophico et mixto, vide quæ supra diximus adn. 271 ad Didymi locum e Stobæi Eclog. lib. II cap. 7 depromtum.)

9. Ἁ δὲ τάξις αὐτᾶν [a] ὧδε ἔχει· πράτα [b] μὲν γὰρ τέτακται ἁ ὠσία [c], διὰ τὸ μόνον ταύταν ὑποκεῖσθαι ταῖς ἄλλαις [d] καὶ αὐτὰν καθ' ἑαυτὰν δύνασθαι νοεῖσθαι, τὰς δὲ ἄλλας μὴ ἄνευ ταύτας· ἢ γὰρ κατὰ ταύτας ἢ ἐν ταύτᾳ [e] ὑποκείμεναι κατηγοροῦνται· δευτέρα δὲ ἁ ποιότας· ἄνευ γὰρ τῶ τί ἐστιν ἦμεν ἀδύνατον ποιόν τι ἦμεν.

(Simplicius ad Aristot. Categ. f. 28 a ex Archytæ libro περὶ τοῦ παντός. Scripsi : [a] ἁ δὲ τάξις αὐτᾶν ; libri ἡ δὲ τάξις αὐτῶν. — [b] πράτα ; codd. πρώτα. — [c] ἁ ὠσία ut f. 34 a et b ; membranæ ἡ οὐσία. — [d] ταῖς ἄλλαις ; codd. τοῖς ἄλλοις. — [e] κατὰ ταύτας ἢ ἐν ταύτᾳ ; libri κατ' αὐτὰς ἢ ἐν αὐταῖς. Eadem autem verba repetuntur f. 45 a, ubi in hunc modum depravata exstant : ἤτοι γὰρ κατὰ ταύτας ἢ ταύτῃ ἐν ὑποκειμένῳ κατηγοροῦνται. Idem initio commentarii in Aristotelis categorias f. 2 b hæc de Archytæ libro qui de universo inscribebatur exponit : Ἀρχύτου γὰρ τοῦ Πυθαγορικοῦ καὶ πρὸ Ἀριστοτέλους τὴν εἰς δέκα τῶν πρώτων γενῶν ποιησαμένου διαίρεσιν, ἐν τῷ βιβλίῳ, ὃ περὶ τοῦ παντὸς ἐκεῖνος ἐπέγραψε, καὶ τά τε γνωρίσματα αὐτῶν διὰ παραδειγμάτων ἐναργῶς σαφηνίζοντος, καὶ τάξιν ἣν ἔχουσι πρὸς ἄλληλα καὶ τὰς κατ' εἴδη διαφορὰς ἑκάστου καὶ τὰ ὑπάρχοντα αὐτοῖς κοινῶς τε καὶ ἰδίως ἐπιδεικνύντος, αὐτὸς [ὁ θεῖος Ἰάμβλιχος] ἐν τοῖς προσήκουσι τόποις τὰ τοῦ Ἀρχύτου παραγαγὼν ἐκεῖνά τε νοερῶς συνεσπαρμένα ἐξήπλωσε καὶ τὴν συμφωνίαν τὴν πρὸς αὐτὰ τοῦ Ἀριστοτέλους ἐπέδειξε. Καὶ εἴ πού τι διάφωνον ἦν, ὀλίγα δὲ καὶ ταῦτα, καὶ τοῦτο ὑπ' ὄψιν ἤγαγε τοῖς φιλομαθέσι, μηδὲ τὴν αἰτίαν τῆς διαφωνίας ἀνεξέταστον καταλιμπάνων, εἰκότως, διότι φαίνεται πανταχοῦ τῷ Ἀρχύτᾳ κατακολουθεῖν ὁ Ἀριστοτέλης βουλόμενος. Boethius Arithm. II, 41 : « inde etiam in Aristotelica et Archytæ prius decem prædicamentorum descriptione Pythagoricum denarium manifestum est invenire ; quandoquidem et Plato studiosissimus Pythagoræ secundum eam disputationem dividit et Archytas Pythagoricus ante Aristotelem, licet quidem quibusdam sit ambiguum, decem hæc prædicamenta constituit. » Idem præf. in Categ. : « Themistius negat eum Archytam qui de decem prædicamentis scripsit, esse Pythagoreum antiquum, sed esse juniorem Peripateticum. »)

10. Πᾶσα ὠσία [a] φυσικά τε καὶ αἰσθητὰ ἤτοι ἐν τούτοις ἢ διὰ τούτων [τῶν κατηγορουμένων] ἢ οὐκ ἄνευ τούτων πέφυκε τᾷ διανοίᾳ τῶν ἀνθρώπων ὑποπίπτειν [b].

(Simplicius ad Aristot. Categ. f. 28 b ex Archytæ libro περὶ τοῦ παντός. Scripsi : [a] ὠσία ; codd. οὐσία. — [b] ὑποπίπτειν ; codd. ὑποπίπτειν.)

11. Τᾶς τε γὰρ ὠσίας ἐντὶ διαφοραὶ τρεῖς· ἁ μὲν γὰρ ἐν ὕλᾳ, ἁ δ' ἐν μορφᾷ, ἁ δὲ συναμφότερον ἐκ τούτων.

(Simplicius ad Aristot. Categ. f. 34 a ex Archytæ libro περὶ τοῦ παντός. Posui ἁ δ' ἐν μορφᾷ pro membranarum lectione ἁ δὲ μορφᾷ. Extrema fortasse rectius scribuntur ἁ δὲ συναμφοτέρων ἐκ τούτων, sed nihil mutare ausim.)

12. Ταῖς δὲ διανοίαις ταύταις καὶ ταῖς κατηγορίαις συνυπάρχει τινὰ μὲν κοινά, τινὰ δὲ ἴδια. Λέγω δὲ κοινὰ μὲν τᾶς ὠσίας [a] τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον· οὐ γὰρ [b] δὴ ἐνδέχεται μᾶλλον καὶ ἧττον ἦμεν

---

9. Ordo autem categoriarum sic se habet : primo loco posita est substantia propterea quod hæc sola ceteris subsit et ipsa per se in intelligentiam nostram cadat, ceteræ vero sine ea intelligi non possint ; quippe aut hujus respectu aut in hac subjacentes perhibentur ; secundum vero locum qualitas tenet, quia sublata essentia nihil certa quadam qualitate præditum esse potest.

10. Omnis substantia naturalis ac sensibilis aut in his aut per hæc [attributa] aut non sine his cogitationi nostræ suapte natura subjici solet.

11. Nam substantiæ tria sunt discrimina, quorum unum in materia, aliud in forma positum est, tertium ex utraque re constat.

12. Sed his cogitationibus et attributionibus simul communia quædam, simul alia propria adjuncta sunt. Dico autem primum illud commune esse substantiæ, quod neque contentionem neque remissionem admittit, quia fieri non potest, ut quis magis et minus vel homo sit, vel deus et planta ; deinde quod nihil habet contrarium, quum homo suapte natura homini non sit contrarius, ut nec deus

ον, οὐδὲ μὰν [c] θεὸν καὶ φυτόν· καὶ τὸ μηδὲν
ντίον· ἀνθρώπω γὰρ ἄνθρωπος οὐκ ἔντι ἐναν-
δὲ μὰν θεῷ θεός, ἔτι δὲ [d] ταῖς ἄλλαις ὠσίαις [e]
αὐτὸ ἦμεν, ἀλλὰ μὴ ἑτέρῳ τινὶ συνυπάρχεν [f],
γλαυκότατα καὶ χαροπότατα ὀφθαλμῶν [g] ὠσίας
πᾶσα γὰρ ὠσία [h] καθ' αὑτάν ἐντι· τὰ δὲ συν-
τα ἢ συμβεβακότα [i]; ἢ ἐν ταύτᾳ ἢ οὐκ ἄνευ
Καὶ τᾷ ποιότατι [k] δὲ πρέποντι [l] πολλὰ καὶ τῶν
ας [m], οἷον τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ

(Simplicius ad Aristot. Categ. f. 34 b, ex Archytæ libro περὶ τοῦ παντός. Reposui : [a] ὠσίας; codd. οὐσίας. — [b] οὐ γὰρ δὴ; codd. οὐ γὰρ δὲ. — [c] μὰν; codd. οὐδὲ μὲν. — [d] ἔτι δὲ; libri οὐδὲ. [e] ταῖς τὸ; libri οὐσίαις τό τε. — [f] συνυπάρχεν; [g] ranæ συνυπάρχειν. — [g] ὀφθαλμῶν ὠσίας οἱ- codd. ὀφθαλμοῖς οὐσίας οἰκεῖον. — [h] ὠσία; οὐσία. — [i] συμβεβακότα; libri συμβεβηκότα. ποιότατι; codd. ποιότητι. — [l] πρέποντι; codd. ται. — [m] ὠσίας; membranæ οὐσίας.)

Τᾶς ὠσίας [a] ἴδιον ὑπάρχεν [b] τὸ τὰν αὐτὰν καὶ ριθμῷ διαμένοισαν τῶν ἐναντίων δεκτικὰν ἦμεν· ν μὲν ὕπνῳ ἐγρήγορσις, ταχυτᾶτι δὲ βραδυτάς, [c] δὲ νόσος· καὶ ὁ αὐτὸς ἄνθρωπος καὶ εἷς ἀριθμῷ [d] δεκτικὸς τούτων· καὶ γὰρ δὲ ἐγρήγορε καὶ εὖ βραδιόνως καὶ ταχιόνως κινεῖται [e], καὶ ὑγιαίνει νοσεῖ καὶ τῶν τούτοις ὁμοίων δεκτικός ἐντι, οὐ τὸν αὐτὸν δὲ χρόνον.

(Simplicius ad Aristot. Categ. f. 43 a, ex Archytæ libro περὶ τοῦ παντός. Posui : [a] ὠσίας; codd. . — [b] ὑπάρχεν; libri ὑπάρχειν. — [c] ὑγιείᾳ; ὑγείᾳ. — [d] γίνεται; codd. γίγνεται. — [e] κι- libri κινέεται. Cæterum βραδιόνως et ταχιόνως hic dicitur ut κρειττόνως apud Aristot. De plantis lib. I cap. 4 p. 820, 4 ed. Bekker.)

14. Τᾶς ποσότατος διαφοραὶ τρεῖς. Τὸ μὲν γάρ ἐντι ἐν ροπᾷ, ὡς τὸ τάλαντον· τὸ δὲ ἐν μεγέθει, ὡς τὸ δίπαχυ· τὸ δὲ ἐν πλάθει, ὡς τὰ δέκα.

(Simplicius ad Aristot. Categ. f. 48 a, ex Archytæ libro περὶ τοῦ παντός. Scripsi ποσότατος pro membranarum lectione ποσότητος.)

15. Πρώταν μὲν τὰν ὠσίαν εἶναι δεῖ καὶ τὰ συνυπάρχοντα αὐτᾷ· καὶ οὕτως ποτ' ἄλλο τί πως ἔχεν αὐτά· μετὰ δὲ ταύταν τὰν τῶν ἐπικατάτων σχέσιν.

(Simplicius ad Aristot. Categ. f. 58 b, ex Archytæ libro περὶ τοῦ παντός. Posui ὠσίαν pro codicum scriptura οὐσίαν).

16. Καὶ γὰρ τᾷ ποιότατι κοινὰ συναρτητέον τό τε ἐναντιότατά τινα ἐπιδέχεσθαι καὶ στέρησιν. Καὶ τὸ ποτ' ἄλλο δέ πως ἔχον ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· μᾶλλον μὲν γάρ ἐντι [a] ἢ μὲν μειζόν τινος καὶ ἧττον ἢ μεῖον [b] πάλιν τῷ αὐτῷ τούτω, πλὴν οὐκ ἐπὶ πάντων τῶν ποτ' ἄλλως [c] πως ἐχόντων. Οὐ γάρ ἐντι [d] μᾶλλον πατέρα ἦμεν οὐδὲ ἧσσον οὐδὲ μὰν ἀδελφὸν ἢ υἱόν. Λέγω δὲ ταῦτα ἐπιλογιζόμενος οὐκ ἐπὶ τὰς διαθέσιας ἀμφοτέρων τῶν ἠθέων, πῶς ἔχοντι εὐνοίας ποτ' ἀλλάλως [c] τοὶ συγγενέες καὶ τοὶ ὁμάδελφοι, ἀλλ' ἐπ' αὐτὰν τὰν τᾶς φύσιος εὔνοιαν.

(Simplicius ad Aristot. Categ. f. 67 a, ex Archytæ libro περὶ τοῦ παντός. Scripsi : [a] ἐντι; codd. ἐστιν. — [b] καὶ ἧττον ἢ μεῖον; codd. καὶ μεῖον. — [c] τῶν ποτ' ἄλλως; cod. τῶν ἄλλως. — [d] ἐντι; libri ἐστι. — [e] ἀλλάλως; membranæ ἄλλως.)

17. Καὶ τᾷ ποιότατι δὲ κοινά τινα συνήρτηται, οἷον τό τε ἐναντιότατα ἐπιδέχεσθαι καὶ στέρησιν· καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον ἐν τοῖς πάθεσι. Διότι γὰρ ἀπει-

---

præterea cæteris substantiis dico illud esse quod per se ent, sed non alii esse adjunctum, ut colorem cæsium cæruleum oculorum naturæ proprium; omnis enim s ntia per se est, quæ vero ipsi adjuncta ponuntur, vel i accidentia, illa aut in ea sunt aut non sine ea. Verum i alitatem etiam multa cadunt quæ substantiæ propria m mantur, velut altiorem et inferiorem gradum non ad re.

Substantiæ proprium esse, quum eadem et una numero permaneat, res contrarias admittere : est autem e o contraria vigilia, celeritati tarditas, sanitati morbus. Quocirca unus et idem homo harum rerum capax est nam et vigilat et dormit et partim tardius partim celerius movetur, et valet et ægrotat rerumque his similium capax est, nec tamen eodem tempore.

Quantitatis tria discrimina sunt. Eorum unum positum est in pondere, quæ talentorum ratio est; aliud in longitudine, quale dicimus bicubitale esse; tertium in multitudine, quod in denarium numerum convenit.

15. Primam quidem substantiam esse oportet et quæ ipsi adjuncta sunt, atque ita ad aliud quid quandam ista habere rationem; post ipsam vero rerum adventiciarum habitum et convenientiam spectari necesse est.

16. Etenim qualitati hoc tanquam commune tribuendum est, quod res contrarias et privationem admittit. Porro quod ad aliud quandam habet rationem, id contentionem et remissionem admittit : intenditur enim, quatenus aliquo majus habetur, et rursus remittitur, quatenus minus hoc eodem existimatur, etsi non eadem omnium est natura qui aliis aliqua necessitudine juncti sunt. Nam fieri non potest, ut quis magis minusve vel pater sit vel frater vel filius. Hæc dico non animorum, quæ in utrisque est, affectionem et mutuam illam cognatorum ac fratrum benevolentiam, sed ipsum quo imbuti sunt naturalem suorum favorem intuitus.

17. Verum qualitati etiam communia quædam insunt, velut illud quod res contrarias et privationem, item hoc quod altiorem et inferiorem gradum in animi perturbatio-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ρίας τινὸς μετέχει τὰ πάθη, διὰ τοῦτο μετείληφέ τινος ἀορίστου ἐπιτάσεως κατὰ τὸ μᾶλλον καὶ τὸ ἧττον.

(Simplicius ad Aristot. Categ. f. 106 b, ex Archytæ libro περὶ τοῦ παντός.)

18. Ἐπιδέχεται (τὸ πρός τι) τὰν ἀντιστροφάν, ὁμοίαν μέν, οἷον ὡς τὸ ἴσον καὶ ἀδελφόν, ἀνομοίαν δέ, ὡς τὸ μεῖζον καὶ μεῖον.

Τὸ μὲν γάρ τι αὐτῶν οὐκ ἔντι [a] ἀντίστροφον, οἷον ἐπιστάμα καὶ αἴσθασις· ἐπιστάμα μὲν γὰρ λέγεται τῶ ἐπιστατῶ καὶ αἴσθασις τῶ αἰσθατῶ [b]. Τὸ δ' αἴτιον, ὅτι τὸ μὲν ἐπιστατὸν καὶ αἰσθατὸν καὶ ἄνευ τᾶς αἰσθάσιος [c] καὶ ἐπιστάμας [d] δύναται ἦμεν, ἃ δὲ ἐπιστάμα [e] καὶ αἴσθασις οὐ δύναται ἦμεν ἄνευ τῶ ἐπιστατῶ [f] καὶ ἄνευ τῶ αἰσθατῶ [g].

Τῶ δὲ ποθ' ἄτερόν [h] πως ἔχοντος ἴδιον τό τε συνυπάρχεν [i] ἅμα ἀλλάλοις καὶ ἀλλάλων δὲ αἴτια ἦμεν. Ἐὰν γὰρ διπλάσιον ᾖ, ἀνάγκα καὶ ἥμισυ ἦμεν· εἰ δὲ καὶ ἡμίσεον, ἀνάγκα καὶ διπλάσιον αἴτιον τῶ ἡμισέω ἦμεν καὶ τὸ ἡμίσεον τῶ διπλασίω ἦμεν.

(Simplicius ad Aristot. Categ. fol. 68 b, ex Archytæ libro περὶ τοῦ παντός. Scripsi : [a] ἔντι; codd. ἔστιν. — [b] τῶ αἰσθατῶ; libri τᾶς αἰσθάσιος. — [c] τᾶς αἰσθάσιος; libri τῆς αἰσθήσιος. — [d] ἐπιστάμας; libri ἐπιστήμας. — [e] ἐπιστάμα; codd. ἐπιστήμη. — [f] τῶ ἐπιστατῶ; membranæ τοῦ ἐπιστατοῦ. — [g] τῶ αἰσθατῶ; libri τοῦ αἰσθητοῦ. — [h] ποθ' ἕτερον; libri πρὸς ἕτερον. — [i] συνυπάρχεν; codd. συνυπάρχειν.)

19. Ἐπειδὴ πᾶν τὸ κινούμενον ἐν τόπῳ κινεῖταί τινι, τὸ δὲ ποεν [a] καὶ τὸ πάσχεν [b] κινάσιές τινες ἐντι [c] κατ' ἐνέργειαν· φανερὸν ὅτι τόπον ὑπῆμεν δεῖ πρῶτον, ἐν ᾧπερ ἐντὶ [d] τὸ ποέον [e] ἢ τὸ πάσχον.

(Simplicius ad Aristot. Categ. f. 108 b, ex Archytæ libro De universo. Conf. f. 132 b, 1; a, 126 a. Scripsi : [a] ποεν; libri ποιεῖν. — [b] πάσχεν; libri πάσχειν. — [c] ἐντι; codd. εἰσι. — [d] ἐντὶ; libri ἐστὶν. — [e] ποέον; codd. ποιέον.)

20. Τῶ δὲ ποιέοντος ἴδιόν ἐντι [a] τὸ ἐν αὐτῷ αἰτί[α] ἔχεν [b] τᾶς κινάσιος, τῶ δὲ ποιουμένω [c] καὶ τῶ πάσχ[ο]ντος τὸ ἐν ἀτέρῳ [d]. Ὁ μὲν γὰρ ἀνδριαντοποιὸς ἐν ἑα[υ]τῷ τὰν αἰτίαν ἔχει τῶ ποεν [e] τὸν ἀνδριάντα, ὁ δὲ χαλκὸς τῶ ποεῖσθαι [f] ἐν ἑαυτῷ τε καὶ τῷ ἀνδριαντ[ο]ποιῷ. Καὶ ἐπὶ δὲ τῶν παθέων δὴ [g] τᾶς ψυχᾶς ὁ αὐτὸς λόγος· ὁ γὰρ θυμὸς ἐφ' ἀτέρῳ [h] τινὶ πέφυκεν ἀνεγείρεσθαι καὶ ὑφ' ἀτέρω [i] τινὸς ἔξωθεν ἐρεθίζεσθαι, οἷ[ον] ὀλιγωρίας, ἀτιμίας, ὕβριος· ὁ δὲ ταῦτα ὁρῶν ἐν ἑα[υ]τῷ τὰν αἰτίαν ἔχει τῶ ταῦτα δρᾶν.

(Simplicius ad Aristot. Categ. f. 115 b, ex Archytæ libro περὶ τοῦ παντός. Posui : [a] ἐντι; libri ἐστι. — [b] ἔχεν; codd. ἔχειν. — [c] ποιουμένω; libri ποιωμένα. — [d] ἀτέρῳ; libri ἑτέρῳ. — [e] ποεν; libri ποιεν. — [f] ποεῖσθαι; codd. ποιεῖσθαι. — [g] δὲ; libri δὲ. — [h] ἀτέρῳ; codd. ἑτέρῳ. — [i] ἀτέρω; codd. ἑτέρω.)

21. Τῶ δὲ ποεν [a] ἀνωτάτω μὲν ἁ ἐνέργεια, τᾶς δὲ ἐνεργείας διαφοραὶ τρεῖς. Τὸ μὲν γάρ τί ἐντι [b] αὐτὰ ἐν τῷ θεωρέν, οἷον ἀστρονομέν [c]· τὸ δὲ ἐν τῷ ποεῖ, οἷον ὑγιάζεν, τεκταίνεν· τὸ δὲ ἐν τῷ πράσσεν, οἷον στραταγέν, πολιτεύεσθαι. Γίνεται δὲ ἁ μὲν ἐνέργεια καὶ ἄνευ διανοίας, οἷον ἐν τοῖς ἀλόγοις ζῴοις· γενικώτατα δὲ αὐτά.

(Simplicius ad Aristot. Categ. f. 116 b, ex Archytæ libro περὶ τοῦ παντός. Posui : [a] ποέν; libri ποιεῖν. — [b] ἐντι; codd. ἐστιν. — [c] ἀστρονομέν; codd. ἀστρονομεῖν.)

22. Τὸ δὲ πάθος τοῦ πεπονθότος διαφέρει· πάθος μὲν

---

nibus admittit. Nam quia motus animi perturbati quandam habent infinitatem, idcirco etiam altiorem et inferiorem infinitæ intentionis gradum nacti sunt.

18. Admittit relatio ad aliquid reciprocationem, similem quidem, verbi gratia respectu paris et consortis, dissimilem vero respectu majoris et minoris.

Nam pars quidem earum relationum non est reciproca, quæ scientiæ et sensus ratio est; quoniam ut scientia rerum in cognitionem cadentium, ita sensus rerum sensibilium esse dicitur. Cujus relationis causa est, quod quum res in cognitionem cadentes resque sensibiles etiam sine sensu ac scientia exstare possint, scientia et sensus, sublatis rebus in cognitionem cadentibus ac sensibilibus, exstare non possunt.

Ejus autem quod ad aliud quandam habet rationem proprium est simul communi vinculo constrictum esse, ita ut alterum alterius causa sit. Nam si duplum sit, necesse est et dimidium esse; si vero etiam dimidium, necesse est et duplum causam dimidii esse et dimidium dupli causam esse.

19. Quum quidquid movetur in spatio aliquo moveatur, actus autem et patientia reapse motus quidam sint : manifestum est spatium subesse primum oportere, in quo sit id quod agit vel patitur.

20. Cæterum agentis proprium est, motûs causam in se, at actûs et patientis proprium, eam in alio habere. Nam statuarius habet in se faciendæ statuæ causam; at æs tam in se ipso quam in statuario causam habet, cur status fiat. Jam vero animi perturbationum eadem ratio est; quippe ira aliunde oriri solet et alia quadam eaque externa causa concitari, velut contemtione, ignominia, injuria; qui autem hæc facit, in se ipso habet causam ea faciendi.

21. Gorgias seria adversariorum verba risu discutiendi, at risum seriis refutandum esse ajebat.

22. Illud autem Gorgiæ in hirundinem, quum devolans merda ipsum inquinasset, mire decet tragicos; dixit enim « *turpe utique o Philomela.* » Nimirum avi, si id fecisset, non esset turpe; virgini vero turpe foret. Recte igitur illi convicium fecit, commemorans quod fuit, non quod est.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΑΥΞΕΝ

CHALCIDII TIMÆUS

EX PLATONIS DIALOGO

RANSLATUS ET IN EUNDEM COMMENTARIUS

CUM GRÆCO PLATONIS EXEMPLO ET LATINA CICERONIS INTERPRETATIONE.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΑΓΓΕΛΙΚΗΣ ΣΧΟΛΗΣ ΚΟΥΡΙΑΚΗ
ΑΡΙΘ.

De Chalcidio.

Antequam de Cynicorum principibus Antiene, Diogene, Cratete, Demonacte disserere rediamur eorumque fragmenta subjiciamus; um nobis est Chalcidium tum collatis superibus editionibus, tum consultis membranis rentinis recognitum hoc loco inserere. Hujus erpretationem partis prioris Timæi Platonici n commentario, qui præclarum antiquæ phiophiæ monumentum haberi solet, primus e liothecarum latebris in lucem protulit Aug. tinianus Lutetiæ Parisiorum anno 1520. Seæ sunt duæ editiones longe præstantiores. rum altera fuit Jo. Meursii quæ Lugduni Baorum anno 1617 excusa est. Altera insigni Alb. Fabricii diligentiæ debetur, qui Chalium paullo accuratius recensitum suisque et ursii annotationibus illustratum S. Hippolyti ribus Hamburgi anno 1718 emissis adjecit. s paucis diebus codices Mediceos Florentiæ per percurrimus, ut si quid utile continerent, od ad emendandum hunc scriptorem adhiberi sset, id festinanter in itinere excerperemus. que quædam codicum ope, alia nostro Marte rexímus.

De Chalcidii ætate rerumque sacrarum forla vetus inter viros doctos controversia est. mque alii eum Christianum, alii Hebræum, i denique antiquorum deorum cultorem fuisse i sunt. Ac Fabius quidem Planciades Fulgens, scriptor Christianus, Marciano Capella ate posterior, qui *Allegoriam librorum Virgilii* alcidio inscripsit eum *Levitarum sanctissimum* vocare non dubitavit. Accedit quod in inscriptione libelli *de prisco sermone*, quem idem Fulgentius ad Chalcidium misit, in editionibus Hadriani Junii et Dionysii Gothofredi dicitur *Grammaticus*, *Timæi Platonici Ecphrastes*. At hæc verba a recentiore manu addita videntur, quum in multis veterum exemplarium tam editorum quam calamo exaratorum non compareant. Quocirca licebit Levitam illum a nostro Chalcidio diversum existimare. Omitto varias eruditorum hominum de hoc argumento sententias, quas, si tanti est, vide in Fabricii Bibl. Lat. lib. III cap. VII, tom. III pag. 105 seqq. ed. Ernesti. Nos Chalcidium quarti sæculi scriptorem nullam sectam professum, sed plenam veteris sapientiæ cognitionem consecutum de sacrorum ritibus ita judicasse arbitramur, ut nulli formulæ quasi addictus et consecratus partim Græcos Romanosque deos, partim peregrina sacra colenda esse statueret ideoque in his rebus medium quiddam teneret ac temperamentum servaret.


CHALCIDII V. C.
IN TIMÆUM PLATONIS
PROOEMIUM.

CHALCIDIUS OSIO SUO
SALUTEM.

Socrates in exhortationibus suis virtutem laudans, quum bonorum omnium totiusque prosperitatis causam consistere penes eam dice-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ret, addidit, solam esse quæ res impossibiles redigeret ad possibilem facilitatem. Præclare. Quid enim generosam magnanimitatem vel aggredi pigeat, vel cœptum fatiget, ut tanquam victa difficultatibus temperet a labore? Eadem est, opinor, vis amicitiæ parque impossibilium pæne rerum extricatio, quum alter ex amicis jubendi religione, alter parendi voto, complaciti operis adminiculentur effectum. Conceperas animo florente omnibus studiis humanitatis excellentique ingenio tuo spem dignam proventu operis ad hoc tempus intentati, ejusque usum a Græcis Latio mutuandum statueras. Et quamquam ipse hoc cum facilius, tum commodius facere posses, credo propter admirabilem verecundiam, ei potius maluisti injungere, quem te esse alterum judicares. Possemne, oro te, quamvis res esset ardua, tanto honore habito, de quo ita senseras, injunctum excusare munus? et qui nunquam, ne in solennibus quidem et usitatis voluntatibus ullum officium recusassem, huic tanto tamque honesto desiderio contradicere? In quo declinatio speciosi muneris excusatione ignorationis callida esset scientiæ futura simulatio. Itaque parui, certus, non sine divino instinctu id mihi a te munus injungi. Proptereaque alaciore mente speque confirmatiore primas partes Timæi Platonis aggressus, non solum transtuli, sed etiam partis ejusdem commentarium feci : putans reconditæ rei simulacrum sine interpretationis explanatione aliquanto obscurius ipso exemplo futurum. Causa vero in partes dividendi libri operis fuit prolixitas, simulque quod cautius videbatur esse, si tanquam libamen aliquod ad degustandum auribus atque animo tuo mitterem, quod si non displicuisse rescriberetur, faceret audendi majora fiduciam.


ΕΥΛΟΓΙΟΥ ΚΥΡΙΛΛ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΥΡΙΛΛΑ
ΑΡΙΣΤΟΥ

PLATONIS TIMÆUS

CHALCIDIO V. C. INTERPRETE.

INTERLOQUUNTUR SOCRATES, TIMÆUS, HERMOCRATES, CRITIAS.

§ 1. SO. Unus, duo, tres. Quartum ex numero, Timæe, ...istro requiro; ut qui hesterni quidem epuli convivæ fue...lis, hodierni præbitores invitatoresque, ex condicto re...ideatis.

TI. Languor enim repente, ut fit, ortus moratur. Ne...ne enim sponte se tali cœtu tantæque rei tractatu et ...mmunione fraudaret.

SO. Ergo tui, et item horum, erit officii, complere id ...od deest participis absentia.

TI. Æquum postulas, denique enitemur omnes pro vi...bus : neque enim fas est, laute acceptos heri, minoris ...bi apparatus repræsentare convivium.

SO. Tenetis certe memoria præscriptam vobis a me tra...tatus normulam.

TI. Partim tenemus, in quibus porro nutabit memoria, ...æsens ipse in tempore suggeres : immo, nisi sit mole...tum, breviter ab exordio dicta demum retexe, quo dige...tus ordo solidetur.

SO. Ita fiet. Cardo, ni fallor, hesternæ disputationis ...es erat publica : qualis mihi, quibusque institutis, et ...ivium moribus, videretur optima.

TI. Nobis certe qui audiebamus, o Socrates, ad arbi...rium probata.

II. SO. Quid illud? nonne inter initia agrorum cultores, cæterarumque artium professores, a destinata bellicis ne gotiis juventute secrevimus?

TI. Sic factum est.

SO. Tributo nempe cunctis, quod unicuique eximium a natura datum est; solis iis, qui pro salute omnium bella tractarent, unum hoc munus injunximus protegendæ civitatis : vel adversum externos, vel adversum intestinos ac domesticos hostes : mitibus quidem judiciis erga obedientes, utpote consanguineos naturaque amicos : asperis autem contra armatas acies in congressionibus martiis. Biformi siquidem natura præditos; in tutela patriæ, civiumque, ferociore : porro in pacis officiis, et religione, sapienti : proptereaque mites suis, adversum alienigenas feroces.

TI. Memini.

SO. Quid? Hujus ipsius ancipitis naturæ magisterium, et quasi quandam nutricationem, nonne in exercitio corporum gymnasiorumque luctamine, animorum item placiditatem constituebamus in delinimentis, et affabilitate musicæ, cæterarumque institutionum, quas adolescentes ingenuos scire par est?

TI. Procul dubio.

ΠΛΑΤΩΝΟΣ ΤΙΜΑΙΟΣ.

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ ΣΩΚΡΑΤΗΣ ΚΡΙΤΙΑΣ ΤΙΜΑΙΟΣ ΕΡΜΟΚΡΑΤΗΣ.

§ 1. Εἷς, δύο, τρεῖς. Ὁ δὲ δὴ τέταρτος ἡμῖν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τὰ νῦν δ' ἑστιατόρων;

ΤΙ. Ἀσθένειά τις αὐτῷ ξυνέπεσεν, ὦ Σώκρατες· οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς ξυνουσίας.

ΣΩ. Οὐκοῦν σὸν τῶνδέ τε ἔργον καὶ τὸ ὑπὲρ τοῦ ἀπόντος ἀναπληροῦν μέρος;

ΤΙ. Πάνυ μὲν οὖν, καὶ κατὰ δύναμίν γε οὐδὲν ἐλλείψομεν· οὐδὲ γὰρ ἂν εἴη δίκαιον χθὲς ὑπὸ σοῦ ξενισθέντας οἷς ἦν πρέπον ξενίοις μὴ οὐ προθύμως σὲ τοὺς λοιποὺς ἡμῶν ἀντεφεστιᾶν.

ΣΩ. Ἆρ' οὖν μέμνησθε ὅσα ἡμῖν καὶ περὶ ὧν ἐπέταξα εἰπεῖν;

ΤΙ. Τὰ μὲν μεμνήμεθα, ὅσα δὲ μή, σὺ παρὼν ὑπομνήσεις. Μᾶλλον δέ, εἰ μή τί σοι χαλεπόν, ἐξ ἀρχῆς διὰ βραχέων πάλιν ἐπάνελθε αὐτά, ἵνα βεβαιωθῇ μᾶλλον παρ' ἡμῖν.

ΣΩ. Ταῦτ' ἔσται. Χθὲς που τῶν ὑπ' ἐμοῦ ῥηθέντων λόγων περὶ πολιτείας ἦν τὸ κεφάλαιον, οἷα τε καὶ ἐξ οἵων ἀνδρῶν ἀρίστη κατεφαίνετ' ἄν μοι γενέσθαι.

ΤΙ. Καὶ μάλα γε ἡμῖν, ὦ Σώκρατες, ῥηθεῖσα πᾶσι κατὰ νοῦν.

ΣΩ. Ἆρ' οὖν οὐ τὸ τῶν γεωργῶν, ὅσαι τε ἄλλαι τέχναι, πρῶτον ἐν αὐτῇ χωρὶς διειλόμεθα ἀπὸ τοῦ γένους τοῦ τῶν προπολεμησόντων;

ΤΙ. Ναί.

ΣΩ. Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα καὶ μίαν ἑκάστῳ τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν εἴπομεν, ὡς ἄρα αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴ τέ τις ἔξωθεν ἢ καὶ τῶν ἔνδον ἴοι κακουργήσων, δικάζοντας μὲν πράως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν ἅτε φύσει φίλοις οὖσι, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσι τῶν ἐχθρῶν γιγνομένους.

ΤΙ. Παντάπασι μὲν οὖν.

ΣΩ. Φύσιν γὰρ οἶμαί τινα τῶν φυλάκων τῆς ψυχῆς ἐλέγομεν ἅμα μὲν θυμοειδῆ, ἅμα δὲ φιλόσοφον δεῖν εἶναι διαφερόντως, ἵνα πρὸς ἑκατέρους δύναιντο ὀρθῶς πρᾶοι καὶ χαλεποὶ γίγνεσθαι.

ΤΙ. Ναί.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

SO. At vero hac educatione altis, auri argentique, et cæteræ supellectilis, possessionem cujusque propriam nullam esse, aut existimari licere, prædiximus : sed sola mercede contentos, exhibentibus quorum salutem tuerentur, uti communiter tanta quanta sit satis : occupatis erga custodiam communis salutis, et a cætera functione operis cessantibus.

TI. Dicta hæc omnia in hunc modum sunt.

§ 2. SO. De fœminis quoque opinor habitam mentionem : quas similes ejusdemque naturæ maribus conveniat effingi, sine ulla morum differentia : quo uterque sexus iisdem et communibus institutis regatur. Quid de procreandis suscipiendisque liberis? An vero hoc ita, ut cætera, quæ præter opinionem hominum, consuetudinemque vitæ, dici videntur, memorabile, vivaciorisque tenacitatis, de existimandis communibus nuptiis, communique prole; si suos quisque minime internoscat affectus, propterea que omnibus omnes consanguinitatis exhibeant religionem : dum æquales quidem fratrum et sociorum caritate benivolentiaque ducuntur : majoribus vero parentum religio; eorumque antiquioribus, avorum exhibeatur atque atavorum, reverentia : infraque filiis et nepotibus debita caritas, atque indulgentia, convalescat?

TI. Hæc quoque facilia memoratu; et a nobis retinentur optime.

SO. Quid illud, quod sine odio, et sine æmulatione, nubentium, melioribus procis melius moratæ virgines sortito obveniant; inferiores porro inferioribus, non tenetis saluberrimam sortis fraudem, curantibus in utroque sexu præfectis nuptiarum : quo suam quisque fortunam sortis improsperam culpet, nec prælationem doleat alterius?

TI. Hoc quoque memoria tenemus.

SO. Illud etiam promulgatum puto, lectorum fœtus parentum, summa cura, utpote naturale privilegium bonitatis præferentes, in patria alendos.

TI. Id ipsum.

SO. Cæteros ablegandos, sed cuidam usui futuros patriæ processu ætatis, nihilo remissiore cura habendos. Notanda pueritiæ, et item adolescentiæ, merita : quo tam ex secundi ordinis populo provehantur ad primum ordinem propugnatorum, qui merebuntur; quam ex iis, qui a parentum virtute degenerarint, ad ordinem secundæ dignitatis relegentur. Ecquid ergo, Timæe, satis videtur factum recepto, cunctis partibus orationis hesternæ, licet strictim compendioque decursis, an aliquid etiam vultis addi?

TI. Nihil sane.

§ 3. SO. Scisne igitur quid ego de ista republica sentiam; quodve et quantum animi desiderium feram?

TI. Quid illud?

SO. Ut si quis visis animalibus eximiæ pulchritudinis ac venustatis, pictis, vel etiam viventibus quidem, sed

---

ΣΩ. Τί δαὶ τροφήν; ἆρ' οὐ γυμναστικῇ καὶ μουσικῇ μαθήμασί τε, ὅσα προσήκει τούτοις, ἐν ἅπασι τεθράφθαι;

ΤΙ. Πάνυ μὲν οὖν.

ΣΩ. Τοὺς δέ γε οὕτω τραφέντας ἐλέχθη που μήτε χρυσὸν μήτε ἄργυρον μήτε ἄλλο ποτὲ μηδὲν κτῆμα ἑαυτῶν ἴδιον νομίζειν δεῖν, ἀλλ' ὡς ἐπικούρους μισθὸν λαμβάνοντας τῆς φυλακῆς παρὰ τῶν σωζομένων ὑπ' αὐτῶν, ὅσος σώφροσι μέτριος, ἀναλίσκειν τε δὴ κοινῇ καὶ ξυνδιαιτωμένους μετ' ἀλλήλων ζῆν, ἐπιμέλειαν ἔχοντας ἀρετῆς διὰ παντός, τῶν ἄλλων ἐπιτηδευμάτων ἄγοντας σχολήν.

ΤΙ. Ἐλέχθη καὶ ταῦτα ταύτῃ.

§ 2. ΣΩ. Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσι παραπλησίας εἴη ξυναρμοστέον καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις.

ΤΙ. Ταύτῃ καὶ ταῦτα ἐλέγετο.

ΣΩ. Τί δὲ δὴ τὸ περὶ τῆς παιδοποιίας; ἢ τοῦτο μὲν διὰ τὴν ἀήθειαν τῶν λεχθέντων εὐμνημόνευτον, ὅτι κοινὰ τὰ τῶν γάμων καὶ τὰ τῶν παίδων πᾶσιν ἁπάντων ἐτίθεμεν, μηχανωμένοις ὅπως μηδεὶς ποτε τὸ γεγενημένον αὐτῷ ἰδίᾳ γνώσοιτο, νομιοῦσι δὲ πάντες πάντας αὐτοὺς ὁμογενεῖς, ἀδελφὰς μὲν καὶ ἀδελφοὺς ὅσοι περ ἂν τῆς πρεπούσης ἐντὸς ἡλικίας γίγνωνται, τοὺς δ' ἔμπροσθεν καὶ ἄνωθεν γονέας τε καὶ γονέων προγόνους, τοὺς δὲ εἰς τὸ κάτωθεν ἐκγόνους παῖδάς τ' ἐκγόνων;

ΤΙ. Ναί, καὶ ταῦτα εὐμνημόνευτα ἦ λέγεις.

ΣΩ. Ὅπως δὲ δὴ κατὰ δύναμιν εὐθὺς γίγνοιντο ὡς ἄριστοι τὰς φύσεις, ἆρ' οὐ μεμνήμεθα ὡς τοὺς ἄρχοντας ἔφαμεν καὶ τὰς ἀρχούσας δεῖν εἰς τὴν τῶν γάμων σύνερξιν λάθρᾳ μηχανᾶσθαι κλήροις τισὶν ὅπως οἱ κακοὶ χωρὶς οἵ τ' ἀγαθοὶ ταῖς ὁμοίαις ἑκάτεροι ξυλλήξονται, καὶ μή τις αὐτοῖς ἔχθρα διὰ ταῦτα γίγνηται, τύχην ἡγουμένοις αἰτίαν τῆς ξυλλήξεως;

ΤΙ. Μεμνήμεθα.

ΣΩ. Καὶ μὴν ὅτι γε τὰ μὲν τῶν ἀγαθῶν θρεπτέον ἔφαμεν εἶναι, τὰ δὲ τῶν φαύλων εἰς τὴν ἄλλην λάθρᾳ διαδοτέον πόλιν; ἐπαυξανομένων δὲ σκοποῦντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν;

ΤΙ. Οὕτως.

ΣΩ. Ἆρ' οὖν δὴ διεληλύθαμεν ἤδη, καθάπερ χθές, ὡς ἐν κεφαλαίοις πάλιν ἐπανελθεῖν; ἢ ποθοῦμεν ἔτι τι τῶν ῥηθέντων, ὦ φίλε Τίμαιε, ἀπολειπόμενον;

ΤΙ. Οὐδαμῶς, ἀλλ' αὐτὰ ταῦτ' ἦν τὰ λεχθέντα, ὦ Σώκρατες.

§ 3. ΣΩ. Ἀκούοιτ' ἂν ἤδη τὰ μετὰ ταῦτα περὶ τῆς πολιτείας ἣν διήλθομεν, οἷόν τι πρὸς αὐτὴν πεπονθὼς τυγχάνω. Προσέοικε δὲ δή τινί μοι τοιῶδε τὸ πάθος, οἷον εἴ τις ζῷα καλά που θεασάμενος, εἴτε ὑπὸ γραφῆς εἰργασμένα εἴτε καὶ ζῶντα ἀληθινῶς, ἡσυχίαν

nobiliter quiescentibus; motus actusque et certamen uod eorum spectare desideret : sic ego nunc urbis rmatæ adumbratumque sermone populum, agentem uid cum finitimis civitatibus in pace, aut bello, num tanta fama, et educatione, magna quadam expeione deposco. Quippe fateor, o Critia et Hermocrate, eum esse me, qui tantam indolem digne laudare pos. Nec mirum, non posse me; quando nec veteres dem oratores, vel præsentis seculi poetas, posse confi. Non quod contemnam poeticam nationem : sed d evidens perspicuumque sit, imitandi peritos ea de m æmulari posse perfecte, quorum ab ineunte ætate beant usum experientiamque, et in quibus propemodum educati. At vero incogniti moris peregrinæque inutionis imitationem, effictam præsertim oratione, seu sibus, præclaris licet præstantibusque ingeniis esse icilem. Sophistas, quanquam verborum agmine ate sermonis inundatione beatos judico, vereor tamen ut sunt vagi palantesque, nec certis propriisque sebus ac domiciliis, philosophos mores et instituta ilis prudentiæ nec conjectura quidem assequi valeant : demonstrare cæteris, cujusmodi debeant esse officia cata; et item in bellis fides provecti ad sapientiam poli. Superest igitur solum vestræ eruditionis ingenium, tritum cura publica, philosophiæque naturali studio flagrans. Siquidem Timæus iste ex Locris, quæ urbs Italiæ flos est, nobilitate, divitiis, rerum gestarum gloria facile princeps : idemque ad hoc tempus arcem obtinet amoris sapientiæ. Critiam vero, utpote civem, scimus in studiis humanitatis omnibus apprime vigere. De Hermocratis porro natura, educatione factâ, et accommodatâ rebus iis, de quibus agimus, explicandis, dubitare nullum puto. Ideoque vobis jubentibus hesterna die facile parui; quæque mihi visa sunt de publicis rebus disserenda esse, impigre sum exsecutus : illud cogitans, reliquas partes instituti operis a nullo alio commodius posse tractari. Denique expleto competenter officio, finitoque sermone, contendi a vobis quoque mutuum fieri; vosque imperatum munus recepistis : et adsum, ut videtis, paratus ad desponsam dapem.

§ 4. HER. Nos quoque omnes, ut pollicitus est modo Timæus, injunctum nobis a te munus pro viribus exsequemur : præsertim cum nulla excusandi competat ratio. Namque et præterito die mox conventu soluto, cum ad hospitium rediremus, quo suscepti a Critia sumus; et ibidem postea de ipsa re habuimus tractatum non otiosum. Hic igitur nobis ex historia vetere narrationem recensuit : quam velim, Critia, repetas : ut cum cognoverit Socrates, æstimet, sitne futura utilis ad imperatæ remunerationis effectum.

ἄγοντα, εἰς ἐπιθυμίαν ἀφίκοιτο θεάσασθαι κινούνά τε αὐτὰ καί τι τῶν τοῖς σώμασι δοκούντων προσκειν κατὰ τὴν ἀγωνίαν ἀθλοῦντα. Ταὐτὸν καὶ ἐγὼ έπονθα πρὸς τὴν πόλιν ἣν διήλθομεν· ἡδέως γὰρ ἄν ου λόγῳ διεξιόντος ἀκούσαιμ' ἄν, ἄθλους οὓς πόλις λεῖ, τούτους αὐτὴν ἀγωνιζομένην πρὸς πόλεις ἄλλας, ρεπόντως εἴς τε πόλεμον ἀφικομένην καὶ ἐν τῷ πολεῖν τὰ προσήκοντα ἀποδιδοῦσαν τῇ παιδείᾳ καὶ τροφῇ κατά τε τὰς ἐν τοῖς ἔργοις πράξεις καὶ κατὰ τὰς ἐν οῖς λόγοις διερμηνεύσεις πρὸς ἑκάστας τῶν πόλεων. αῦτ' οὖν, ὦ Κριτία καὶ Ἑρμόκρατες, ἐμαυτοῦ μὲν ὕτὸς κατέγνωκα μή ποτ' ἂν δυνατὸς γενέσθαι τοὺς νδρας καὶ τὴν πόλιν ἱκανῶς ἐγκωμιάσαι. Καὶ τὸ ἐν ἐμὸν οὐδὲν θαυμαστόν· ἀλλὰ τὴν αὐτὴν δόξαν εἶηφα καὶ περὶ τῶν πάλαι γεγονότων καὶ τῶν νῦν ὄντων οιητῶν, οὔ τι τὸ ποιητικὸν ἀτιμάζων γένος, ἀλλὰ αντὶ δῆλον ὡς τὸ μιμητικὸν ἔθνος, οἷς ἂν ἐντραφῇ, αῦτα μιμήσεται ῥᾷστα καὶ ἄριστα, τὸ δ' ἐκτὸς τῆς τροφῆς ἑκάστοις γιγνόμενον χαλεπὸν μὲν ἔργοις, ἔτι χαλεπώτερον λόγοις εὖ μιμεῖσθαι. Τὸ δὲ τῶν σοφιστῶν γένος αὖ πολλῶν μὲν λόγων καὶ καλῶν ἄλλων κάλα ἔμπειρον ἥγημαι, φοβοῦμαι δὲ μή πως, ἅτε πλανητὸν ὂν κατὰ πόλεις οἰκήσεις τε ἰδίας οὐδαμῇ διωκηκός, ἄστοχον ἅμα φιλοσόφων ἀνδρῶν ἢ καὶ πολιτιῶν, ὅσ' ἂν οἷά τε ἐν πολέμῳ καὶ μάχαις πράττοντες ργῳ καὶ λόγῳ προσομιλοῦντες ἑκάστοις πράττοιεν καὶ λέγοιεν. Καταλέλειπται δὴ τὸ τῆς ὑμετέρας ξεως γένος, ἅμα ἀμφοτέρων φύσει καὶ τροφῇ μετέχον. Τίμαιός τε γὰρ ὅδε, εὐνομωτάτης ὢν πόλεως τῆς ἐν Ἰταλίᾳ Λοκρίδος, οὐσίᾳ καὶ γένει οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ, τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς τῶν ἐν τῇ πόλει μετακεχείρισται, φιλοσοφίας δ' αὖ κατ' ἐμὴν δόξαν ἐπ' ἄκρον ἀπάσης ἐλήλυθε· Κριτίαν δέ που πάντες οἱ τῇδ' ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν· τῆς δ' Ἑρμοκράτους αὖ πέρι φύσεως καὶ τροφῆς, πρὸς ἅπαντα ταῦτ' εἶναι ἱκανῆς πολλῶν μαρτυρούντων πιστευτέον. Διὸ καὶ χθὲς ἐγὼ διανοούμενος ὑμῶν δεομένων τὰ περὶ τῆς πολιτείας διελθεῖν προθύμως ἐχαριζόμην, εἰδὼς ὅτι τὸν ἑξῆς λόγον οὐδένες ἂν ὑμῶν ἐθελόντων ἱκανώτερον ἀποδοῖεν· εἰς γὰρ πόλεμον πρέποντα καταστήσαντες τὴν πόλιν ἅπαντ' αὐτῇ τὰ προσήκοντα ἀποδοῖτ' ἂν μόνοι τῶν νῦν. Εἰπὼν δὴ ταπιταχθέντα ἀντεπέταξα ὑμῖν ἃ καὶ νῦν λέγω· ξυνωμολογήσατ' οὖν κοινῇ σκεψάμενοι πρὸς ὑμᾶς αὐτοὺς εἰς νῦν ἀνταποδώσειν μοι τὰ τῶν λόγων ξένια, πάρειμί τε οὖν δὴ κεκοσμημένος ἐπ' αὐτὰ καὶ πάντων ἑτοιμότατος ὢν δέχεσθαι.

§ 4. ΕΡ. Καὶ μὲν δή, καθάπερ εἶπε Τίμαιος ὅδε, ὦ Σώκρατες, οὔτε ἐλλείψομεν προθυμίας οὐδὲν οὔτ' ἔστιν οὐδεμία πρόφασις ἡμῖν τοῦ μὴ ὀρᾷν ταῦτα, ὥστε καὶ χθὲς εὐθὺς ἐνθένδε, ἐπειδὴ παρὰ Κριτίαν πρὸς τὸν ξενῶνα, οὗ καὶ καταλύομεν, ἀφικόμεθα, καὶ ἔτι πρότερον καθ' ὁδὸν αὖ ταῦτα ἐσκοποῦμεν. Ὁ δ' οὖν ἡμῖν λόγον εἰσηγήσατο ἐκ παλαιᾶς ἀκοῆς· ὃν καὶ νῦν λέγε, ὦ Κριτία, τῷδε, ἵνα ξυνδοκιμάσῃ πρὸς τὴν ἐπίταξιν εἴτ' ἐπιτήδειος εἴτ' ἀνεπιτήδειός ἐστιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

SO. Sic fieri convenit, si tertio consorti muneris Timæo non aliter videtur.

CRI. Audi, o Socrates, miram quidem, sed plenam fidei veritatisque rem : ut e numero septem sapientium primarius ille Solo recensebat : quem avi mei, et consortis in nomine Critiæ, fuisse ajunt admodum familiarem. Quo referente puer ego accepi res gestas hujus urbis memorabiles, sed diuturnitate interituque hominum annullatas evanuisse; inter quas unam præter cæteras illustrem, cujus fiet commemoratio : quo tam penes te gratia collocetur, quam debita deæ, cujus hodierna pompa est, instauretur veneratio. Narrabat ergo grandis natu, ut qui ad nonagesimum jam appropinquaret annum, me tunc agente annum decimum, publicis cerimoniis, celebri die, orta causa commemorationis ex Solonis versuum cantilena. Erat enim solenne familiæ nostræ, festis diebus nos pueros ad certamen memoriæ propositis invitare præmiis puerilibus. Multis ergo carminibus, tam veterum quam novorum poetarum, memoriter pronuntiatis; inter quæ Solonis aliquanto pluribus, ut quæ novitas commendaret ad gratiam; memini quendam, sive quod ita judicaret, sive quod vellet Critiam promereri, dixisse plane : Solonem videri sibi non solum prudentia cæteris laude dignis, sed etiam carminibus præstitisse. Igitur senex, valde enim memini, lætatus eximie : quid? si non perfunctorie, sed dedita opera poeticam fuisset, inquit, exsecutus Solo, mi Amynander; vel sermonem, quem ab Ægypto reversus instituerat, implesset? a quo quidem, seditionibus, cæteraque intemperie civilis dissensionis impediente, descivit, non opinor minorem Hesiodo, vel Homero, futurum fuisse. SO. Quisnam iste fuit, o Critia, sermo : vel qua de re institutus? CRI. De maximo et famatissimo titulo eximiæ virtutis, quam gessit hæc civitas : cujus memoria extincta est, tam morte eorum qui gesserunt, quam impendio temporis. SO. Dic quæso, Critia, quod opus illud, et quatenus actum, et a quibus compertum, Solo tuus recensebat. [§ 5.] Est, inquit Critias, regio Ægypti Delta; cujus e vertice Nili scinduntur fluenta, juxta quam Sais nomine civitas magna; quam regit mos vetus, lex Saitica nuncupatus. Ex hac urbe Amasis fuit Imperator. Conditrix vero urbis dea Ægyptiaca lingua censetur Neith : Græca dicitur Athena. Ipsi porro homines amatores sunt Atheniensium, istiusque urbis cognatione sese nobilitarii præ se ferunt. Quo Solo profectum se satis hospitaliter honoratum esse referebat : expertumque liquido, quod de vetustatis memoria nullus

---

ΚΡ. Ταῦτα χρὴ ὁρᾶν, εἰ καὶ τῷ τρίτῳ κοινωνῷ Τιμαίῳ ξυνδοκεῖ.

ΤΙ. Δοκεῖ μήν.

ΚΡ. Ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς, ὡς ὁ τῶν ἑπτὰ σοφώτατος Σόλων ποτ' ἔφη. Ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει· πρὸς δὲ Κριτίαν τὸν ἡμέτερον πάππον εἶπεν, ὡς ἀπεμνημόνευεν αὖ πρὸς ἡμᾶς ὁ γέρων, ὅτι μεγάλα καὶ θαυμαστὰ τῇσδ' εἴη παλαιὰ ἔργα τῆς πόλεως ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἠφανισμένα, πάντων δὴ ἓν μέγιστον, οὗ νῦν ἐπιμνησθεῖσι πρέπον ἂν ἡμῖν εἴη σοί τε ἀποδοῦναι χάριν καὶ τὴν θεὸν ἅμα ἐν τῇ πανηγύρει δικαίως τε καὶ ἀληθῶς οἷόν περ ὑμνοῦντας ἐγκωμιάζειν.

ΣΩ. Εὖ λέγεις. Ἀλλὰ δὴ ποῖον ἔργον τοῦτο Κριτίας οὐ λέγομενον μέν, ὡς δὲ πραχθὲν ὄντως ὑπὸ τῆσδε τῆς πόλεως ἀρχαῖον διηγεῖτο κατὰ τὴν Σόλωνος ἀκοήν;

ΚΡ. Ἐγὼ φράσω παλαιὸν ἀκηκοὼς λόγον οὐ νέου ἀνδρός. Ἦν μὲν γὰρ δὴ τότε Κριτίας, ὡς ἔφη, σχεδὸν ἐγγὺς ἤδη τῶν ἐνενήκοντα ἐτῶν, ἐγὼ δέ πη μάλιστα δεκέτης· ἡ δὲ Κουρεῶτις ἡμῖν οὖσα ἐτύγχανεν Ἀπατουρίων. Τὸ δὴ τῆς ἑορτῆς σύνηθες ἑκάστοτε καὶ τότε ξυνέβη τοῖς παισίν· ἆθλα γὰρ ἡμῖν οἱ πατέρες ἔθεσαν ραψῳδίας. Πολλῶν μὲν οὖν δὴ καὶ πολλὰ ἐλέχθη ποιητῶν ποιήματα, ἅτε δὲ νέα κατ' ἐκεῖνον τὸν χρόνον ὄντα τὰ Σόλωνος πολλοὶ τῶν παίδων ᾄσαμεν. Εἶπεν οὖν δή τις τῶν φρατόρων, εἴτε δὴ δοκοῦν αὐτῷ τότε εἴτε καὶ χάριν τινὰ τῷ Κριτίᾳ φέρων, δοκεῖν οἱ τά τε ἄλλα σοφώτατον γεγονέναι Σόλωνα καὶ κατὰ τὴν ποίησιν αὖ τῶν ποιητῶν πάντων ἐλευθεριώτατον. Ὁ δὴ γέρων, σφόδρα γὰρ οὖν μέμνημαι, μάλα τε ἥσθη καὶ διαμειδιάσας εἶπεν· Εἴ γε, ὦ Ἀμύνανδρε, μὴ παρέργῳ τῇ ποιήσει κατεχρήσατο, ἀλλ' ἐσπουδάκει καθάπερ ἄλλοι, τόν τε λόγον ὃν ἀπ' Αἰγύπτου δεῦρο ἠνέγκατο ἀπετέλεσε, καὶ μὴ διὰ τὰς στάσεις ὑπὸ κακῶν τε ἄλλων, ὅσα εὗρεν ἐνθάδε ἥκων, ἠναγκάσθη καταμελῆσαι, κατά γ' ἐμὴν δόξαν οὔτε Ἡσίοδος οὔτε Ὅμηρος οὔτε ἄλλος οὐδεὶς ποιητὴς εὐδοκιμώτερος ἐγένετο ἄν ποτε αὐτοῦ.

Τίς δ' ἦν ὁ λόγος, ἦ δ' ὅς, ὦ Κριτία; Ἢ περὶ μεγίστης, ἔφη, καὶ ὀνομαστοτάτης πασῶν δικαιότατ' ἂν πράξεως οὔσης, ἣν ἥδε ἡ πόλις ἔπραξε μέν, διὰ δὲ χρόνον καὶ φθορὰν τῶν ἐργασαμένων οὐ διήρκεσε δεῦρο ὁ λόγος. Λέγε ἐξ ἀρχῆς, ἦ δ' ὅς, τί τε καὶ πῶς καὶ παρὰ τίνων ὡς ἀληθῆ διακηκοὼς ἔλεγεν ὁ Σόλων. [§ 6.] Ἔστι τις κατ' Αἴγυπτον, ἦ δ' ὅς, ἐν τῷ Δέλτα, περὶ ὃ κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα, Σαϊτικὸς ἐπικαλούμενος νομός, τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάϊς, ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς· καὶ τῆς πόλεως θεὸς ἀρχηγός τίς ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηίθ, Ἑλληνιστὶ δέ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ· μάλα δὲ φιλαθήναιοι καί τινα τρόπον οἰκεῖοι τῶνδ' εἶναί φασιν. Οἷ δὴ Σόλων ἔφη πορευθεὶς σφόδρα τε γενέσθαι παρ' αὐτοῖς ἔντιμος, καὶ δὴ καὶ τὰ παλαιὰ ἀνερωτῶν τοὺς μάλιστα περὶ ταῦτα τῶν ἱερέων ἐμπείρους σχεδὸν οὔτε αὐτὸν οὔτε ἄλλον Ἕλληνα οὐδένα οὐδὲν ὡς ἔπος εἰπεῖν εἰδότα περὶ τῶν

ræ nationis vir ne tenuem quidem habeat scientiam. ique cum in conventu sacerdotum, penes quos præ- a sit memoria vetustatis, eliciendi studio quæ scirent, ıa faceret de antiquissimis historiis Athenarum, Pho- o et Niobe; postque inundationem mundi de Pyrrha Deucalione docte studioseque prosequi pergeret : pro- am renovatæ gentis humanæ usque ad memoriam pa- um, annorumque numerum recenseret : irrisum se dicebat a quodam ex Sacerdotibus, qui diceret, O , Græci pueri semper estis : nec quisquam est in cia senex. Cur ita diceret, percunctato Solone; quia novellaque estis memoria semper : nec est, inquit, penes vos cana scientia. Nec immerito. Multæ ppe neces hominum, partim conflagratione, partim ndationibus vastantibus, acciderunt. Denique illa m fama, quæ vobis quoque comperta est, Phaethon- quondam, Solis filium, affectantem officium patris, us ascendisse luciferos : nec servatis solemnibus auri- onis orbitis exussisse terrena : ipsumque flammis estibus conflagrasse : fabulosa quidem putatur, sed est . Fit enim longo intervallo mundi circumactionis rbitatio : quam vastitas inflammationis consequatur sse est. Tunc igitur ii, qui in siccis et editis locis sitant, magis pereunt, quam vicini littoribus et fluviis. Nobis porro Nilus cum in plerisque rebus salutaris, tum adversum hujusmodi pericula meatu irriguo perennique gurgite objectus, arcet exitium. Item cum terra erit humore abluenda, pastores quidem nostri montium edita capessentes, periculo non continguntur. At vero civitates, in planitie sitæ, cum populis suis rapiuntur ad maria. Quibus periculis regio ista minime contingitur. Non enim, ut in cæteris regionibus, humor in planitiem superne manat, sed ex imo per eandem planitiem tranquillo reditu stagnis detumescentibus remeat. Quæ causa monimentorum publicorum et privatorum perseverantiam nutrit : studioseque tam nostræ nationis rerum gestarum memoria, quam cæterarum gentium, quas vel fama nobis per cognitionem tradit, descripta, templorum custodiis continetur. Apud vos et cæteros nunc plane et nuper, refectæ monimentorum ædes, ictæ cœlesti demum liquore procumbunt : involutæque literis publicis cum antiquioris historiæ memoria dissipantur; ut necesse sit, novo initio vitæ, novoque populo, novam condi memoriam literarum. Qua ratione fit, ut neque res vestras proprias antiquas, nec aliorum sciatis. Eaque ipsa, quæ recensere memoriter arbitrabare, non multum distent a puerilibus fabulis. Principio, quod unius modo memineris inundationis, cum infinitæ præcesserint : deinde, quod optimum vestrorum

---

ούτων ἀνευρεῖν. Καί ποτε προαγαγεῖν βουληθεὶς τοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους, τῶν τῇδε τὰ παλαιότατα λέγειν ἐπιχειρεῖν, περὶ Φορωνέως τε τοῦ πρώτου λεχθέντος καὶ Νιόβης, καὶ μετὰ τὸν κατακλυσμὸν αὖ περὶ Δευκαλίωνος καὶ Πύρρας ὡς διεγένετο μυθολογεῖν, καὶ τοὺς ἐξ αὐτῶν γενεαλογεῖν, καὶ τὰ τῶν ἐτῶν ὅσα ἦν οἷς ἔλεγε πειρᾶσθαι διαμνημονεύων τοὺς χρόνους ἀριθμεῖν· καί τινα εἰπεῖν τῶν ἱερέων εὖ μάλα παλαιόν, Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν. Ἀκούσας οὖν, Πῶς τι τοῦτο λέγεις; φάναι. Νέοι ἐστέ, εἰπεῖν, τὰς ψυχὰς πάντες· οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε δι' ἀρχαίαν ἀκοὴν παλαιὰν δόξαν οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν. Τὸ δὲ τούτων αἴτιον τόδε· πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. Τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὡς ποτε Φαέθων Ἡλίου παῖς τὸ τοῦ πατρὸς ἅρμα ζεύξας διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν τά τ' ἐπὶ γῆς ξυνέκαυσε καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δ' ἀληθές ἐστι τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. Τότε οὖν οἱ κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι, μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ συνοικούντων· ἡμῖν δὲ ὁ Νεῖλος εἰς τε τἆλλα σωτὴρ ὢν τότε ἐκ ταύτης τῆς ἀπορίας σώζει λυόμενος. Ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύ-

ζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασώζονται βουκόλοι νομεῖς τε, οἱ δ' ἐν ταῖς παρ' ὑμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται· κατὰ δὲ τήνδε τὴν χώραν οὔτε τότε οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας ὕδωρ ἐπιῤῥεῖ, τὸ δ' ἐναντίον κάτωθεν ἐπανιέναι πέφυκεν· ὅθεν καὶ δι' ἃς αἰτίας τἀνθάδε σωζόμενα λέγεται παλαιότατα. Τὸ δὲ ἀληθές, ἐν πᾶσι τοῖς τόποις ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, πλέον, τοτὲ δὲ ἔλαττον ἀεὶ γένος ἐστὶν ἀνθρώπων· ὅσα δὲ ἢ παρ' ὑμῖν ἢ τῇδε ἢ καὶ κατ' ἄλλον τόπον ὧν ἀκοῇ ἴσμεν, εἴ πού τι καλὸν ἢ μέγα γέγονεν ἢ καί τινα διαφορὰν ἄλλην ἔχον, πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ σεσωσμένα. Τὰ δὲ παρ' ὑμῖν καὶ τοῖς ἄλλοις ἄρτι κατεσκευασμένα ἑκάστοτε τυγχάνει γράμμασι καὶ ἅπασιν ὁπόσων πόλεις δέονται, καὶ πάλιν δι' εἰωθότων ἐτῶν ὥσπερ νόσημα ἧκει φερόμενον αὐτοῖς ῥεῦμα οὐράνιον καὶ τοὺς ἀγραμμάτους τε καὶ ἀμούσους ἔλιπεν ὑμῶν, ὥστε πάλιν ἐξ ἀρχῆς οἷον νέοι γίγνεσθε, οὐδὲν εἰδότες οὔτε τῶν τῇδε οὔτε τῶν παρ' ὑμῖν, ὅσα ἦν ἐν τοῖς παλαιοῖς χρόνοις. Τὰ γοῦν νῦν δὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες, παίδων βραχύ τι διαφέρει μύθων, οἳ πρῶτον μὲν ἕνα γῆς κατακλυσμὸν μέμνησθε πολλῶν ἔμπροσθεν γεγονότων, ἔτι δὲ τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν τῇ χώρᾳ παρ' ὑμῖν οὐκ ἴστε γεγονός, ἐξ ὧν σύ τε καὶ πᾶσα ἡ πόλις ἔστι τὰ νῦν ὑμῶν περιλειφθέντος ποτὲ σπέρματος βραχέος, ἀλλ' ὑμᾶς λέληθε διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασι τελευτᾶν ἀφώ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

genus majorum nesciatis : ex quo tu, et Athenienses cæteri, facti estis : exiguo semine tunc superstite publicæ cladi. Fuit enim olim Atheniensium civitas longe cæteris præstans morum bonitate, ac potentia virium, belloque ac pace memoranda ; ejusque opera magnifica, omnem, sicut nos accepimus, quamvis præclaræ gloriæ illustrationem obumbrantia. [§ 6.] Tum admiratum Solonem orare, atque obsecrare, ut sibi omnia sacerdos de veteribus civibus revelaret : et respondisse illum : Nulla est invidia, præsertim cum tibi sit mos gerendus, et honor debitus amicæ civitati referendus : et id cogat me facere veneratio Deæ, quæ utramque urbem condidit, educavit, instituit ; priorem vestram annis fere mille, ex indigete agro, et Vulcanio semine ; posteriorem hanc nostram octies mille annis post, ut sacris delubrorum apicibus continetur. De his ergo majoribus vestris audies, o Solo, qui ante novem millia annorum vixerunt ; quibus sint usi legibus, quamque amplis, et quam præclaris facinoribus nobilitati. Si probationem desiderabis, post ex otio sacras literas recensebimus. Ac primum leges intuere. Forsan enim reperies multa indicia germanitatis, vel quod sacerdotiis præditi, separatim a cetero populo manent, ne contagione aliqua profana castitas polluatur : vel quod varia opificii genera ita inter se discreta sunt, ut promiscue nullus operetur. Pastores vero, et item penes quos est venandi, colendique ruris exercendique scientia ; disparatas habent sedes a propugnatorum, armataeque juventutis, castris, et insignibus. Ipsorumque insignium idem usus et eadem differentia tam hic, quam apud vos, etiam nunc habetur ; clypeorum tegmen, thoracum indumenta, jaculorum amentata missilia. Prudentiæ vero curam ubi majorem leges habendam sanciunt ? aut honestas apud quos tantam dignitatem obtinet in vitæ muneribus et officiis ? Quid divinatio ? quid medela ? Nonne ad homines instinctu conditricis Deæ commearunt ? Hac quippe exornatione priorem urbem vestram sepsit honestavitque Numen illud, quod condidit ; electo salubri, subtiliumque ingeniorum et prudentiæ feraci loco. Utpote enim bellicosa et sapiens, Dea regionem talem censuit eligendam, quæ sui similes viros esset editura. His ergo legibus vel honestioribus etiam institutis, ad omnem virtutem eruditi veteres Athenienses ; utpote qui divinæ prosapiæ germani, maximis et ultra humanæ gloriæ captum, titulis laudum nobilitati sunt, e quibus unum eminens et prædecorum facinus in monimentis veteribus invenimus : immanem quandam injuriis, et inexpugnabilem numero manum ; quæ prope jam cunctam Europam atque Asiam subegisset, a vestris legionibus esse deletam : ex Atlantico mari bellum omnibus gentibus et nationibus inferentem. Tunc enim fretum illud, opinor, erat commea-

---

νους. Ἦν γὰρ δή ποτε, ὦ Σόλων, ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη πρός τε τὸν πόλεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως· ἧ κάλλιστα ἔργα καὶ πολιτεῖαι γενέσθαι λέγονται κάλλισται πασῶν, ὁπόσων ὑπὸ τὸν οὐρανὸν ἡμεῖς ἀκοὴν παρεδεξάμεθα. [§ 6.] Ἀκούσας οὖν ὁ Σόλων ἔφη θαυμάσαι καὶ πᾶσαν προθυμίαν σχεῖν, δεόμενος τῶν ἱερέων πάντα δι' ἀκριβείας οἱ τὰ περὶ τῶν πάλαι πολιτῶν ἐξῆς διελθεῖν. Τὸν οὖν ἱερέα φάναι, Φθόνος οὐδείς, ὦ Σόλων, ἀλλὰ σοῦ τε ἕνεκα ἐρῶ καὶ τῆς πόλεως ὑμῶν, μάλιστα δὲ τῆς θεοῦ χάριν, ἣ τήν τε ὑμετέραν καὶ τήνδ' ἔλαχε καὶ ἔθρεψε καὶ ἐπαίδευσε· προτέραν μὲν τὴν παρ' ὑμῖν ἔτεσι χιλίοις, ἐκ Γῆς τε καὶ Ἡφαίστου τὸ σπέρμα παραλαβοῦσα ὑμῶν, τήνδε δὲ ὑστέραν. Τῆς δὲ ἐνθαδὶ διακοσμήσεως παρ' ἡμῖν ἐν τοῖς ἱεροῖς γράμμασιν ὀκτακισχιλίων ἐτῶν ἀριθμὸς γέγραπται. Περὶ δὴ τῶν ἐνακισχίλια γεγονότων ἔτη πολιτῶν σοι δηλώσω διὰ βραχέων νόμους τε καὶ τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη· τὸ δ' ἀκριβὲς περὶ πάντων ἐφεξῆς εἰσαῦθις κατὰ σχολήν, αὐτὰ τὰ γράμματα λαβόντες, διέξιμεν. Τοὺς μὲν οὖν νόμους σκόπει πρὸς τοὺς τῇδε· πολλὰ γὰρ παραδείγματα τῶν τότε παρ' ὑμῖν ὄντων ἐνθάδε νῦν ἀνευρήσεις, πρῶτον μὲν τὸ τῶν ἱερέων γένος ἀπὸ τῶν ἄλλων χωρὶς ἀφωρισμένον, μετὰ δὲ τοῦτο τὸ τῶν δημιουργῶν, ὅτι καθ' αὑτὸ ἕκαστον ἄλλῳ δὲ οὐκ ἐπιμιγνύμενον δημιουργεῖ, τό τε τῶν νομέων καὶ τὸ τῶν θηρευτῶν τό τε τῶν γεωργῶν. Καὶ δὴ καὶ τὸ μάχιμον γένος ἦσθησαί που τῇδε ἀπὸ πάντων τῶν γενῶν κεχωρισμένον, οἷς οὐδὲν ἄλλο πλὴν τὰ περὶ τὸν πόλεμον ὑπὸ τοῦ νόμου προσετάχθη μέλειν.. Ἔτι δὲ ἡ τῆς ὁπλίσεως αὐτῶν σχέσις ἀσπίδων καὶ δοράτων, οἷς ἡμεῖς πρῶτοι τῶν περὶ τὴν Ἀσίαν ὡπλίσμεθα, τῆς θεοῦ, καθάπερ ἐν ἐκείνοις τοῖς τόποις, παρ' ὑμῖν πρώτοις ἐνδειξαμένης. Τὸ δ' αὖ περὶ τῆς φρονήσεως, ὁρᾷς που τὸν νόμον τῇδε ὅσην ἐπιμέλειαν ἐποιήσατο εὐθὺς κατ' ἀρχὰς περί τε τὸν κόσμον ἅπαντα, μέχρι μαντικῆς καὶ ἰατρικῆς πρὸς ὑγίειαν, ἐκ τούτων θείων ὄντων εἰς τὰ ἀνθρώπινα ἀνευρών, ὅσα τε ἄλλα τούτοις ἕπεται μαθήματα, πάντα κτησάμενος. Ταύτην οὖν δὴ τότε ξύμπασαν τὴν διακόσμησιν καὶ σύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσασα κατῴκισεν, ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄνδρας οἴσοι. Ἀτ' οὖν φιλοπόλεμός τε καὶ φιλόσοφος ἡ θεὸς οὖσα τὸν προσφερεστάτους αὐτῇ μέλλοντα οἴσειν τόπον ἄνδρας, τοῦτον ἐκλεξαμένη πρῶτον κατῴκισεν. Ὡκεῖτε δὴ οὖν νόμοις τε τοιούτοις χρώμενοι καὶ ἔτι μᾶλλον εὐνομούμενοι πάσῃ τε πάντας ἀνθρώπους ὑπερβεβηκότες ἀρετῇ, καθάπερ εἰκὸς γεννήματα καὶ παιδεύματα θεῶν ὄντας. Πολλὰ μὲν οὖν ὑμῶν καὶ μεγάλα ἔργα τῆς πόλεως τῇδε γεγραμμένα θαυμάζεται, πάντων μὴν ἓν ὑπερέχει μεγέθει καὶ ἀρετῇ· λέγει γὰρ τὰ γεγραμμένα, ὅσην ἡ πόλις ὑμῶν ἔπαυσέ ποτε δύναμιν ὕβρει πορευομένην ἅμα ἐπὶ πᾶσαν Εὐρώπην καὶ Ἀσίαν, ἔξωθεν ὁρμηθεῖσαν ἐκ τοῦ Ἀτλαντικοῦ πελάγους.

bit habens in ore atque in vestibulo sinus insulam : qu s a vobis Herculis censentur columnæ. Quæ qui- ins nsula fertur major aliquanto fuisse, quam Libya at Asia. Simul ergo per eam, perque contiguas alias ins , iter tunc illud agentibus, commeatus patebat ad defectum insularum, et initium terræ continen- fis cinæ vero mari : quippe hoc intra os, sive Hercu- le olumnas, fretum angusto quodam littore, in quo et nunc veteris portus apparent vestigia, dividitur a cont nti. At vero illud pelagus, immensæ atque inæ- sti lis magnitudinis, verum est mare. Igitur in hac At de insula maxima et admirabilis potentia Regum ex omnem insulam finitimasque alias obtinentium; do antiumque maximæ parti continentis. Si quidem to parti mundi, quæ Libya dicitur, usque ad Ægy- pt imperarunt; Europæ vero, usque ad Tyrrhenum n Quæ quidem vis potentiaque collecta, et armata, n m, o Solo, vestramque regionem, et hoc amplius, e ntes, quæ intra Herculis columnas consistunt, ado- ri expugnare gestiit. Tunc ergo vestræ civitatis vir- tu ra omnem gloriam enituit : quæ pro communi o m salute, ac libertate, desperantibus deserentibus- q etu communem custodiam cæteris cunctis, magni- t animi, bellicisque artibus, assecuta est; ut per e na discrimina erumpens, hostes humani generis p fugaret, deinde funderet; libertatem subjugatis redderet, intactos in sua genuinaque libertate conservaret. Neque ita multo post accidit, ut motu terræ, et illuvione diei noctisque jugi, præclara illa vestra militaris juventus periret : et Atlantis insula tota, sine indicio prioris existentiæ, submergeretur : nisi quod pelagus illud pigrius quam cætera, crasso dehiscentis insulæ limo, et superne fluctibus concreto, habetur.

§ 7. Hæc sunt, o Socrates, quæ Critias vetus a Solone sibi relata et exposita narravit. Sed cum superiore die de rebus publicis deque pacatis officiis militaribusque tractares, subiit quædam me ex recordatione miratio : non sine deo dici quæ diceres. Siquidem quam constituebas oratione rempublicam eadem, aut certe proximæ similitudinis, videretur ei, quam ex Critiæ relatione compereram. Reticui tamen veritus ne, si quæsitum aliquid a me foret, dehinc oblivionis incommodo minime expedirem, ridiculus essem : maluique de memoria apud memetipsum prius experiri. Ex quo factum est, ut cito consentirem imperio tuo : quia confidebam facile me, si recordatione memoriam exercuissem, posse reminisci. Itaque, ut hic modo dixit, tam hesterno die post digressum protinus ad præsentes retuli, quam nocturnis vigiliis scrutabundus omnia recuperavi : certumque illud expertus sum, tenaciorem fere memoriam rerum, quæ in primâ discuntur ætate. Quippe haud ita confidam, quæ pridie audierim, an referre possim postridie : cum ea, quæ puer cognoverim, inco-

---

γὰρ πορεύσιμον ἦν τὸ ἐκεῖ πέλαγος· νῆσον γὰρ τοῦ στόματος εἶχεν, ὃ καλεῖτε, ὡς φατε ὑμεῖς, κλέους στήλας· ἡ δὲ νῆσος ἅμα Λιβύης ἦν καὶ μείζων, ἐξ ἧς ἐπιβατὸν ἐπὶ τὰς ἄλλας νήσους τότ' ἐγίγνετο πορευομένοις, ἐκ δὲ τῶν νήσων ἐπὶ καταντικρὺ πᾶσαν ἤπειρον τὴν περὶ τὸν ἀληθινὸν πόντον. Τάδε μὲν γάρ, ὅσα ἐντὸς τοῦ στό- ς οὗ λέγομεν, φαίνεται λιμὴν στενόν τινα ἔχων ουν· ἐκεῖνο δὲ πέλαγος ὄντως ἥ τε περιέχουσα γῆ παντελῶς ἀληθῶς ὀρθότατ' ἂν λέγοιτο ἤπει- Ἐν δὲ δὴ τῇ Ἀτλαντίδι νήσῳ ταύτῃ μεγάλη συν- καὶ θαυμαστὴ δύναμις βασιλέων, κρατοῦσα ἅπάσης τῆς νήσου, πολλῶν δὲ ἄλλων νήσων καὶ ν τῆς ἠπείρου· πρὸς δὲ τούτοις ἔτι τῶν ἐντὸς Λιβύης μὲν ἦρχον μέχρι πρὸς Αἴγυπτον, τῆς δὲ ώπης μέχρι Τυῤῥηνίας. Αὕτη δὴ πᾶσα ζυναθροι- α εἰς ἓν ἡ δύναμις τόν τε παρ' ὑμῖν καὶ τὸν ἡμῖν καὶ τὸν ἐντὸς τοῦ στόματος πάντα τόπον ποτ' ἐπεχείρησεν ὁρμῇ δουλοῦσθαι. Τότε οὖν ν, ὦ Σόλων, τῆς πόλεως ἡ δύναμις εἰς ἅπαντας ώπους διαφανὴς ἀρετῇ τε καὶ ῥώμῃ ἐγένετο· πάν- γὰρ προστᾶσα εὐψυχία καὶ τέχναις ὅσαι κατὰ εμον, τὰ μὲν τῶν Ἑλλήνων ἡγουμένη, τὰ δ' αὐτὴ θεῖσα ἐξ ἀνάγκης τῶν ἄλλων ἀποστάντων, ἐπὶ ἐσχάτους ἀφικομένη κινδύνους, κρατήσασα μὲν ἐπιόντων τρόπαια ἀνέστησε, τοὺς δὲ μήπω δε- λωμένους διεκώλυσε δουλωθῆναι, τοὺς δ' ἄλλους, ὅσοι κατοικοῦμεν ἐντὸς ὅρων Ἡρακλείων, ἀφθόνως ἅπαντας ἠλευθέρωσεν. Ὑστέρῳ δὲ χρόνῳ σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων, μιᾶς ἡμέρας καὶ νυκτὸς χαλεπῆς ἐλθούσης, τό τε παρ' ὑμῶν μάχι- μον πᾶν ἀθρόον ἔδυ κατὰ γῆς, ἥ τε Ἀτλαντὶς νῆσος ὡσαύτως κατὰ τῆς θαλάττης οὖσα ἠφανίσθη· διὸ καὶ νῦν ἄπορον καὶ ἀδιερεύνητον γέγονε τοὐκεῖ πέλαγος, πηλοῦ κάρτα βαθέος ἐμποδὼν ὄντος, ὃν ἡ νῆσος ἰζο- μένη παρέσχετο.

X. § 7. Τὰ μὲν δὴ ῥηθέντα, ὦ Σώκρατες, ὑπὸ τοῦ παλαιοῦ Κριτίου κατ' ἀκοὴν τὴν Σόλωνος, ὡς συντό- μως εἰπεῖν, ἀκήκοας· λέγοντος δὲ δὴ χθὲς σοῦ περὶ πολιτείας τε καὶ τῶν ἀνδρῶν οὓς ἔλεγες, ἐθαύμαζον ἀναμιμνησκόμενος αὐτὰ ἃ νῦν λέγω, κατανοῶν ὡς δαιμονίως ἔκ τινος τύχης οὐκ ἀπὸ σκοποῦ ξυνηνέχθης τὰ πολλὰ οἷς Σόλων εἶπεν. Οὐ μὴν ἐβουλήθην πα- ραχρῆμα εἰπεῖν· διὰ χρόνου γὰρ οὐχ ἱκανῶς ἐμεμνήμην. Ἐνενόησα οὖν ὅτι χρεὼν εἴη με πρὸς ἐμαυτὸν πρῶτον ἱκανῶς πάντα ἀναλαβόντα λέγειν οὕτως. Ὅθεν ταχὺ ξυνωμολόγησά σοι τἀπιταχθέντα χθές, ἡγούμενος, ὅπερ ἐν ἅπασι τοῖς τοιοῖσδε μέγιστον ἔργον, λόγον τινὰ πρέποντα τοῖς βουλήμασιν ὑποθέσθαι, τούτου μετρίως ἡμᾶς εὐπορήσειν. Οὕτω δή, καθάπερ ὅδ' εἶπε, χθές τε εὐθὺς ἐνθένδε ἀπιὼν πρὸς τούσδε ἀνέφερον αὐτὰ ἀναμιμνησκόμενος, ἀπελθών τε σχεδόν τι ἅπαντα ἐπισκοπῶν τῆς νυκτὸς ἀνέλαβον. Ὡς δή τοι τὸ λεγό- μενον, τὰ παίδων μαθήματα θαυμαστὸν ἔχει τι μνη-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

lumi memoria plane retexam. Nisi forte major in illa ætate cognitionis delectatio altius infigit mentibus insita. Forsque etiam, quod studiosa senis et assidua relatio meracam quandam et inobsoletam impresserit animo notam. Quare ut id, ad quod omnia pertinent, quæ dicta sunt, eloquar : dicere sum paratus. Non ut narrationem retexam : sed, ut ostendam rempublicam et populum, sermone Socratis hesterna disputatione adumbratum, non picturatam effigiem beatæ civitatis, sed vere beatam civitatem, et unum populum quondam fuisse, propugnatoresque, quos iste instituebat ad tolerantiam laborum, virtutemque animi, gymnasiis et musica mansuetudine, majores nostros fuisse, quos ille sacerdos Ægyptius prædicaret : quando facta eorum nutrimentis ab hoc memoratis institutisque conveniant. Imperato quippe nobis a Socrate muneri non aliter satisfieri posse arbitror ; nisi consensu omnium participum officii recepti probabitur illam, quam vario ipse sermone depinxit, urbem, veteres Athenas fuisse. Quare, mi Socrates, remuneratione hujuscemodi fieri contentus æstima.

SO. Nullam vero aliam, Critia, magis approbo, quam istam ipsam, quæ propria est præsentium feriarum. Magnificum vero illud, non fictam commentitiamque fabulam ; sed veram historiam vitæ possibilis fato quodam a me vestris animis intimatam. Quare fortuna prosperante pergite iter institutæ orationis : ego, ut probum auditore decet, attento silentio mentem atque aures parabo.

§ 8. CRI. Etiamne consideras, o Socrate, si est con moda dispositio debiti apparatus tibi. Placuit enim nob Timæum quidem, utpote in astronomia cæteris eminent naturæque rerum arcana rimatum, principe loco cere, orsum a mundi sensilis constitutione, usque hominum genus generationemque, me vero susceptu hoc hominibus, ejusdemque oratione formatis, tua ad egregiam frugem imbutis, et eruditis sanctiori le moderamine ; juxta Solonem vero, vel sacros Ægyptio libros, revocare cives clarissimos veteres : et ante constituere spectacullum venerabile populi, quem in datione submersum profundo maris, Ægyptiorum mentorum fama celebravit, atque ita, ut de majoribus stris, sermonem contexere.

SO. Næ ego magnifice sum invitatus hodie, ut ex natione apparatus intelligi datur. Ergo age, o Timæe, liba cœptum, vocata, ut mos est, in auxilium di tate.

TI. Vere, mi Socrate. Nam cum omnibus mos sit, et quædam religio, qui vel de maximis, vel de minimis, rem acturi aliquid sunt, precari ad auxilium divinitatem : qui nos æquius est, qui universitatis naturæ, substantia rationem præstaturi sumus, invocare divinam opem

μεῖον. Ἐγὼ γὰρ ἃ μὲν χθὲς ἤκουσα, οὐκ ἂν οἶδ' εἰ δυναίμην ἅπαντα ἐν μνήμῃ πάλιν λαβεῖν· ταῦτα δὲ ἃ πάμπολυν χρόνον διακήκοα, παντάπασι θαυμάσαιμ' ἂν εἴ τί με αὐτῶν διαπέφευγεν. Ἦν μὲν οὖν μετὰ πολλῆς ἡδονῆς καὶ παιδικῆς τότε ἀκουόμενα, καὶ τοῦ πρεσβύτου προθύμως με διδάσκοντος, ἅτ' ἐμοῦ πολλάκις ἐπανερωτῶντος, ὥστε οἷον ἐγκαύματα ἀνεκπλύτου γραφῆς ἔμμονά μοι γέγονε. Καὶ δὴ καὶ τοῖσδε εὐθὺς ἔλεγον ἔωθεν αὐτὰ ταῦτα, ἵνα εὐπορῶεν λόγων μετ' ἐμοῦ. Νῦν οὖν, οὗ περ ἕνεκα πάντα εἴρηται, λέγειν εἰμὶ ἕτοιμος, ὦ Σώκρατες, μὴ μόνον ἐν κεφαλαίοις ἀλλ' ὥσπερ ἤκουσα καθ' ἕκαστον. Τοὺς δὲ πολίτας καὶ τὴν πόλιν ἣν χθὲς ἡμῖν ὡς ἐν μύθῳ διήλθετε σύ, μετενεγκόντες ἐπὶ τἀληθὲς δεῦρο θήσομεν ὡς ἐκείνην τήνδε οὖσαν, καὶ τοὺς πολίτας οὓς διενοοῦ φήσομεν ἐκείνους τοὺς ἀληθινοὺς εἶναι προγόνους ἡμῶν οὓς ἔλεγεν ὁ ἱερεύς· πάντως ἁρμόσουσι, καὶ οὐκ ἀπασόμεθα λέγοντες αὐτοὺς εἶναι τοὺς ἐν τῷ τότε ὄντας χρόνῳ. Κοινῇ δὲ διαλαμβάνοντες ἅπαντες πειρασόμεθα τὸ πρέπον εἰς δύναμιν οἷς ἐπέταξας ἀποδοῦναι. Σκοπεῖν οὖν δὴ χρή, ὦ Σώκρατες, εἰ κατὰ νοῦν ὁ λόγος ἡμῖν οὗτος, ἢ τινα ἔτ' ἄλλον ἀντ' αὐτοῦ ζητητέον.

XI. ΣΩ. Καὶ τίν' ἄν, ὦ Κριτία, μᾶλλον ἀντὶ τούτου μεταλάβοιμεν, ὃς τῇ τε παρούσῃ τῆς θεοῦ θυσίᾳ διὰ τὴν οἰκειότητα ἂν πρέποι μάλιστα, τό τε μὴ πλασθέντα μῦθον ἀλλ' ἀληθινὸν λόγον εἶναι πάμμεγά που. Πῶς γὰρ καὶ πόθεν ἄλλους ἀνευρήσομεν ἀφέμενοι τούτων ; οὐκ ἔστιν, ἀλλ' ἀγαθῇ τύχῃ χρὴ λέγειν μὲν ὑμᾶς, ἐμὲ δὲ ἀντὶ τῶν χθὲς λόγων νῦν ἡσυχίαν ἄγοντα ἀντακούειν.

§ 8. ΚΡ. Σκόπει δὴ τὴν τῶν ξενίων σοι διάθεσιν, ὦ Σώκρατες, ἣ διέθεμεν. Ἔδοξε γὰρ ἡμῖν Τίμαιον μέν, ἅτε ὄντα ἀστρονομικώτατον ἡμῶν καὶ περὶ φύσεως τοῦ παντὸς εἰδέναι μάλιστα ἔργον πεποιημένον, πρῶτον λέγειν ἀρχόμενον ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, τελευτᾶν δὲ εἰς ἀνθρώπων φύσιν· ἐμὲ δὲ μετὰ τοῦτον, ὡς παρὰ μὲν τούτου δεδεγμένον ἀνθρώπους τῷ λόγῳ γεγονότας, παρὰ σοῦ δὲ πεπαιδευμένους διαφερόντως αὐτῶν τινας, κατὰ δὲ τὸν Σόλωνος λόγον καὶ νόμον εἰσαγαγόντα αὐτοὺς ὡς εἰς δικαστὰς ἡμᾶς ποιῆσαι πολίτας τῆς πόλεως τῆσδε ὡς ὄντας τοὺς Ἀθηναίους, οὓς ἐμήνυσεν ἀφανεῖς ὄντας ἡ τῶν ἱερῶν γραμμάτων φήμη, τὰ λοιπὰ δὲ ὡς περὶ πολιτῶν καὶ Ἀθηναίων ὄντων ἤδη ποιεῖσθαι τοὺς λόγους.

ΣΩ. Τελέως τε καὶ λαμπρῶς ἔοικα ἀνταπολήψεσθαι τὴν τῶν λόγων ἑστίασιν. Σὸν οὖν ἔργον λέγειν ἐν εἴη, ὦ Τίμαιε, τὸ μετὰ τοῦτο, ὡς ἔοικεν, ἐπικαλέσαντα κατὰ νόμον θεούς.

TI. Ἀλλ', ὦ Σώκρατες, τοῦτό γε δὴ πάντες δσοι καὶ κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν· ἡμᾶς δὲ τοὺς περὶ τοῦ παντὸς λόγους ποιεῖσθαί πῃ μέλλοντας, ἢ γέγονεν ἢ καὶ ἀγενές ἐστιν, εἰ μὴ παντάπασι παραλλάττομεν, ἀνάγκη θεούς τε καὶ θεὰς ἐπικαλουμένους εὔχεσθαι πάντα κατὰ νοῦν ἐκείνοις μὲν μάλιστα, ἑπομένως δὲ ἡμῖν εἰπεῖν. Καὶ τὰ

…evo quodam furore atque implacabili raptamur …. Sit igitur meis precibus comprehensum, maxime …, ut ea dicantur a nobis, quæ placeant deo : tum …s quoque ipsis convenienter, propositoque operi …, profemur : et, quatenus vos quidem facile assе…, ego juxta anticipatam animo speciem orationis …n.

…Est igitur, ut mihi quidem videtur, inprimis dis…n quid sit, quod semper est, carens generatione : …m, quod gignitur, nec semper est. Alterum, in… perceptibile; et ductu, et investigatione rationis, …idem. Porro alterum, opinione, cum irrationabili …ppinabile, proptereaque incertum nascens, et occi…neque unquam in exsistenti conditione constanti et …rseverans. Omne autem, quod gignitur, ex aliqua …necessario gignitur. Nihil enim fit, cujus ortum …gitima causa, et ratio, præcedat. Operi porro dat … opifex suus, quippe ad immortalis quidem, et in …enuino persistentis, exempli similitudinem, atque …ionem, formans operis effigiem, honestum efficiat …rum necesse est. At vero ad nativum respiciens, generatumque contemplans minime decorum. Omne igitur cœlum, vel mundus, seu quo alio dignatur nomine, (faciendum est enim, quod in omni tractatu fieri decet; ut inter initia consideretur, quid sit quo de agitur : item mundus fueritne semper, citra exordium temporis : an sit originem sortitus ex tempore, considerandum) factus est, utpote corporeus; et qui videatur, atque tangatur : meta est siquidem hujusmodi sensilis corporeaeque naturæ. Sensilia porro ea, quæ opinio sensu aliquo commota præsumit : eaque omnia facta sunt, habentque ex aliqua generatione substantiam. At vero ea quæ fiunt habere auctorem suum constitit. Igitur opificem genitoremque universitatis tam invenire difficile est, quam inventum impossibile digne profari. Porro non est dubium ad cujusmodi exemplum animadverterit mundani operis fundamenta constituens : utrum ad immutabile, perpetuamque obtinens proprietatem; an ad factum, atque elaboratum. Nam si est, ut quidem est, pulchritudine incomparabili mundus; opifexque et fabricator ejus optimus : perspicuum est, quod juxta sinceræ atque immutabilis proprietatis exemplum, mundi sit instituta molitio. Sin vero,

…ρὶ θεῶν ταύτῃ παρακεκλήσθω· τὸ δ' ἡμέτερον …ητέον, ᾗ ῥᾷστ' ἂν ὑμεῖς μὲν μάθοιτε, ἐγὼ δὲ …οῦμαι μάλιστ' ἂν περὶ τῶν προκειμένων ἐνδει…κνύμην.

…. § 9. Ἔστιν οὖν δὴ κατ' ἐμὴν δόξαν πρῶτον …τέον τάδε. Τί τὸ ὂν ἀεί, γένεσιν δὲ οὐκ ἔχον, …τὸ γιγνόμενον μὲν ἀεί, ὂν δὲ οὐδέποτε; τὸ μὲν …ήσει μετὰ λόγου περιληπτὸν ἀεὶ κατὰ ταὐτὰ ὄν, …αὖ δόξῃ μετ' αἰσθήσεως ἀλόγου δοξαστὸν γιγνό…καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. Πᾶν …τὸ γιγνόμενον ὑπ' αἰτίου τινὸς ἐξ ἀνάγκης γίγνε…παντὶ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν σχεῖν. …μὲν οὖν ἂν ὁ δημιουργὸς πρὸς τὸ κατὰ ταὐτὰ …βλέπων ἀεί, τοιούτῳ τινὶ προσχρώμενος παρα…ατι, τὴν ἰδέαν αὐτοῦ καὶ δύναμιν ἀπεργάζηται, …ἐξ ἀνάγκης οὕτως ἀποτελεῖσθαι πᾶν· οὗ δ' ἂν …γεγονός, γεννητῷ παραδείγματι προσχρώμενος, …λόν. Ὁ δὴ πᾶς οὐρανὸς ἢ κόσμος ἢ καὶ ἄλλο …ποτὲ ὀνομαζόμενος μάλιστ' ἂν δέχοιτο, τοῦθ' ἡμῖν ὠνομάσθω, σκεπτέον δ' οὖν περὶ αὐτοῦ πρῶτον, ὅπερ ὑπόκειται περὶ παντὸς ἐν ἀρχῇ δεῖν σκοπεῖν, πότερον ἦν ἀεί, γενέσεως ἀρχὴν ἔχων οὐδεμίαν, ἢ γέγονεν, ἀπ' ἀρχῆς τινος ἀρξάμενος. Γέγονεν· ὁρατὸς γὰρ ἁπτός τέ ἐστι καὶ σῶμα ἔχων, πάντα δὲ τὰ τοιαῦτα αἰσθητά, τὰ δὲ αἰσθητά, δόξῃ περιληπτὰ μετὰ αἰσθήσεως, γιγνόμενα καὶ γεννητὰ ἐφάνη. Τῷ δ' αὖ γενομένῳ φαμὲν ὑπ' αἰτίου τινὸς ἀνάγκην εἶναι γενέσθαι.

XIII. Τὸν μὲν οὖν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς πάντας ἀδύνατον λέγειν· τόδε δ' οὖν πάλιν ἐπισκεπτέον περὶ αὐτοῦ, πρὸς πότερον τῶν παραδειγμάτων ὁ τεκταινόμενος αὐτὸν ἀπειργάζετο, πότερον πρὸς τὸ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχον ἢ πρὸς τὸ γεγονός. Εἰ μὲν δὴ καλός ἐστιν ὅδε ὁ κόσμος ὅ τε δημιουργὸς ἀγαθός, δῆλον ὡς πρὸς τὸ ἀΐδιον ἔβλεπεν· εἰ δέ, ὃ μηδ' εἰπεῖν τινὶ θέμις, πρὸς τὸ γεγονός. Παντὶ δὴ σαφὲς ὅτι πρὸς τὸ ἀΐδιον· ὁ μὲν γὰρ κάλλιστος τῶν γεγονότων, ὁ δ' ἄριστος τῶν αἰτίων. Οὕτω δὴ γεγενημένος πρὸς τὸ λόγῳ καὶ

Cicero.

(Hunc versum cum Platone Antisthenes Euripidi tribuit, quamvis eum ex Sophoclis Ajace Locro sumtum esse alii scriptores testentur. Schol. Aristoph. Thesmoph. vs. 21 : καὶ διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ « σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ ». Ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. Ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. Καὶ Ἀντισθένης καὶ Πλάτων Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται οὐκ ἔχω εἰπεῖν ὅ, τι παθόντες. Aristides Orat. II p. 288 : οὐδέ γε Εὐριπίδου φήσομεν, οἶμαι, τὸ ἰαμβεῖον εἶναι τὸ Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ, οὐδ' εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. Platonis verba sunt de Rep. lib. VIII p. 568 A : Οὐκ ἐτός, ἦν δ' ἐγώ, ἡ τε τραγῳδία ὅλως σοφὸν δοκεῖ εἶναι καὶ ὁ Εὐριπίδης διαφέρων ἐν αὐτῇ. Τί δή; Ὅτι καὶ τοῦτο πυκνῆς διανοίας ἐχόμενον ἐφθέγξατο, ὡς ἄρα σοφοὶ τύραννοί εἰσι τῇ σοφῶν συνουσίᾳ. Idem Theag. p. 125 B ait : τί οὖν ἂν εἰ Εὐριπίδῃ τι προσχρησαίμεθα, ὦ Θέαγες; Εὐριπίδης γὰρ πού φησι· σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ. Cf. Gell. Noct. Att. XIII, 18. Liban. Epist. 33. Zenob. Prov. V, 98. Themist. orat. XVI. Eurip. Fragm. ed. Wagner. p. 871 et Soph. Fragm. ed. Ahrens. p. 273.)

72. Ὅθεν οὐδ' αἱ παραδιορθώσεις φαύλως ἔχουσιν,

---

66. Ex quo manifestum est et legum lationem necessario homines genere et potentia pares pertinere. Talibus tem viris non scribuntur leges; ipsi enim lex sunt. enim ridiculus sit qui eos legibus subjicere conetur; crent enim fortasse quod *Antisthenes* ait *leones dixisse tionem in concione habentibus leporibus et ut omnes is æquabilitatem obtinerent postulantibus.*

67. Est autem etiam gravitatis effectrix vox gravissima fine posita; nam mediæ enuntiatoni inserta hebetatur, Illud Antisthenis : *fere enim dolebit homo e sarmenio strato surgens.* Si quis enim mutato ordine hoc sic expresserit, fere enim e sarmenticio strato surgens homo dolebit, quamvis eadem sententia pronuntiata, non amplius tamen idem dicere existimabitur.

68. Atque ut Antisthenes Cephisodotum gracilem turi comparavit, quia, dum consumitur, jucundum est.

69. Canis autem cauponas, Atticas cœnas vocabat.

70. Quamobrem merito Antisthenes mendicantibus etiam dicebat : Non sustento matrem deorum, quam dii sustentant.

71. Sapientes fiunt tyranni sapientium consuetudine.

72. Quapropter etiam correctiones istæ vitio carent,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αἷς καὶ Κλεάνθης ἐχρήσατο καὶ Ἀντισθένης· ὁ μὲν εὖ μάλα τοὺς Ἀθηναίους ἰδὼν θορυβήσαντας ἐν τῷ θεάτρῳ,

Τί δ' αἰσχρόν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ,

παραβάλλων εὐθὺς

Αἰσχρὸν τό γ' αἰσχρόν, κἂν δοκῇ, κἂν μὴ δοκῇ.

(Plutarchus Quomodo adolescens audire poetas debeat vol. VII p. 115 ed. Hutten. Versum illum Euripidis esse docet Schol. Aristoph. Ran. 1523 qui ad poetæ verba τὸ δ' αἰσχρόν, ἢν μὴ τοῖς θεωμένοις δοκῇ annotat : παρὰ τὰ ἐξ Αἰόλου Εὐριπίδου. Parodiam Platoni adscribit Serenus apud Stobæum Flor. V, 82 his verbis : Εὐριπίδης εὐδοκίμησεν ἐν θεάτρῳ εἰπών « τί δ' αἰσχρόν, ἢν μὴ τοῖσι χρωμένοις δοκῇ ; » καὶ Πλάτων ἐντυχὼν αὐτῷ » ὦ Εὐριπίδη « ἔφη » αἰσχρὸν τό γ' αἰσχρόν, κἂν δοκῇ κἂν μὴ δοκῇ. » Cf. Macho ap. Athen. XIII p. 582 C, D. Vid. Eurip. Fragm. ed. Wagner. p. 626. Adde Leopard. Emend. I, 6 et Jacobs. De hetær. p. 429.)

73. Οὗτος εἰ μὴ μόνον φιλογέωργος ἀλλὰ καὶ φιλάνθρωπος ἦν, ἥδιον ἂν ἔσπειρε τὴν τοσούτους τρέφειν δυναμένην, ἢ τὸ Ἀντισθένους ἐκεῖνο χωρίδιον, ὃ μόνῳ Αὐτολύκῳ ἐγκονίσασθαι ἤρκεσε· ἐγὼ δὲ ἀροτριάσων τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι.

(Plutarchus Philos. esse c. princip. cap. 3, vol. XII p. 86 ed. Hutten. Codicum scripturam χωρίδιον, ἢν μόλις αὐτῷ αὖ πάλιν ἀνήρηκας. Εἰ δέ σε ἠρόμην, τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι sic emendavi, ut reponerem ὃ μόνῳ Αὐτολύκῳ ἐγκονίσασθαι ἤρκεσε· ἐγὼ δὲ ἀροτριάσων τὴν οἰκουμένην ἅπασαν ἐπιστρέφειν παραιτοῦμαι. Conf. Xenoph. Conviv. III, 8. Plutarch. De exsilio vol. X p. 370. Diog. Laert. lib. VI, 98. Cicero Tusc. lib. V, 37.)

74. Εἰς ταῦτα δ' ἀπιδὼν Ἀντισθένης δυσβάστακτον εἶπεν εἶναι τὸν ἀστεῖον. Ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον καὶ φερόμενον, ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος ἔχον ἀσάλευτον.

(Philo Judæus in libro quo demonstrat omnem probum hominem esse liberum pag. 869 ed. Hœschel.)

75. Ἐξ οὗ μ' Ἀντισθένης ἠλευθέρωσεν, οὐκέτι ἐδούλευσα. Πῶς ἠλευθέρωσεν; Ἄκουε τί λέγει· ἐδίδαξέ με τὰ ἐμά, καὶ τὰ οὐκ ἐμά· κτῆσις οὐκ ἐμή· συγγενεῖς, οἰκεῖοι, φίλοι, φήμη, συνήθεις τόποι, διατριβή, πάντα ταῦτα ὅτι ἀλλότρια. Σὸν οὖν τί; Χρῆσις φαντασιῶν. Ταύτην ἔδειξέ μοι ὅτι ἀκώλυτον ἔχω, ἀνανάγκαστον, οὐδεὶς ἐμποδίσαι δύναται, οὐδεὶς βιάσασθαι· ἄλλῳ χρήσασθαι ἢ ὡς θέλω.

(Arrian. Epictet. Dissert. III c. 24, 67 seq. cf. IV, 1, 114.)

ΑΠΟΦΘΕΓΜΑΤΑ.

76. Ἀντισθένης ἐρωτηθείς; τί ἐστιν ἑορτή, ἔφη γαστριμαργίας ἀφορμή.

(Antonius et Maximus serm. de incontinentia et gula p. 299.)

77. Κρεῖττον ἔλεγε, καθά φησιν Ἑκάτων ἐν ταῖς χρείαις, εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν γὰρ νεκρούς, οἱ δὲ ζῶντας ἐσθίουσιν.

(Diogenes Laertius lib. VI, 4. Vid. Jacobs. ad Anthol. II, 3, p. 217.)

78. Ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς, ἔφη ὅτι ἀγρίᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ.

(Diogenes Laertius lib. VI, 4. Posui ἀγρίᾳ pro vulgata lectione ἀργυρέᾳ. Cf. Ovid. Met. XV, 655.)

---

quibus et Cleanthes usus est et Antisthenes. Hic enim quum Atheniensis in theatro admodum tumultuose excipere videret illum versum :

Quid turpe sit, nisi quod qui rem tractat putat?

statim hunc subjecit :

Quod turpe, turpe est, seu putes, seu non putes.

73. Is si non modo agriculturæ, sed etiam humanitatis studiosus fuisset, maluisset profecto conserere agrum ad tot homines alendos idoneum, quam illum Antisthenis agellum, qui soli Autolyco ad corpus pulvere conspergendum sufficiebat; ego vero arandi causa totum terrarum orbem obire recuso.

74. Hæc autem intuitus Antisthenes virum bonum molestam esse sarcinam dixit. Quemadmodum enim insipientia bene fertur ac leviter : sic prudentia graviter incumbens premit vehementer suopte pondere, nec facile potest excuti.

75. Ex quo Antisthenes me liberavit, non amplius servit. Quomodo liberavit? Audi quæ dicit : docuit me tum quæ mea sunt, tum quæ non mea; opes non esse meas, cognatos, domesticos, amicos, famam, loca consueta, consuetudinem cum hominibus, hæc omnia esse aliena. Quid igitur tuum? Visorum usus. Hunc mihi demonstravit et liberum esse et voluntarium, siquidem nemo me impedire potest, nemo cogere aliter quam velim illis uti.

APOPHTHEGMATA.

76. Antisthenes interrogatus, quid festum esset, dixit : ingurgitationis occasio.

77. Melius esse dicebat, ut Hecaton ait in Chriis, *in corvos quam in assentatores incidere; quippe ab illis mortuos, ab his vivos devorari.*

78. Rogatus cur paucos haberet discipulos, *quod agresti*, inquit, *baculo eos ejicio.*

80. Ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ἐπιτττει; καὶ οἱ ἰατροί, φησί, τοῖς κάμνουσιν.

(Diogenes Laertius lib VI, 4.)

81. Διογένης ὁ Σινωπεὺς τῶν μὲν ἄλλων ταχὺ κατεφρόνησεν, Ἀντισθένει δὲ ἐχρῆτο, οὐκ αὐτὸν οὕτως ἐνῶν ὡς τοὺς λόγους οὓς ἔλεγεν, ἡγούμενος μόνους ἀληθεῖς καὶ μάλιστα δυναμένους ἄνθρωπον ὠφελεῖν. Ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένη παραβάλλων τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον ἔφη αὐτὸν εἶναι σάλπιγγα, λοιδορῶν· αὐτοῦ γὰρ ἤκουε φθεγγομένου μέγιστον. Καὶ ὁ Ἀντισθένης ἔλεγεν αὐτὸν ταῦτα ἀκούων· πάνυ γὰρ ἐθαύμαζε ἀνθρώπου τὴν φύσιν. Ἔλεγεν οὖν ἀμυνόμενος τῆς σάλπιγγος τοῖς σφηξὶν αὐτὸν ὅμοιον εἶναι· καὶ τῶν σφηκῶν εἶναι τὸν μὲν ψόφον τῶν πτερῶν μικρὸν, τὸ δὲ κέντρον δριμύτατον. Ἔχαιρεν οὖν τῇ φρονήσει τοῦ Διογένους, ὥσπερ οἱ ἱππικοὶ ὅταν ἵππον ἴδωσι λάβωσιν, ἄλλως δὲ ἀνδρεῖον καὶ φιλόπονον, οὗ ἧττον ἀποδέχονται τὸ χαλεπὸν τοῦ ἵππου· τοὺς θρασεῖς καὶ βραδεῖς μισοῦσι καὶ ἀποδοκιμάζουσιν. Ἐνίοτε μὲν οὖν ἐπέτεινεν αὐτόν, ἐνίοτε δὲ ἐπειρᾶτο ἀνεῖναι, ὥσπερ οἱ χορδοστρόφοι τὰ νεῦρα τείνουσι, φείδεσθαι ἔχοντες μὴ ῥαγῇ.

(Dio Chrysostomus orat. VIII p. 275 ed. Reisk. cf. Stob. Florileg. XIII, 19.)

82. Οὔτε συμπόσιον χωρὶς ὁμιλίας οὔτε πλοῦτος ἄνευ ἀρετῆς ἡδονὴν ἔχει.

(Stobæus Floril. I, 30 Ἀντισθένους.)

83. Ἀντισθένης ἐρωτηθεὶς τί δή ποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν, ἀλλ' ἀνάπαλιν, εἶπεν, ὅτι οἱ σοφοὶ μὲν ἴσασιν, ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον· οἱ δὲ οὐκ ἴσασιν· ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἂν ἐπεμελοῦντο.

(Stobæus Floril. III, 46. Scripsi χρημάτων ἂν ἐπεμελοῦντο. Codd. χρημάτων ἐπεμελοῦντο.)

83. Ἀντισθένης ἔλεγε τὰς μὴ κατὰ θύραν εἰσιούσας ἡδονὰς ἀναγκαῖον μὴ κατὰ θύραν πάλιν ἐξιέναι· δεήσειν οὖν τμηθῆναι ἢ ἐλλεβορισθῆναι.

(Stobæus Floril. VI, 2 Ἀντισθένους.)

84. Τὰς μὴ κατὰ θύρας, φησὶν ὁ Ἀντισθένης, εἰσιούσας ἀπολαύσας δεήσει ἢ σχασθῆναι ἢ ἐλλεβορισθῆναι, ἢ πάντως λιμαγχονηθῆναι, κακὰς ἀμοιβὰς ἐκτίνοντα τῆς προγεγενημένης ἀπληστίας ἕνεκα μικρᾶς καὶ ὀλιγοχρονίου ἡδονῆς.

(Stobæus Floril. XVIII, 27 Ἀντισθένους.)

85. Ὅστις δὲ ἑτέρους δέδοικε, δοῦλος ὢν λέληθεν ἑαυτόν.

(Stobæus Floril. VIII, 14 Ἀντισθένους.)

86. Φιλάργυρος οὐδεὶς ἀγαθός, οὔτε βασιλεύς, οὔτε ἐλεύθερος.

(Stobæus Floril. X, 42 Ἀντισθένους.)

87. Ἀντισθένης ἔλεγεν, ὥσπερ τὰς ἑταίρας τἀγαθὰ πάντα εὔχεσθαι τοῖς ἐρασταῖς παρεῖναι πλὴν νοῦ καὶ φρονήσεως, οὕτω καὶ τοὺς κόλακας οἷς σύνεισι.

(Stobæus Floril. XIV, 19 Ἀντισθένους.)

88. Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων.

(Stobæus Floril. XXIX, 65 Ἀντισθένους.)

---

80. Rogatus item cur in discipulos acriter inveheretur: *medici*, inquit, *in ægros*.

81. Diogenes Sinopensis reliquos quidem cito contempsit, Antisthene autem familiariter utebatur, non tam ipsum homine quam sermones, quos habebat, ratus solos esse veros et juvandis hominibus accommodatissimos. Nam eum quidem Antisthenem comparans cum sermonibus eius adhuc tanquam multo molliorem reprehendebat dicebatque objurgantis more eum esse tubam. Quippe se eum licet maxima voce loquentem non audiebat. Et Antisthenes quidem hæc audiens eum sustinebat; nam hominis ingenium vehementer admirabatur. Quamobrem etiam defendens affirmabat, se non tubæ, sed vespis illum esse, quia vespæ exiguum pennis sonum ederent, aculeis autem acerrime pungerent. Delectabatur igitur libere Diogenis sermone, quemadmodum homines equitandi periti, quando equum animosum, sed fortem aliosque et laboris patientem nanciscuntur, nihilominus velocitatem equi probant; at segnes et tardos oderunt atque rejiciunt. Interdum igitur calcaribus in eo utebatur, nonnunquam vero refrenare ejus impetum tentabat; quemadmodo chordarum confectores nervos tenduni, cavendes rumpantur.

81. Neque convivium sine sermone neque divitiæ sine virtute oblectationem habent.

82. Antisthenes interrogatus, cur tandem opulenti sapientes non adirent, sed contra, dixit: Quoniam sapientes quidem sciunt, quibus rebus ad vitam egeant, illi vero nesciunt; alioquin enim sapientiæ quam pecuniæ cupidiores forent.

83. Antisthenes dicebat, eas quæ per fores non intrarent voluptates, necessario nec per fores rursus exire; opus itaque fore aut secari aut veratro purgari.

84. Voluptates, inquit Antisthenes, quæ per fores non intrent, aut incisa vena curari aut helleboro purgari, aut fame utique necari oportebit, ut gravissimas superioris edacitatis, cui exiguæ brevisque delectationis gratia indulsimus, pœnas luamus.

85. Quisquis alios metuit, servum se esse ignorat.

86. Avarus nemo bonus neque rex neque liber esse potest.

87. Antisthenes ait, ut meretrices bona omnia præter mentem et prudentiam suis amatoribus precentur, ita et adulatores iis quibuscum versantur.

88. Captandæ sunt voluptates quæ labores sequuntur, non illæ quæ præcedunt.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

89. Ἀντισθένης ἐρωτηθείς, πῶς ἄν τις προσέλθοι πολιτείᾳ, εἶπε, καθάπερ πυρί, μήτε λίαν ἐγγύς, ἵνα μὴ καῇς· μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃς.

(Stobæus Floril. XLV, 28 Ἀντισθένους.)

90. Ἀντισθένης ὁ φιλόσοφος τοὺς δημίους εὐσεβεστέρους ἔλεγεν εἶναι τῶν τυράννων. Πυθομένου δέ τινος τὴν αἰτίαν, ἔφη, ὅτι ὑπὸ μὲν τῶν δημίων οἱ ἀδικοῦντες ἀναιροῦνται, ὑπὸ δὲ τῶν τυράννων οἱ μηδὲν ἁμαρτάνοντες.

(Stobæus Floril. XLIX, 47 Ἀντισθένους.)

91. Ἀντισθένης ὁ Σωκρατικὸς εἰπόντος τινός, ὅτι ὁ πόλεμος ἀπολεῖ τοὺς πένητας, Πολλοὺς μὲν οὖν ποιήσει, ἔφη.

(Stobæus Floril. L, 11 Ἀντισθένους.)

92. Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν· οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται.

(Stobæus Floril. LXXXII, 8 Ἀντισθένους.)

93. Πρὸς δὲ τὸν ἐρόμενον ποδαπὴν γήμῃ, ἔφη· ἂν μὲν καλήν, ἕξεις κοινήν· ἂν δὲ αἰσχράν, ἕξεις ποινήν.

(Diogenes Laertius lib. VI, 3. Eadem sententia Bioni quoque tribuitur a Diogene lib. IV, 48 et Bianti a Gellio lib. V, 11.)

94. Ἰδών ποτε μοιχὸν φεύγοντα, Ὦ δυστυχής, εἶπε, πηλίκον κίνδυνον ὀβολοῦ διαφυγεῖν ἐδύνασο.

(Diogenes Laertius lib. VI, 4. Nam uno obolo meretrices prostabant. Cf. Eubulus comicus ap. Athen. lib. XIII p. 568 F.)

95. Πρός τε τὸ Ποντικὸν μειράκιον, μέλλον φοιτᾶν αὐτῷ καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, φησί, βιβλιαρίου καινοῦ, καὶ γραφείου καινοῦ, καὶ πινακιδίου καινοῦ, τὸν νοῦν παρεμφαίνων.

(Diogenes Laertius lib. VI, 3. Eundem jocum Stilponi adscribit Diogenes lib. II, 118.)

96. Ὀνειδιζόμενός ποτε ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων, οὐδὲ γὰρ ἐκ δύο, ἔφη, παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι.

(Diogenes Laertius lib. VI, 4.)

97. Γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου, εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, Ἔδει γάρ, ἔφη, τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν τοῖς χάρταις γράφειν.

(Diogenes Laertius lib. VI, 5.)

98. Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.

(Diogenes Laertius lib. VI, 5.)

99. Τότ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν.

(Diogenes Laertius lib. VI, 5. Similiter Antonius et Maximus serm. de rege malo p. 520, quorum sententia in hunc modum enuntiata exstat : τότε τὰς πόλεις ἀπόλλυσθαι συμβαίνει, ὅταν μὴ δύνωνται κρατοῦντες τοὺς φαύλους ἐκ τῶν σπουδαίων διακρίνειν.)

100. Ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν, ἔφη, ἀγωμή τι κακὸν εἰργασμαι.

(Diogenes Laertius lib. VI, 5.)

101. Ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς τείχους ἰσχυροτέραν εἶναι.

(Diogenes Laertius lib. VI, 6.)

102. Τοιαῦτα δεῖν ἔφη ποιεῖσθαι ἐφόδια, ἃ ναυαγήσαντι συγκολυμβήσει.

(Diogenes Laertius lib. VI, 6.)

103. Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ πονηροῖς συγγενέσθαι, καὶ οἱ ἰατροί, φησί, μετὰ τῶν νοσούντων εἰσὶν ἀλλ' οὐ πυρέττουσιν.

---

89. Antisthenes interrogatus, quomodo ad rempublicam accedendum esset, respondit : *Ut ad ignem : neque nimis prope, ne uraris, neque procul astando, ne frigeas.*

90. Antisthenes philosophus carnifices tyrannis religiosiores esse dicebat. Cujus rei causam quærenti cuidam respondit, a carnifice quidem homines injuriosos occidi, a tyrannis vero etiam innocentes.

91. Antisthenes Socraticus, quum quidam dixisset, pauperes in bello interituros esse : *immo plures tum fient*, respondit.

92. Contradicentem non contradicendo coerceri, sed doceri oportet; nam neque insano quisquam, si vicissim insaniat, medebitur.

93. Cuidam uxorem ducturo interrogantique, cujusmodi duceret, respondit : Si formosam, habebis communem; sin autem deformem, habebis pœnam.

94. Quum vidisset aliquando fugientem adulterum : *o infelix*, inquit, *quantum periculi uno obolo vitare potuisti!*

95. Porro Pontico adolescenti, quum se ipsi in disciplinam tradere vellet ac sciscitaretur, quibus rebus instructus esset, respondit : *Ut ad ignem : neque nimis prope, ne uraris, neque procul astando, ne frigeas.*

96. Reprehensus aliquando, quod non esset duobus liberis natus : *Neque*, inquit, *duobus luctatoribus progenitus, sed tamen luctator sum.*

97. Familiari quodam apud ipsum aliquando querenti quod commentarios amisisset, *Oportebat*, inquit, *istos animo potius, quam in chartis inscribere.*

98. Sicut rubigine ferrum, ita invidos suo animorum habitu consumi ajebat.

99. Tum civitates interire ajebat, quum improbos a probis discernere non possent.

100. Quum aliquando a malis hominibus laudaretur, vereor, inquit, ne quid maleficii admiserim.

101. Fratrum qui concordes essent convictum omni muro fortiorem esse dixit.

102. Ea dicebat paranda esse viatica, quæ etiam cum naufrago simul enatarent.

103. Reprehensus aliquando, quod cum malis hominibus

(Diogenes Laertius lib. VI, 6.)

104. Ἄτοπον ἔφη τοῦ μὲν σίτου αἴρας ἐκλέγειν καὶ ν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς τονηροὺς μὴ παραιτεῖσθαι.

(Diogenes Laertius lib. VI, 6.)

105. Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, φη, τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν.

(Diogenes Laertius lib. VI, 6.)

106. Εἰπόντος αὐτῷ τινος παρὰ πότον, ᾄσον, Σύ μοι, ησίν, αὔλησον.

(Diogenes Laertius lib. VI, 6.)

107. Διογένει χιτῶνα αἰτοῦντι πτύξαι προσέταξε ιμάτιον.

(Diogenes Laertius lib. VI, 6.)

108. Ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον, φη, τὸ κακὰ ἀπομαθεῖν.

(Diogenes Laertius lib. VI, 7.)

109. Παρεκελεύετο τοὺς κακῶς ἀκούοντας καρτερεῖν ἄλλον ἢ εἰ λίθοις τις βάλλοιτο.

(Diogenes Laertius lib. VI, 7.)

110. Ἐρωτηθεὶς ὑπό του (καθά φησι Φανίας ἐν τῷ ερὶ τῶν Σωκρατικῶν) τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο; φη, Εἰ τὰ κακὰ ἃ ἔχεις ὅτι φευκτά ἐστι, μάθοις παρὰ ὧν εἰδότων.

(Diogenes Laertius lib. VI, 8.)

111. Πρὸς τὸν ἐπαινοῦντα τρυφήν, Ἐχθρῶν παῖδες, φη, τρυφήσειαν.

(Diogenes Laertius lib. VI, 8.)

112. Πρὸς τὸ παρασχηματίζον ἑαυτὸ[a] τῷ πλάστῃ ειράκιον, Εἰπέ μοι, φησίν, εἰ φωνὴν λάβοι ὁ χαλκός, ἐ τίνι οἴει ἂν σεμνυνθῆναι[b]; Τοῦ δ' εἰπόντος, Ἐπὶ κάλλει, Οὐκ αἰσχύνῃ οὖν, ἔφη, τὰ ὅμοια γεγηθὼς ἀψύχῳ.

(Diogenes Laertius lib. VI, 9. Scripsi ex Casauboni conjectura : [a] ἑαυτὸ; codd. αὐτοῦ. — [b] ἐπὶ τίνι οἴει ἂν σεμνυνθῆναι; codd. ἐπὶ τίνι ἂν σεμνυνθῆναι. Est autem παρασχηματίζειν ἑαυτὸν τῷ πλάστῃ ejus qui se fingendum a statuario curat, sed pulchriore quam sit forma. Hoc enim olim fieri solitum constat. Vid. Casaubonum ad Theophrast. Char. cap. 2.)

113. Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων, λαβὼν αὐτὸν καὶ θύλακον κενὸν πρὸς ἀλφιτόπωλιν ἦκε καὶ σαξάμενος ἀπῄει. Τῆς δὲ αἰτούσης τὸ διάφορον, Ὁ νεανίσκος, ἔφη, δώσει ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται.

(Diogenes Laertius lib. VI, 9.)

114. Αὐτὸς καὶ Ἀνύτῳ τῆς φυγῆς αἴτιος γενέσθαι δοκεῖ καὶ Μελήτῳ τοῦ θανάτου. Ποντικοῖς γὰρ νεανίσκοις κατὰ κλέος τοῦ Σωκράτους ἀφιγμένοις περιτυχὼν ἀπήγαγεν αὐτοὺς πρὸς τὸν Ἄνυτον εἰπὼν ἐν ᾗθει σοφώτερον εἶναι τοῦ Σωκράτους· ἐφ' ᾧ διαγανακτήσαντας τοὺς περιεστῶτας ἐκδιῶξαι αὐτόν.

(Diogenes Laertius lib. VI, 9-10.)

115. Εἴ δέ ποθι θεάσαιτο γύναιον κεκοσμημένον, ἀπῄει ἐπὶ τὴν οἰκίαν αὐτῆς καὶ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα· ὥστε εἰ μὲν ἔχοι ταῦτα, ἐᾶν τρυφᾶν· (ἀμύνεσθαι γὰρ τούτοις) εἰ δὲ μή, περιαιρεῖν τὸν κόσμον.

(Diogenes Laertius lib. VI, 10.)

116. Μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰ-

---

ngrederetur : *Et medici*, inquit, *inter ægrotos versan-r, neque tamen febricitant.*

104. Absurdum esse dicebat triticum purgare lolio atque bello exercitum milite ad arma inutili, in republica ro malos homines non aversari.

105. Interrogatus quem fructum e philosophia percepisset, ecum, ait, *colloquendi facultatem.*

106. Cuidam ipsi super vinum et epulas dicenti, cane, *mihi*, inquit, *tibias infla.*

107. Diogenem tunicam poscentem pallium complicare sit.

108. Interrogatus, quæ ars maxime esset necessaria, lla, inquit, dediscendi.

109. Hortabatur eos qui vituperarentur, ut tolerarent magis, quam si quis lapidibus peteretur.

110. Interrogatus a quodam (ut ait Phanias in libro de raticis), quid faciendo probus et honestus evaderet, *Si la*, inquit, *quæ habes, evitabilia esse ab iis qui nohi dediceris.*

111. Cuidam delicias laudanti, *Inimicorum*, ait, *filii icate vivant.*

112. Adolescentulo transfiguratum se statuario exhibenti, *Dic mihi*, inquit, *si vocem æs accipiat, qua de re istud gloriaturum putes?* Illo dicente, *De pulchritudine, Non igitur*, inquit, *erubescis, qui similiter atque inanimum gaudeas?*

113. Quum Ponticus adolescens polliceretur, illum sibi curæ fore, si navis qua salsamenta vehebantur appelleret : abducto eo et sacco vacuo sumpto abiit ad farinæ venditricem impletoque sacco abibat. Ista vero pretium petente, *Hic*, inquit, *adolescens dabit, ubi navis ipsius salsamentis onusta appulerit.*

114. Ipse etiam videtur effecisse, ut Anytus in exsilium ejiceretur atque ut Meletus morte multaretur. Namque in Ponticos juvenes qui Socratis gloria moti advenerant quum incidisset, ad Anytum eos adduxit, dicens eum moribus sapientiorem esse quam Socratem; qua re offensos circumstantes eum in exsilium pepulisse.

115. Sicubi vero ornatam vidisset mulierem, in domum ipsius proficiscebatur jubebatque ejus virum equum producere et arma; ut si hæc illi essent, eam luxuriari sineret : (his enim injuriam propulsare) sin minus, cultum amoveret.

116. Quum aliquando Orphicis mysteriis initiaretur di-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

πόντος, ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετίσχουσι, Τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις;

(Diogenes Laertius lib. VI, 4.)

117. Ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη, εὐτυχοῦντα ἀποθανεῖν.

(Diogenes Laertius lib. VI, 5.)

118. Τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως.

(Diogenes Laertius lib. VI, 6.)

119. Ὅθεν ὀρθῶς ὁ Ἀντισθένης εἶπεν, ὅτι τοῖς μέλλουσι σώζεσθαι ἢ φίλων δεῖ γνησίων ἢ διαπύρων ἐχθρῶν. Οἱ μὲν γάρ, νουθετοῦντες τοὺς ἁμαρτάνοντας, οἱ δέ, λοιδοροῦντες ἀποτρέπουσι.

(Plutarchus De capienda ex hostibus utilitate Vol. VII p. 277 ed. Hutten. cf. Cicero De amic. XXIV, 90.)

120. Ἀλλὰ βοηθεῖ μοι τὸ τοῦ Ἀντισθένους μνημονευόμενον. Θαυμάσαντος γάρ τινος, εἰ δι' ἀγορᾶς αὐτὸς φέρει τάριχον· Ἐμαυτῷ γε, εἶπεν.

(Plutarchus Reip. gerendæ præc. vol. XII p. 168 ed. Hutten.)

121. Καὶ μὴν οὐχ ἕτερα δεῖ βιβλία διειλῆσαι τοῦ Χρυσίππου τὴν πρὸς αὐτὸν ἐνδεικνυμένους μάχην, ἀλλ' ἐν αὐτοῖς τούτοις ποτὲ μὲν τοῦ Ἀντισθένους ἐπαινῶν προφέρεται τὸ δεῖν κτᾶσθαι νοῦν ἢ βρόχον.

(Plutarchus de Stoic. repugn. cap. XIV, vol. XIII p. 356 ed. Hutten.)

122. Διὸ καλῶς μὲν Ἀντισθένης ἀκούσας, ὅτι σπουδαῖός ἐστιν αὐλητὴς Ἰσμηνίας, Ἀλλ' ἄνθρωπος, ἔφη, μοχθηρός· οὐ γὰρ ἂν οὕτω σπουδαῖος ἦν αὐλητής.

(Plutarchus vit. Pericl. cap. I, vol. I p. 379 ed. Hutten.)

123. Ἀντισθένης δὲ ὁ Σωκρατικὸς ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ὁρῶν τοὺς Θηβαίους μέγα φρονοῦντας, οὐδὲν αὐτοὺς ἔφη διαφέρειν παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων.

(Plutarchus vit. Lycurg. cap. 30 vol. I p. 142 ed. Hutten.)

124. Δεῖ τοὺς μέλλοντας ἀγαθοὺς ἄνδρας γενήσεσθαι, τὸ μὲν σῶμα γυμνασίοις ἀσκεῖν, τὴν δὲ ψυχὴν παιδεύειν.

(Excerpta e codice Florentino Joann. Damascen. in Stob. Eclog. tom. II p. 734 ed. Gaisford; item in Flor. vol. IV p. 198 ed. Meinek. Ἀντισθένους.)

125. Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος τί διδάξει τὸν υἱόν, εἶπεν, Εἰ μὲν θεοῖς μέλλει συμβιοῦν, φιλόσοφον, εἰ δὲ ἀνθρώποις, ῥήτορα.

(Excerpta e codice Florentino Joann. Damascen. in Stob. Eclog. tom. II, p. 734 ed. Gaisford; item in Flor. vol. IV p. 199 ed. Meinek.)

126. Καὶ οὗτος [ὁ Ἀντισθένης] φιλόσοφος ἦν ἀλαζὼν καὶ ὑπερήφανος, ὃς ὑπό τινος ὑβριστοῦ τὸ πρόσωπον συντριβείς, ἐπέγραψε τῷ προσώπῳ, ὥσπερ ἐν ἀνδριάντι τὸν παίσαντα, στηλιτεύων τὸν ὑβριστήν, ἵνα θερμοτέραν τὴν κατηγορίαν ἐνδείξαιτο.

(Basilius schol. in Greg. Naz. apud Boissonad in Excerptorum e codd. Bibl. Imp. vol. XI, part. 2 p. 138.)

127. Ἐκ δὲ τοῦ ἀπιθάνου, ὅτι μὴ εἰκός ἐστιν, Ἀντισθένην Ἀττικόν γε ὄντα παραγενόμενον Ἀθήνηθεν εἰς Λακεδαίμονα ἐκ τῆς γυναικωνίτιδος λέγειν εἰς τὴν ἀνδρωνῖτιν ἀπιέναι.

(Theo Progymnasm. cap. 5, 45, Cf. Diog. Laert. VI, 59 : Ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον, Ποῖ καὶ Πόθεν; Ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν.)

---

ceretque sacerdos hujusmodi mystas bonis plurimis apud inferos perfrui : *Cur igitur*, ait, *ipse non moreris?*

117. Rogatus, quidnam apud homines esset beatissimum, *Felicitate*, inquit, *florentem mori.*

118. Eos qui cuperent immortales esse, oportere dicebat pie vivere ac juste.

119. Unde recte dictum est ab Antisthene, eos qui salvi esse debeant indigere vel probis amicis vel inimicis acerrimis. Etenim illi admonendo peccantes, hi objurgando a vitiis absterrent.

120. Sed mihi patrocinatur Antisthenis dictum memoriæ proditum, qui miranti cuidam, quod salsamentum per forum gestaret, respondit : *Mihi quidem ipsi fero.*

121. Atqui non est necesse alios libros evolvere, e quibus Chrysippum ipsum secum pugnare ostendamus, sed in his ipsis aliquando Antisthenis illud proferens laudat, *aut mentem parandum aut laqueum.*

122. Quapropter recte Antisthenes quum Ismeniam bonum tibicinem audiret prædicari, *Atqui homo*, inquit, *est malus : alioquin enim tam bonus tibicen non foret.*

123. At vero Antisthenes Socraticus a Leuctrica pugna Thebanos elatis esse animis videns nihil eos differre a pueris dixit, quod magistrum concidisssent, exsultantibus.

124. Qui futuri sunt boni viri, eos oportet tum corpus exercitationibus firmare, tum animum doctrina excolere.

125. Antisthenes interrogatus a quodam, quid auctor ipsi esset, ut filium doceret, respondit : *Si cum diis ævum acturus est, philosophiam, si cum hominibus, artem oratoriam.*

126. Hic etiam [Antisthenes] philosophus fuit arrogans et superbus, cujus quum os ab homine petulanti contusum esset, inscripsit in facie, tanquam in statua, nomen ejus a quo percussus erat, prodens hominem injuriosum, ut eo acrioris accusatoris partes obtineret.

127. Ex improbabili, quia non est verisimile, Antisthenem quidem Atticum quum Athenis Lacedæmonem venisset, dixisse, sese a mulieribus ad viros profectum esse.

128. Ἐλέγετο δ' οὐκ εἶναι ἰθαγενής. Ὅθεν πρὸς ν ὀνειδίζοντα εἰπεῖν, καὶ ἡ μήτηρ τῶν θεῶν Φρυγία τίν.
(Diogenes Laertius lib. VI, 1.)

129. Καὶ αὐτὸς δὲ τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυλίζων ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀττελέβων εὐγενεστέρους.
(Diogenes Laertius lib. VI, 1.)

---

128. Dicebatur autem non esse indigena. Quamobrem qui ipsi hoc exprobrabat, dixisse fertur: *Etiam Deom mater Phrygia est.*

129. Ipse quoque Atheniensibus terrigenas se esse gloriantibus contemtim dicebat, eos cochleis et locustis nihilo nobiliores esse.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

DE DIOGENE CYNICO.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΠΙΣΚΟΠΟΥ . ΚΟΥΡΙΛΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.....

Diogenes (1) Hicesii mensularii filius, Sinonensis (2), Olympiade XCI natus est. Qui quum ulterinam monetam exercuisset, relicta patria Athenas exsulatum abiit. Ibi convenit Antisthenem (3) eumque multos annos audivit. Quamvis enim a Cynicorum principe discipulorum omnium pertæso primum repulsus atque etiam baculo verberatus esset : tamen sua pervicacia magistrum vicit, qui ipsum postea et mirifice dilexit et in familiaritatem recepit. Neque tamen in illa urbe consenuit, sed sæpe peregrinatus est, ita ut nunc Corinthi nunc Athenis nunc alibi viveret. Ajebat autem sese imitari Persarum regis vivendi genus, qui hieme Babylone et Susis, interdum Bactris quoque, tepidissimis Asiæ locis, æstate vero Ecbatanis Medorum commoraretur (4). Quum igitur aliquando in insulam Æginam navigaret (5) atque a piratis esset captus, quorum dux erat Scirpalus, in Cretam abductus ac venditus est. Tum præcone interrogante, quid sciret facere, respondit : *Hominibus imperare;* simulque digito monstrans Corinthium quendam prætextatum Xeniadem, *Huic*, inquit, *me vende : hic enim domino indiget.* Quapropter illum emit Xeniades Corinthumque secum ductum filiolis præceptorem dedit totamque domum ei commisit. Hac optime administrata Diogenes Xeniadis benevolentiam sibi conciliavit, qui circumiens bonum genium ædes suas ingressum esse præ se ferebat. Cæteroquin illius filios ita

(1) Cf. Carol. Guil. Gœttlingii dissertatio de Diogene Cynico (Diogenes der Cyniker oder die Philosophie des griechen Proletariats) in ejus *Ges. Abhandl.* vol. I Halæ 1. — (1) Diogenes Laertius lib. VI, 20 : Διογένης Ἱκεσίου πεζίτου Σινωπεύς. Φησὶ δὲ Διοκλῆς δημοσίαν αὐτοῦ τὴν πεζαν ἔχοντος τοῦ πατρὸς καὶ παραχαράξαντος τὸ νόμισμα, εῖν. Εὐβουλίδης δὲ ἐν τῷ περὶ Διογένους αὐτόν φησι Διοην τοῦτο πρᾶξαι καὶ συναλᾶσθαι τῷ πατρί. Οὐ μὴν ἀλλὰ αὐτὸς περὶ αὐτοῦ φησιν ἐν τῷ Πορδάλῳ ὡς παραχαράξαι όμισμα. Ἔνιοι δ' ἐπιμελητὴν γενόμενον ἀναπεισθῆναι ὑπὸ τεχνιτῶν καὶ ἐλθόντα εἰς Δελφοὺς ἢ εἰς τὸ Δήλιον ἐν τῇ ρίδι Ἀπόλλωνος πυνθάνεσθαι, εἰ ταῦτα πράξει ἅπερ ἀναεται· τοῦ δὲ συγχωρήσαντος τὸ πολιτικὸν νόμισμα, οὐ είς, τὸ κέρμα ἐκιβδήλευσε καὶ φωραθείς, ὡς μέν τινες, γαδεύθη, ὡς δέ τινες, ἑκὼν ὑπεξῆλθε φοβηθείς. Ἔνιοι δὲ ι παρὰ τοῦ πατρὸς αὐτὸν λαβόντα τὸ νόμισμα διαφθεῖραι· τὸν μὲν δεθέντα ἀποθανεῖν, τὸν δὲ φυγεῖν ἐλθεῖν τ' εἰς Δελς καὶ πυνθανόμενον οὐκ εἰ παραχαράξει, ἀλλὰ τί ποιήσας ξότατος ἔσται, οὕτω λαβεῖν τὸν χρησμὸν τοῦτον. Suidas : γένης. Ἱκεσίου υἱὸς τραπεζίτου Σινωπεύς· ὃς φυγὼν τὴν ρίδα διὰ τὸ παρακόψαι νόμισμα ἦλθεν εἰς Ἀθήνας. Jus Orat. VI : ἀλλ' ἀπόχρη μόνον δύο ταῦτα τοῦ Πυθίου αινοῦντος ἀκοῦσαι, τὸ Γνῶθι σαυτὸν καὶ Παραχάραξον τὸ σμα. Ἤφηνε γοῦν ἡμῖν ἀρχηγὸς τῆς φιλοσοφίας, ὅσπερ, κι, τοῖς Ἕλλησι κατέστη τῶν καλῶν ἁπάντων αἴτιος, ὁ Ἑλλάδος κοινὸς ἡγεμὼν καὶ νομοθέτης καὶ βασιλεύς, ὁ ελφοῖς θεός. Ὃν ἐπειδὴ μὴ θέμις ἦν τι διαλαθεῖν, οὐδὲ ἡ γένους ἐπιτηδειότης ἔλαθε. Προὔτρεψε δὲ αὐτόν, οὐχ ὥσπερ ἄλλους ἔπεισεν ἐντείνων τὴν παραίνεσιν, ἀλλὰ ἔργῳ δικων, ὅ, τι βούλεται συμβολικῶς διὰ δυοῖν ὀνομάτοιν, παράξον, εἰπών, τὸ νόμισμα κτλ. — (2) Strabo lib. XII 546 de Sinope : ἄνδρας δὲ ἐξήνεγκεν ἀγαθούς, τῶν μὲν σόφων Διογένη τὸν Κυνικὸν καὶ Τιμόθεον τὸν Πατρίωνα, δὲ ποιητῶν Δίφιλον τὸν κωμικόν, τῶν δὲ συγγραφέων ωνα τὸν πραγματευθέντα τὰ Περσικά. — (3) Diogenes rtius lib. VI, 21 : Γενόμενος δὲ Ἀθήνησιν Ἀντισθένει παλε. Τοῦ δὲ διωθουμένου διὰ τὸ μηδένα προσίεσθαι, ἐξετο τῇ προσεδρίᾳ. Καί ποτε τὴν βακτηρίαν ἐπανατεινου αὐτῷ τὴν κεφαλὴν ὑποσχών, « παῖε, εἶπεν· οὐ γὰρ εὑις οὕτω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις, ἕως ἂν τι φαίνῃ ὄν. » Τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν ὥρεν ἐπὶ τὸν εὐτελῆ βίον. Ælianus var. hist. lib. X cap. ἐπεὶ ὁ Ἀντισθένης πολλοὺς προὔτρεπεν ἐπὶ φιλοσοφίαν· οἱ δὲ οὐδεὶς αὐτῷ προσεῖχον, τέλος ἀγανακτήσας οὐδένα προσ Καὶ Διογένην οὖν ἤλαυνεν ἀπὸ τῆς συνουσίας αὐτοῦ. τι δὲ ἦν λιπαρέστερος ὁ Διογένης, καὶ ἐνέκειτο, ἐνταῦθα καὶ τῇ βακτηρίᾳ καθίξεσθαι αὐτοῦ ἠπείλει. Καί ποτε καὶ σε κατὰ τῆς κεφαλῆς· ὁ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι λον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν. Καὶ ἔλεγε, σὺ μὲν παῖε εἰ βούλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν, καὶ οὐκ ἂν οὕτως ἐξεύροις βακτηρίαν σκληράν, ὥστε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν. Ὁ δὲ ὑπερησπάσατο αὐτόν. Suidas v. Διογένης· καὶ Ἀντισθένει παραβαλὼν τῷ Κυνικῷ, ἠράσθη τοῦ ἐκείνου βίου, καὶ τὴν κυνικὴν φιλοσοφίαν ᾑσπάσατο, πολλῆς οὔσης αὐτῷ ὑπεριδὼν οὐσίας. Id. paucis interjectis : Διογένης Ἀντισθένους ὁμιλητής.... Ἐρομένῳ δὲ αὐτῷ, πῶς ἂν πρωτεύσειεν, ἐπολιτεύσατο γάρ, ὁ θεὸς ἀνεῖλεν, εἰ παραχαράξειεν. Ὁ δὲ τὸ νόμισμα παρεχάραξεν, ἐφ' ᾧ φυγὼν ἦλθεν εἰς Ἀθήνας. Ἐντυχὼν δὲ Ἀντισθένει κατὰ δόξης διαλεγομένῳ, ἐφιλοσόφησε. — (4) Dio Chrysostomus orat. VI pag. 197 ed. Reisk. : Διογένης ὁ Σινωπεύς, ὅτε ἔφυγεν ἐκ Σινώπης, ἀφικόμενος εἰς τὴν Ἑλλάδα διῆγε ποτὲ μὲν ἐν Κορίνθῳ, ποτὲ δὲ Ἀθήνῃσιν. Ἔφη δὲ μιμεῖσθαι τοῦ Περσῶν βασιλέως τὴν διαίταν· καὶ γὰρ ἐκεῖνος τῷ μὲν χειμῶνι ἐν Βαβυλῶνι καὶ Σούσοις, ἐνίοτε δ' ἐν Βάκτροις διῆγεν, ἐν τοῖς εὐδιεινοτάτοις τῆς Ἀσίας· τοῦ δὲ θέρους ἐν Ἐκβατάνοις τῆς Μηδικῆς. — (5) Diogenes Laertius lib. VI, 74-75 : Πλέων γὰρ εἰς Αἴγιναν καὶ πειραταῖς ἁλούς, ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο, καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν. Ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν Ξενιάδην, ἔφη· Τούτῳ με πώλει, οὗτος δεσπότου χρῄζει. Ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιιὼν ἔλεγεν· Ἀγαθὸς δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. Φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γνω-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

instituit (6), ut post perceptas reliquas disciplinas equitarent, sagittarent, funda lapides excuterent, denique jacularentur. In palæstra vero non permittebat luctandi magistro eos athletarum in morem exercere, sed tantum ad colorem rubicundum ori inducendum et ad bonam corporis habitudinem. Tenebant autem pueri multa poetarum aliorumque scriptorum et ipsius Diogenis dicta memoriter; omnemque illis doctrinæ rationem, ut facile memoria comprehenderetur breviter expositam inculcabat. Domi etiam ministrare eos docebat, vili cibo et aquæ potu contentos. Quid? quod tonsos ad cutem incomtosque erudiebat, neque modo sine tunicis ac discalceatos esse, sed tacere etiam et se solos inter viam intueri volebat. Insuper ad venationes eos educebat. Contra isti Diogenis ipsius curam agentes a parentibus petebant, ut eum sibi commendatum haberent. Est autem Eubulus auctor Diogenem apud Xeniadem ad senectutem venisse et fato perfunctum ab ejus filiis esse sepultum. Quamobrem quæ alii fabulose de ejus morte retulerunt (7), incredibilia nobis videntur. Mortuus est, postquam prope nonaginta confecit annos, Olympiade CXIII, quo tempore etiam Alexander Macedonum rex Babylone supremum diem obiit. Sed defuncto cives quoque ejus æneas statuas posuerunt sic inscriptas :

> Æra quidem absumit tempus, sed tempore nunquam
> interitura tua est gloria, Diogenes :
> solus enim vitæ, quæ se contenta sit, amplam
> monstrasti nobis tu facilemque viam.

ρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι· τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων· δούλου γὰρ τὸ φοβεῖσθαι· τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι. Philo Iudæus in libello omn. libr. prob. p 883 ed. Francof. : ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης ὕψει καὶ μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥσθ' ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόγις τὰς ἀναγκαίας παρεῖχον αὐτῷ τροφάς, οὐδ' ὑπὸ τῆς παρούσης τύχης καμφθείς, οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας, Ἀτοπώτατον, ἔφη, γίνεται, δελφάκια μὲν ἢ πρόβατα ὁπότε μέλλοι πιπράσκεσθαι, τροφαῖς ἐπιμελεστέραις εἰς εὐσαρκίαν πιαίνειν, ζῴων δὲ τὸ ἄριστον, ἄνθρωπον, ἀσιτίαις κατασκληκευθέντα, ἐπευωνίζεσθαι. Λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπειδὴ μεθ' ἑτέρων ἔμελλεν ἀπεμπολεῖσθαι, καθίσας πρότερον ἡρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον. Ἑνὸς δὲ οὐ μόνον λυπουμένου, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, Οὐ παύσῃ τῆς συννοίας; ἔφη, χρῶ τοῖς παροῦσι. Καὶ γάρ τ' ἠύκομος Νιόβη ἐμνήσατο σίτου, Τῆπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο, Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες. Ἐπινεανιευμένοις τισὶ τῶν ὠνητικῶς ἐχόντων, Τί δ' οἶδας; Ἄρχειν, εἶπεν, ἀνθρώπων, ὡς ἔοικε, τῆς ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. Ἤδη δὲ καὶ πρὸς χαριεντισμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐν ᾧ οἱ ἄλλοι συννοίας γέμοντες κατήφουν, ἐτράπετο. Λέγεται γοῦν, ὅτι θεασάμενός τινα τῶν ὠνουμένων, ὃν θήλεια νόσος εἶχεν, ἐκ τῆς ὄψεως οὐκ ἄρρενα, προσελθὼν ἔφη· Σύ με πρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς, ὡς τὸν μὲν δυσωπηθέντα, ἐφ' οἷς ἑαυτῷ σύνοιδε, καταδῦναι, τοὺς δὲ ἄλλους τὸ σὺν εὐτολμίᾳ εὐθύβολον ἐκπλήττεσθαι. — (6) Diog. Laert. lib. VI, 30-32 : Εὔβουλος δέ φησιν ἐν τῷ ἐπιγραφομένῳ Διογένους πρᾶσις, οὕτως ἄγειν τοὺς παῖδας τοῦ Ξενιάδου μετὰ τὰ λοιπὰ μαθήματα, ὥστε ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν. Ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτοῦ τοῦ ἐρυθήματος χάριν καὶ εὐεξίας. Κατεῖχον δὲ οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων καὶ τῶν αὐτοῦ Διογένους· πᾶσάν τε ἔφοδον σύντομον, πρὸς τὸ εὐμνημόνευτον, ἐπήσκει. Ἐν οἴκῳ τε ἐδίδασκε διακονεῖσθαι λιτῇ τροφῇ χρωμένους, καὶ ὕδωρ πίνοντας. Ἐν χρῷ κουρίας τε καὶ ἀκαλλωπίστους εἰργάζετο, καὶ ἀχίτωνας καὶ ἀνυποδήτους, καὶ σιωπηλούς, καθ' αὑτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς. Ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγεσίᾳ. Οἱ δὲ καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο, καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. Ὁ δ' αὐτός φησι παρὰ τῷ Ξενιάδῃ καὶ γηρᾶσαι αὐτόν, καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ. Ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη· Ἐπὶ πρόσωπον. Τοῦ δὲ ἐρομένου· Διὰ τί; Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἄνω στρέφεσθαι. Τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. — (7) Diogenes Laertius lib. VI, 76-79 : Λέγεται δὲ πρὸς τὰ ἐνενήκοντα ἔτη βιοὺς τελευτῆσαι. Περὶ δὲ τοῦ θανάτου διάφοροι λέγονται λόγοι· οἱ μὲν γὰρ πολύποδα φαγόντα ὠμὸν χολερικῇ ληφθῆναι ὧδε τελευτῆσαι· οἱ δὲ τὸ πνεῦμα συγκρατήσαντα, ὃν ἐστι καὶ Κερκιδᾶς ὁ Μεγαλοπολίτης ἢ Κρὴς λέγων ἐν τοῖς μελιάμβοις οὕτως· Οὐ μὰν ὁ πάρος γε Σινωπεὺς Τῆνος· ὁ βακτροφόρας, διπλοείματος, αἰθεριβόσκας, Ἀλλ' ἀνέβα χείλος ποτ' ὀδόντας ἐρείσας [καὶ τὸ πνεῦμα συνδακών]. Ἧς γὰρ ἀληθέως Διογένης Ζανὸς γόνος οὐράνιός τε κύων. Ἄλλοι φασὶ πολύπουν κυσὶ συμμερίσασθαι βουλόμενον οὕτω δηχθῆναι τοῦ ποδὸς τὸν τένοντα καὶ καταστρέψαι. Οἱ μέντοι γνώριμοι αὐτοῦ, καθά φησιν Ἀντισθένης ἐν διαδοχαῖς, εἴκαζον τὴν τοῦ πνεύματος συγκράτησιν. Ἐτύγχανε μὲν γὰρ διάγων ἐν τῷ Κρανείῳ τῷ πρὸ τῆς Κορίνθου γυμνασίῳ· κατὰ δὲ τὸ ἔθος ἦκον οἱ γνώριμοι καὶ αὐτὸν καταλαμβάνουσιν ἐγκεκαλυμμένον καὶ εἴκασαν αὐτὸν κοιμᾶσθαι· οὐδὲ γὰρ ἦν τις νυσταλέος καὶ ὑπνηλός. Ὅθεν ἀποπετάσαντες τὸν τρίβωνα ἔκπνουν αὐτὸν καταλαμβάνουσι καὶ ὑπέλαβον τοῦτο πρᾶξαι βουλόμενον λοιπὸν ὑπεξελθεῖν τοῦ βίου. Ἔνθα καὶ στάσις, ὡς φασιν, ἐγένετο τῶν γνωρίμων, τίνες αὐτὸν θάψουσιν· ἀλλὰ καὶ μέχρι χειρῶν ἦλθον. Ἀφικομένων δὲ τῶν πατέρων καὶ τῶν ὑπερεχόντων, ὑπὸ τούτοις ταφῆναι τὸν ἄνδρα παρὰ τῇ πύλῃ τῇ φερούσῃ εἰς τὸν Ἰσθμόν. Ἐπέστησάν τ' αὐτῷ κίονα καὶ ἐπ' αὐτῷ λίθου Παρίου κύνα. Ὕστερον δὲ καὶ οἱ πολῖται αὐτοῦ χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτὸν καὶ ἐπέγραψαν οὕτω· Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι Κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ· μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας Θνατοῖς καὶ ζωᾶς οἶμον ἐλαφροτάταν. Ἔστι καὶ ἡμῶν ἐν τῷ προκελευσματικῷ μέτρῳ· Α. Διόγενες, ἄγε λέγε τίς ἔλαβέ σε μόρος ἐς Ἄϊδος. Δ. ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ. Ἔνιοι δέ φασι τελευτῶντα αὐτὸν ἐντείλασθαι ἄταφον ῥῖψαι ὡς πᾶν θηρίον αὐτοῦ μετάσχοι, ἢ εἴς γε βόθρον συνῶσαι καὶ ὀλίγην κόνιν ἐπαμῆσαι· οἱ δέ, εἰς τὸν Ἰλισσὸν ἐμβαλεῖν, ἵνα τοῖς ἀδελφοῖς χρήσιμος γένηται. Δημήτριος δ' ἐν τοῖς Ὁμωνύμοις φησὶ τῇς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένην δ' ἐν Κορίνθῳ τελευτῆσαι. Ἦν δὲ γέρων κατὰ τὴν τρίτην καὶ δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα. Suidas v. Διογένης· γηραιὸς δὲ ὢν ὑπὸ πειράτου Σκιρτάλου ἐλήφθη καὶ πραθεὶς ἐν Κορίνθῳ Ξενιάδῃ τινί, παρὰ τῷ πριαμένῳ διέμεινεν οὐχ ἑλόμενος λυθῆναι ὑπὸ τῶν Ἀθηναίων καὶ τῶν οἰκείων φίλων. Ἐπὶ δὲ τῆς ριγ' Ὀλυμπιάδος κατέστρεψε τὸν βίον δηχθεὶς ὑπὸ κυνὸς τὸ σκέλος καὶ θεραπείας ὑπεριδὼν κατὰ τὴν αὐτὴν ἡμέραν, ὅτε καὶ ὁ Μακεδὼν Ἀλέξανδρος ἐν Βαβυλῶνι ἀπέθανεν. Hieronymus lib. II adversus Jovinianum : Virtutem ejus et continentiam mors quoque indicat. Nam quum ad agonem Olympiæ, qui ma-

lam qualis suo in genere philosophus fuerit Diogenes, dicere longum est. Nam naturam humanam partim vincere, partim exuere tentavit, ion ut deus fieret, sed ut canis, quem se et esse rofitebatur (8) et nominari libenter patiebatur. es familiaris ei duplex pallium cum pera et baulo fuit, cubile terra vel dolium (9). Nulla re gebat, ideoque Alexandro roganti, ut diceret,

na frequentia Græciæ celebrabatur, jam senex pergeret, ebri in itinere dicitur apprehensus accubuisse in crepidine iæ, volentibusque eum amicis aut in jumentum aut in ehiculum tollere, non acquievit, sed transiens ad arboris mbram locutus est : Abite quæso et spectatum pergite, ec me nox aut victorem probabit aut victum. Si febrem icero, ad agonem veniam ; si me vicerit, ad inferna dectendam. Ibique per noctem, eliso gutture, non tam mori ait, quam febrem morte excludere. Athenæus lib. VIII g. 341 E : καὶ Διογένης δὲ ὁ κύων ὠμὸν πολύποδα καταφων ἐπιθεμένης αὐτῷ τῆς γαστρὸς ἀπέθανε. Lucianus vitt. auct. p. 10 sub persona Diogenis : καὶ τέλος, ἤν σοι δοκῇ, πολύποδα ὠμόν, ἢ σηπίαν φαγών, ἀπόθανε. Julianus orat. VI init. : λλὰ καὶ τὴν ἐδωδὴν τοῦ πολύποδος κωμῳδεῖ· καί φησι τὸν ιογένη τῆς ἀνοίας καὶ κενοδοξίας ἐκτετικέναι δίκας, ὥσπερ πὸ κωνείου, τῆς τροφῆς, διαφθαρέντα. Plutarchus in Aquæ ignis comparatione cap. 2, vol. XIII p. 126 : καὶ Διογένης ὁ κύων ἥκιστα προσεχρῆτο πυρί, ὥστε καὶ πολύποδα καταὠμόν· Οὕτως ὑπὲρ ὑμῶν, εἶπεν, ὦ ἄνδρες, παραβάλλομαι. Tatianus orat. ad Græcos init. : Διογένης πιθάκνης καυήματι τὴν αὐτάρκειαν σεμνυνόμενος, πολύποδος ὠμοβορίᾳ, άθει συσχεθεὶς ἰλεῷ, διὰ τὴν ἀκρασίαν ἀποτέθνηκεν. Sotades pud Stobæum Floril. XCVIII, 9 : πουλύποδα φαγὼν ὁ Διογένης ὠμὸν τέθνηκεν. Ælianus var. hist. lib. VIII cap. 14 : ιογένης ὁ Σινωπεύς, ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν έρων μόγις ἔρριψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος, αὶ προσέταξε τῷ παλαιστροφύλακι, ἐπειδὰν αἴσθηται ἀποπενευκότα αὐτόν, ῥῖψαι εἰς τὸν Ἰλισσόν. Οὕτως ἄρα ὀλίγου μελε Διογένει καὶ θανάτου καὶ ταφῆς. — (8) Diogenes Laertius lib. VI, 33 : ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, λλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν. Quapropter etiam canis marmoreus in Diogenis tumulo positus fuit teste Laertio VI, 78. Vid. annot. 7. In unc incerti poetæ epigramma est, insertum Anthologiæ b. III. Sunt autem versus græci : Εἰπέ, κύον, τίνος ἀνδρὸς ῆστὸς σῆμα φυλάσσεις; Τοῦ Κυνός. Ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ κύων; Διογένης. Γένος εἰπέ. Σινωπεύς· ὃς πίθον ᾤκει. Καὶ ἄλα· νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει. Quos sic imitatus est usonius : Dic, Canis, hic cujus Tumulus? Canis. At Canis ic quis? Diogenes. Obiit? Non obiit, sed abit Diogenes ; ui pera penus ; cui dolia sedes. Ad manes abiit? Cerberus e vetat. Quonam igitur? Clari flagrat qua stella Leonis, dditus est justæ nunc Canis Erigonæ. — (9) Diogenes aertius lib. VI, 22-23 : τρίβωνα διπλώσας πρῶτος κατά τινας ὰ τὸ ἀνάγκην ἔχειν καὶ ἐνεύδειν αὐτῷ, πήραν τ' ἐκομίσατο, θα αὐτῷ τὰ σιτία ἦν, καὶ παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ριστῶν τε καὶ καθεύδων καὶ διαλεγόμενος. Ὅτε καὶ τοὺς θηναίους ἔφασκε, δεικνὺς τὴν τοῦ Διὸς στοὰν καὶ τὸ πομεῖον, αὐτῷ κατεσκευακέναι ἐνδιαιτᾶσθαι. Βακτηρίᾳ δ' ἐπετηρίζετο ἀσθενήσας· ἔπειτα μέντοι καὶ διὰ παντὸς ἐφόρει, οὐ ἦν ἐν ἄστει, ἀλλὰ καθ' ὁδὸν αὐτῇ τε καὶ τῇ πήρᾳ, καθά φησιν Ἀθηνόδωρος ὁ Ἀθηναίων προστατήσας καὶ Πολύευκτος ὁ ήτωρ καὶ Λυσανίας ὁ Αἰσχρίωνος. Ἐπιστεῖλας δέ τινι οἰκίδιον ὐτῷ προνοήσασθαι, βραδύνοντος, τὸν ἐν τῷ Μητρῴῳ πίθον σχεν οἰκίαν, ὡς καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς διασαφεῖ. Καὶ έρους μὲν ἐπὶ ψάμμου ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δ' ἀνδριάν-

si quid opus esset, *Nunc quidem paullulum*, inquit, *a sole* (10). Offecerat videlicet apricanti. Quocirca disputare solebat, quanto regem Persarum vita fortunaque superaret : sibi nihil deesse, illi nihil satis unquam fore ; se ejus voluptates non desiderare, quibus nunquam satiari ille posset, suas eum consequi nullo modo posse. Deorum naturam aperte sustulit (11), affirmans Harpalum qui temporibus illis prædo felix habebatur, contra deos testimonium dicere, quod in illa fortuna tam diu viveret. Itaque etiam volentibus Atheniensibus (12) eum mysteriis ini-

τας κεχιονισμένους περιελάμβανε, πανταχόθεν ἑαυτὸν συνασκῶν. Hieronymus contra Jovinianum lib. II : Refert Satyrus, qui illustrium virorum scripsit historiam, quod Diogenes palliolo duplici usus sit propter frigus. Origenes contra Celsum lib. II ἀλλὰ καὶ Διογένης δι' ὑπερβάλλουσαν εὐτέλειαν πίθον ᾤκει, καὶ παρ' οὐδενὶ τῶν νοῦν ἐχόντων κἂν μέτριον, τούτου γε χάριν, Διογένης ἐν κακοῖς ἦν. Diogenianus IV, 38 : ζωὴ πίθου· ἐπὶ τῶν ἐπιεικῶς καὶ μετρίως καὶ ἀπραγμόνως βιούντων, ἀπὸ Διογένους, ᾧ πίθος ἡδίστη διαγωγή. Suidas v. ζεῖ χύτρα, ζῇ φιλία· ζωὴ πίθου· ἐπὶ τῶν μετρίως καὶ ταπεινῶς ζώντων, ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἦν ἡ ἡδίστη καταγωγή. Juvenalis Sat. XIV, 308 seqq. : dolia nudi Non ardent Cynici : si fregeris, altera fiet Cras domus, aut eadem plumbo commissa manebit. Sensit Alexander, testa cum vidit in illa Magnum habitatorem : quanto felicior hic qui Nil cuperet, quam qui totum sibi posceret orbem, Passurus gestis æquanda pericula rebus. Lucianus in libello Quomodo scribenda sit historia : ὁ δὴ Διογένης ὁρῶν ταῦτα, ἐπεὶ μηδὲν εἶχεν ὅ, τι καὶ πράττοι, οὐδεὶς γὰρ αὐτῷ ἐς οὐδὲν ἐχρῆτο, διαζωσάμενος τὸ τριβώνιον, σπουδῇ μάλα καὶ αὐτὸς ἐκύλιε τὸν πίθον, ἐν ᾧ ἐτύγχανεν οἰκῶν, ἄνω καὶ κάτω τοῦ Κρανείου. Καί τινος τῶν συνήθων ἐρομένου, Τί ταῦτα ποιεῖς ὦ Διόγενες; Κυλίω, ἔφη, κἀγὼ τὸν πίθον, ὡς μὴ μόνος ἀργεῖν δοκοίην ἐν τοσούτοις ἐργαζομένοις. Seneca epist. XC, 11 : Quomodo, oro te, convenit, ut Diogenem mireris et Dædalum? Uter ex his sapiens tibi videtur? qui serram commentus est, an ille qui quum vidisset puerum cava manu bibentem aquam, fregit protinus exemtum e perula calicem hac objurgatione sui : Quamdiu homo stultus supervacuas sarcinulas habui! qui se complicuit in dolio, et in eo cubitavit? — (10) Cicero Tuscul. lib. V, 32. Similiter Plutarchus vit. Alexandri cap. XIV : εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. Πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ, καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένη τὸν Σινωπέα ταὐτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. Ὡς δ' ἐκεῖνος, ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων, ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. Ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ, καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον· ὡς δ' ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν, εἴ τινος τυγχάνει δεόμενος· Μικρόν, εἶπεν, ἀπὸ τοῦ ἡλίου μετάστηθι. Ἱρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρός, ὥστε τῶν περὶ αὐτόν, ὡς ἀπῄεσαν, διαγελώντων καὶ σκωπτόντων· Ἀλλὰ μὴν ἐγώ, εἰπεῖν, εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. Adde Diog. Laert. VI, 38 (fragm. 114) ; Simplic. ad Epictet. cap. 21 p. 123 ed. Salmas ; Valer. Max. IV, 3 ; Anton. et Maxim. serm. de fortuna prospera et adversa (fragm. 275). — (11) Cicero de nat. deor. III, 34. — (12) Vid. fragm. 120.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

tiari credentibusque eos qui illa tenerent apud inferos ad principatum pervenire : *Ridiculum est*, inquit, *Agesilaum et Epaminondam in luto volutatum iri, humiles autem homines nescio quos initiatos in beatorum insulis futuros esse.*

De sepultura idem fertur sensisse, quod Socrates (13) qui se ostendit de toto hoc genere nihil laborare. Verum durior fuit Diogenes, qui ut Cynicus asperius, se projici jussit inhumatum. Tum amici, *Volucribusne et feris? Minime vero*, inquit, *sed bacillum propter me, quo abigam, ponitote. Quî poteris?* illi; *non enim senties. Quid igitur mihi ferarum laniatus oberit nihil sentienti?* Plura ejus scripta a veteribus memorantur (14), dialogi, Cephalion, Ichthyas, Graculus, Pardus, Populus Atheniensium, Respublica, Morum doctrina, de divitiis, Amatorius, Theodorus, Hypsias, Aristarchus, de morte; Epistolæ; tragœdiæ septem (15), Helena, Thyestes, Hercules, Achilles, Medea, Chrysippus, Œdipus. At Sosicrates in primo Successionis et Satyrus in quarto de Vitis nihil eorum Diogenis esse affirmabant : tragœdias autem ajebat Satyrus Philisci Æginetæ esse, Diogenis discipuli. Sotion denique in septimo hæc sola Diogenis esse contendebat : de virtute, de bono, Amatorium, Mendicum, Tolmæum, Pardum, Cassandrum, Cephalionem, Philiscum, Aristarchum, Sisyphum, Ganymedem, Sententias, Epistolas. Cæterum quæ exstant ejus fragmenta post Orellium Opusc. vet. Græc. sent. et mor. tom. II diligenter studio meo collecta, recensita et latine versa jam subjiciam.

— (13) Cicero Tuscul. I. 43. — (14) Diogenes Laertius lib. VI, 80 : φέρεται δ' αὐτοῦ βιβλία τάδε· διάλογοι, Κεφαλίων, Ἰχθύας, Κολοιός, Πάρδαλις, Δῆμος Ἀθηναίων, Πολιτεία, Τέχνη ἠθική, Περὶ πλούτου, Ἐρωτικός, Θεόδωρος, Ὕψιας, Ἀρίσταρχος, Περὶ θανάτου. Ἐπιστολαί, τραγῳδίαι ἑπτά, Ἑλένη, Θυέστης, Ἡρακλῆς, Ἀχιλλεύς, Μήδεια, Χρύσιππος, Οἰδίπους. Σωσικράτης δ' ἐν τῷ πρώτῳ τῆς διαδοχῆς καὶ Σάτυρος ἐν τῷ τετάρτῳ τῶν βίων οὐδὲν εἶναι Διογένους φασί· τά τε τραγῳδιὰ φησιν ὁ Σάτυρος Φιλίσκου εἶναι τοῦ Αἰγινήτου, γνωρίμου τοῦ Διογένους. Σωτίων δ' ἐν τῷ ἑβδόμῳ ταῦτα μόνα φησὶν Διογένους εἶναι, Περὶ ἀρετῆς, Περὶ ἀγαθοῦ, Ἐρωτικόν, Πτωχόν, Τολμαῖον, Πάρδαλιν, Κάσσανδρον, Κεφαλίωνα, Φιλίσκον, Ἀρίσταρχον, Σίσυφον, Γανυμήδην, Χρείας, Ἐπιστολάς. — (15) Vid. Poet. tragic. Græc. Fragmenta p. 103 Didot.

ΔΙΟΓΕΝΟΥΣ

ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

α'. ΤΩΝ ΔΙΑΤΡΙΒΩΝ ΛΕΙΨΑΝΑ.

1. Πάντα μὲν οὖν τὰ δεινὰ πέφυκε μᾶλλον ἐκπλήττειν τοὺς προσδεχομένους ἢ λυπεῖν τοὺς πειραθέντας. ὁ δὲ φόβος οὕτω χαλεπός ἐστιν, ὥστε πολλοὶ ἤδη ῥᾴδιον τὸ ἔργον, οἱ μὲν ἐν νηὶ χειμαζόμενοι οὐ περιμείναντες καταδῦναι τὴν ναῦν, ἀλλὰ πρότερον αὐτοὺς διασφάξαντες....

(Stobæus Floril. VIII, 15.)

2. Ἡ τοίνυν δικαιοσύνη πολλὴν ἔχει ῥᾳστώνην τῇ ζωῇ. Τὸ γὰρ μηδένα μήτε φοβούμενον μήτε αἰσχυνόμενον ζῆν, ἡδονή τις ἐστι καὶ ἱκανότης τῷ βίῳ. Ὁ τὴν δικαιοσύνην ἔχων ἐν τῇ ψυχῇ οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμός ἐστιν, ἀλλὰ πολὺ μάλιστα αὐτὸς ἑαυτῷ. Οὐ γὰρ πειράσεται αὐτὸν ἀδικεῖν οὐδὲ καθ' ἕνα μέρος. Οὐδὲ γὰρ λύπης αὑτῷ αἴτιός ἐστιν οὐδὲ φόβου, ἀλλὰ τὰ αἰσθητήρια τὰ τῆς φύσεως θεοὺς ὑπομιμνήσκων εἶναι, δικαίως χρήσεται αὐτοῖς, οὐδὲν μὲν παρὰ τὴν δύναμιν πράττων, φυλάττων δὲ τὰ μάλιστα, ἐκ τούτων ἡδονὰς καὶ ὠφελείας λαμβάνων διὰ τούτων. Καὶ ὁ ἀπὸ ἀκοῆς καὶ ἀπὸ ὁράσεως καὶ ἀπὸ τῆς τροφῆς καὶ ἀπὸ τῶν ἀφροδισίων ἡδοναὶ ἔσονται τῷ δικαίως χρωμένῳ· τῷ δὲ μὴ δικαίως ἑαυτῷ χρωμένῳ καὶ κίνδυνοι γίνονται περὶ τὰ πλείστου ἄξια καὶ ἀναγκαιότατα. Ἢ οὐχ ἑώρακας τὴν ψυχὴν ταραττομένους καὶ νυκτὸς καὶ ἡμέρας, καὶ εἰς τὴν θάλασσαν ἑαυτοὺς ῥιπτοῦντας εἰκῇ καὶ εἰς ῥεῖθρα.

(Stobæus Floril. IX, 49. Posui in fine hujus loci ῥεῖθρα; codd. partim ῥέεθρα, partim ἑταίραν vel ἑτέραν.)

3. Ὥσπερ οὖν τοῦ Ποντικοῦ μέλιτος γεύσασθαι ἐπιχειροῦσιν οἱ ἄπειροι, γευσάμενοι δὲ παραχρῆμα ἐξέπτυσαν, δυσχεράναντες ὅτι πικρόν ἐστι καὶ ἀηδές· οὕτω καὶ τοῦ Διογένους ἀποπειρᾶσθαι μὲν ἤθελον διὰ πολυπραγμοσύνην, ἐλεγχόμενοι δὲ ἀπεστρέφοντο καὶ ἔφευγον. Καὶ ἄλλων μὲν ἥδοντο λοιδορουμένων, αὐτοὶ δὲ ἐφοβοῦντο καὶ ἀνεχώρουν. Καὶ εἰ μὲν ἔσκωπτε καὶ ἔπαιζεν, ὥσπερ εἰώθει, ὑπερφυῶς ἔχαιρον, ἀνατεινομένου δὲ καὶ σπουδάζοντος οὐχ ὑπέμενον τὴν παῤῥησίαν.

(Stobæus Floril. XIII, 18.)

4. Ἐπεὶ αὐτόν γε τὸν Ἀντισθένην παραβάλλων πρὸς τοὺς λόγους ἐνίοτε ἤλεγχεν ὡς πολὺ μαλακώτερον καὶ ἔφη αὐτὸν εἶναι σάλπιγγα λοιδορῶν, αὐτοῦ γὰρ οὐκ ἀκούειν φθεγγομένου μέγιστον· καὶ Ἀντισθένης ἀμυνόμενος ἀντὶ τῆς σάλπιγγος ἔλεγε ταῖς σφηξὶν ὅμοιον αὐτὸν εἶναι· καὶ γὰρ τῶν σφηκῶν τὸν μὲν ψόφον τῶν

DIOGENIS

FRAGMENTA.

1. DISPUTATIONUM RELIQUIÆ.

1. Omnia sane mala magis terrere solent eos qui ipsa spectant, quam præsentia et usu cognita molestiam iis libere. At formido tam acris est, ut multi rem quam timent ipsi jam anticipent, verbi gratia, qui in navi tempestate vexati, non exspectata navis submersione, sibi mortem sibi consciscunt.

2. Itaque justitia magnam affert animo tranquillitatem. Nam si neminem nec timentem nec erubescentem vivere videmus, ea res nobis voluptati est vitamque fortunat. Rursum qui justitiam animo complectitur non modo bonæ hominum parti, sed longe plurimum sibi ipsi prodest. Nemo enim lædere se ipsum ulla ex parte conabitur. Etenim neque ægritudinis sibi neque morbi auctor erit, sed naturalia sensuum instrumenta deos esse existimans, juste utetur, maximeque cavens ne quid supra ipsorum vires agat, voluptatem utilitatemque ex iis capiet. Etenim ex cibitu, visu, alimentis, rebus venereis voluptates percipit qui se ipso juste usus fuerit; qui autem se ipso non juste usus fuerit, illi etiam pericula circa res gravissimas maximeque necessarias impendent. Nonne vidisti homines noctes atque dies animo perturbatos in mare fluviosque tandem temere se abjecisse?

3. Ut igitur ignari mel Ponticum gustare tentant, gustatum tanquam amarum et insuave, quia tædio ejus afficiuntur, confestim exspuunt : sic etiam curiosi quidam homines Diogenis periculum facere volebant, quum autem ab eo reprehenderentur, statim digressi fugiebant. Ac maledictis quidem in alios collatis delectabantur, sibi vero ipsis metuentes recedebant. Nam si more suo sales in alios effunderet jocisque uteretur, vehementer lætabantur; at liberiorem minantis et serio dicentis sermonem non sustinebant.

4. Quum ipsum Antisthenem sermonibus ejus comparans interdum tanquam multo quam par esset molliorem reprehenderet, eumque objurgantis more tubam esse diceret, quia se ipsum licet maxima voce loquentem non audiret : Antisthenes vicissim injuriam defendens affirmabat, se non tubæ, sed vespis similem esse, propterea quod vespæ exiguum pennis sonum ederent, aculeis autem

πτερῶν εἶναι μικρόν, τὸ δὲ κέντρον δριμύτατον. Ἔχαιρεν οὖν τῇ παῤῥησίᾳ τοῦ Διογένους.

(Stobæus Floril. XIII, 19 Conf. Antisthenis fragm. 80, et dissertat. de Antisth. adn. 58. —)

5. Δοκεῖ δὲ τοῖς μὲν εὖ πράττουσι τῶν ἀνθρώπων ὁ μὲν βίος ἀμείνων, ὁ δὲ θάνατος διὰ τοῦτο λυπηρότερος· οἱ δ' αὖ κακῶς ζῶντες τὸν μὲν βίον δυσχερέστερον φέρουσι, τὸν δὲ θάνατον ἥδιον προσδέχονται. Τοῖς δὲ τυράννοις ἀμφότερα ταῦτα χαλεπώτερα ἢ τοῖς ἄλλοις· ζῶσι μὲν γὰρ πολὺ ἀηδέστερον τῶν πάνυ ἐπιθυμούντων τεθνάναι, τὸν δὲ θάνατον οὕτω δεδοίκασιν, ὡς ἥδιστα διάγοντες ἐν τῷ βίῳ.

(Stobæus Floril. XLIX, 27. Cf. Dio Chrysostomus p. 95.)

β'. ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ ΕΚ ΔΙΑΦΟΡΩΝ ΣΥΝΕΙΛΕΓΜΕΝΑ.

6. Πυνθανομένου τινὸς πῶς ἄν τις ἑαυτοῦ γένοιτο, Εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, ἔφη, καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα.

(Stobæus Floril. I, 32.)

7. Ὀνειδίσαντος αὐτῷ τινος, ὡς εἰς ἀκαθάρτους τόπους εἰσέρχεται, ἔφη· Καὶ ὁ ἥλιος, ἀλλ' οὐ μιαίνεται.

(Antonius et Maximus Serm. de vitæ virtute et vitio p. 35.)

8. Ἡμέρας ποτὲ λύχνον ἅψας περιήει· πυνθανομένων δέ τινων, πρὸς τί τοῦτο; ἔλεγεν, Ἄνθρωπον ζητεῖν.

(Antonius et Maximus Serm. malitiam esse facilem p. 39.)

9. Διογένης ἐνουθέτει τινὰ πονηρόν· ἐρωτώμενος δὲ ὑπό τινος, τί τοῦτο ποιεῖς; ἔφη· Αἰθίοπα σμήχω, ἵνα λευκὸν ποιήσω.

(Antonius et Maximus Serm. de hominibus malis p. 64.)

10. Οἱ μὲν ἰατροὶ τὰς τῶν ἐκλεικτῶν φαρμάκων πικρίας μέλιτι, οἱ δὲ σοφοὶ τὰς τῶν δυσκολωτέρων ἀνθρώπων δμιλίας ἱλαρότητι γλυκαίνουσιν.

(Antonius et Maximus Serm. de hominibus malis p. 64.)

11. Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι, ὁ δέ· Ἀνόητος μὲν οὐκ εἰμί, τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω.

(Stobæus Floril. III, 62.)

12. Πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος, τί ἐπίστασαι; Ἀνθρώπων, ἔφη, ἄρχειν. Καὶ ὁ κήρυξ γελάσας· Μέγα ἐπιτήδευμα πωλῶ, εἴ τις θέλει πρίασθαι κύριον.

(Stobæus Floril. III, 63. Idem narrat Diogenes Laertius lib. VI, 29 : φησὶ δὲ Μένιππος ἐν τῇ Διογένους πράσει, ὡς ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν; ἀπεκρίνατο· Ἀνδρῶν ἄρχειν. Καὶ πρὸς τὸν κήρυκα, Κήρυσσε, ἔφη, εἴ τις ἐθέλει δεσπότην αὐτῷ πρίασθαι. Κωλυθεὶς καθίζεσθαι, Οὐδέν, ἔφη, διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι.)

13. Ἐπεὶ δὲ ἐν τῇ στοᾷ ἀνάπαλιν περιπατοῦντας αὐτοῦ ἐγέλων τινές, Εἶτ' οὐκ αἰσχύνεσθε, εἶπεν, ὑμεῖς τὴν ἐν τῷ βίῳ ὁδὸν ἀνάπαλιν πορευόμενοι, ἐμοῦ τὴν ἐν τῷ περιπατεῖν κατεγνωκότες;

(Stobæus Floril. IV, 84.)

14. Διογένης ἔλεγε τοὺς ἀνθρώπους τὰ μὲν πρὸς τὸ ζῆν πορίζεσθαι, τὰ δὲ πρὸς τὸ εὖ ζῆν οὐ πορίζεσθαι.

---

acerrime pungerent. Delectabatur igitur liberiore Diogenis sermone.

5. Hominibus fortunatis vita videtur esse melior ideoque mors molestior : infortunati contra vitam ægrius ferunt, mortem libentius obeunt. Tyrannis autem utrumque difficilius est quam reliquis : vivunt enim multo injucundius quam illi qui mori vehementer cupiunt, mortem vero tam timent, quam qui suavissimam vitam degunt.

2. SENTENTIÆ ET APOPHTHEGMATA EX DIVERSIS SCRIPTORIBUS COLLECTA.

6. Sciscitante quodam, quo pacto quis sui juris esse posset, respondit : Si ea in quibus alios reprehenderet, etiam sibi potissimum objectaret.

7. Quum ei quidam objiceret, quod loca impura intraret, Etiam sol, inquit, intrat nec contaminatur.

8. Lucerna aliquando interdiu accensa deambulabat, et quibusdam quærentibus, cur hoc faceret, respondit, se quærere hominem.

9. Diogenes improbum quendam hominem monebat; interrogatus autem, quamobrem tandem hoc faceret, *Æthiopem*, inquit, *detergo, ut candidum reddam.*

10. Quemadmodum medici medicamentorum quæ delinguntur amaritudinem melle dulcem reddunt : sic sapientes difficiliorum hominum congressiones hilaritate molliunt.

11. Diogenem quidam dementem vocabat; tum ille : *Demens quidem non sum, non tamen mihi eadem quæ vobis mens est.*

12. Idem quum Corinthi venderetur, interrogante præcone, quidnam sciret, respondit, *hominibus imperare.* Risit præco et *Magnum*, inquit, *vitæ institutum vendo, si quis dominum emere velit.*

13. Quum in porticu retrorsum incederet, ridentibus nonnullis : *Non vos*, inquit, *pudet vitæ viam retrogradiendo conficere, mihi vero quod in ambulatione tantum id faciam, exprobrare.*

14. Diogenes dicebat homines quæ ad usum vitæ pertinerent sibi acquirere, quæ vero ad bene beateque vivendum referrentur, non comparare.

(Stobæus Floril. IV, 86.)

15. Διογένης ἔλεγε διαπαλαίοντας μὲν πολλοὺς ὁρᾶν καὶ διατρέχοντας, διακαλοκαγαθιζομένους δὲ οὔ.

(Stobæus Floril. IV, 112. Cf. Diog. Laert. VI, 5. Adde Abresch. Dilucidat. Thucyd. pag. 457.)

16. Δεινὸν ἔλεγεν ὁ Διογένης, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν, οἱ δὲ ἕνεκα τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος· σωφροσύνης δ' ἕνεκα οὐδεὶς τούτων καταφρονήσει.

(Stobæus Floril. V, 41 Διογένους.)

17. Διογένης τοὺς πολλοὺς ἔφασκε ζῶντας μὲν αὐτοὺς σήπειν λουτροῖς τέγγοντας καὶ ἀφροδισίοις χοντας, ἀποθνήκοντας δ' ἐν θυμιάμασι τὸ σῶμα κεύειν ἀποτίθεσθαι, τοὺς δ' ἐν μέλιτι, ὑπὲρ τοῦ μὴ χέως κατασαπῆναι.

(Stobæus Floril. VI, 3 Διογένους.)

18. Διογένης ἔλεγε τῶν οἴκων, ἔνθα πλείστη τροφή, λλοὺς μῦς εἶναι καὶ γαλᾶς· καὶ δὴ σώματα τὰ λλὴν τροφὴν δεχόμενα καὶ νόσους πολλὰς ἐφέλκεται.

(Stobæus Floril. VI, 4 Διογένους.)

19. Διογένης πρός τινα νέον περιττῶς καλλωπιζόμενον· Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἶπεν, εἰ δὲ πρὸς ναῖκας, ἀδικεῖς.

(Stobæus Floril. VI, 5 Διογένους. Cf. Diog. Laert. VI, 54.)

20. Διογένης κατεγέλα τῶν τὰ μὲν ταμιεῖα καταηκαινομένων μοχλοῖς καὶ κλεισὶ καὶ σημάντροις, τὸ δὲ στόμα τὸ αὑτῶν πολλαῖς θυρίσι καὶ θύραις ἀνοίγντων διά τε στόματος καὶ αἰδοίων καὶ ὤτων καὶ φθαλμῶν.

(Stobæus Floril. VI, 33 ἐκ τῶν Σερήνου.)

21. Διογένης παρὰ μὲν τῶν θεῶν, φησίν, ὑγίειαν εὔχονται· πάντα δὲ οἱ πλεῖστοι τἀναντία τῇ ὑγιείᾳ πράττουσιν.

(Stobæus Floril. VI, 38 Διογένους.)

22. Διογένης οὐδὲν εὐωνότερον εἶναι μοιχοῦ διωρίζετο τὴν ψυχὴν τῶν δραχμῆς ὠνίων προϊεμένου.

(Stobæus Floril. VI, 52 Διογένους. Conf. Antisth. fragm. 94.)

23. Διογένης ἐσθίειν ἔλεγε τοὺς ἀνθρώπους τοῦ ἥδεσθαι ἕνεκα, ἀποπαύεσθαι δὲ αὐτοῦ τούτου χάριν μὴ ἐθέλειν.

(Stobæus Floril. VI, 53 τοῦ αὐτοῦ.)

24. Ὁ Διογένης καθαρὸν λαβὼν ἄρτον, ἐξέβαλε τῆς πήρας τὸν αὐτόπυρον, εἰπών· Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο.

(Stobæus Floril. XVII, 16 Διογένους. Versus est apud Euripidem Phœn. est. 40. Aliter Diogenes Laertius lib. VI, 55 : ἀριστῶν ἐλάας, πλακοῦντος εἰσενεχθέντος, ῥίψας φησίν· ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο, ubi vid. Menag. Qualis fuerit ἄρτος αὐτόπυρος vel αὐτοπυρίτης, exponit Celsus De medic. lib. II cap. 18. Hunc autem Cynicorum fuisse intelligimus ex Lucian. Piscat. cap. 45, ubi Philosophia dicit : οἱ ὑπηρέται ἀνέλεσθε τὴν πήραν, ἣν ὁ Κυνίσκος ἀπέῤῥιψεν ἐν τῇ τροπῇ· φέρ' ἴδω τί καὶ ἔχει, ἤπου θέρμους, ἢ βιβλίον, ἢ ἄρτους τῶν αὐτοπυριτῶν. Interpres græcus : αὐτοπυρίτης ἄρτος ὁ λιτὸς καὶ σχεδίως ὠπτημένος, ἢ πρὸς ἥλιον, ἢ καὶ τῇ σποδιᾷ, ὃν καὶ ἐγκρυφίαν φαμέν.)

25. Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη ἱστάντας· Ὦ μοχθηροί, εἶπε, μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ' αὐτῶν στησομένων.

(Stobæus Floril. VII, 47 Διογένους.)

26. Διογένης οὐδένα καλὸν ἔφησεν εἶναι πόνον, οὗ

---

15. Diogenes ajebat, se multos quidem videre colluctantes m aliis et cursu contendentes, nullos autem, qui honeate morumque bonitate certarent.

16. Absurdum esse dicebat Diogenes, athletas et cithaedos ventri ac voluptatibus imperare, hos vocis, illos rporis gratia : propter temperantiam vero neminem ista ntemnere.

17. Diogenes affirmabat, plerosque vivos quidem se ipsos trefacere, quia balneis se humectarent et rebus venereis nsumerent, morientes autem demum quosdam jubere rpus in suffimentis recondi, alios in melle, ne cito puescerent.

18. Diogenes ajebat, earum domorum, in quibus alimenti pia foret, multos esse mures et mustelas : ideoque etiam rpora quæ multum sibi sumerent multos quoque morbos ntrahere.

19. Diogenes juveni cuidam ultra modum se comenti : *quidem*, inquit, *viris, frustra laboras; sin mulieribus, ineptis.*

20. Diogenes irridebat eos qui cellas quidem promtuarias pessulis occludunt, obserant, denique signis obsignant, corpus autem suum multis fenestris et januis aperiunt per os et pudenda et aures et oculos.

21. Diogenes, *A diis quidem*, ait, *sanitatem precantur : omnia autem plerique, quæ contraria sunt valetudini, faciunt.*

22. Diogenes nihil vilius adultero esse declaravit, qui animam profundit ob res drachma venales.

23. Diogenes dicebat, edere homines, ut voluptati indulgerent, nolle autem ob eam ipsam rem desinere.

24. Diogenes panem candidum nactus e pera cibarium ejecit, hunc versum proloquens : *Hospes, tyrannis de via decedito.*

25. Diogenes videns Megarenses longos muros exstruere : *O miseri*, inquit, *nolite murorum altitudini prospicere, sed iis qui super muros consistent.*

26. Diogenes nullum esse bonum laborem contendit,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὴ τέλος εἴη εὐψυχία καὶ τόνος ψυχῆς, ἀλλ' οὐχὶ σώματος.

(Stobæus Floril. VII, 18 Διογένους.)

27. Διογένης ὠμοίου τοὺς φιλαργύρους τοῖς ὑδρωπικοῖς· ἐκείνους μὲν γὰρ πλήρεις ὄντας ἀργυρίου ἐπιθυμεῖν πλείονος, τούτους δὲ ὕδατος, ἀμφοτέρους δὲ πρὸς κακοῦ. Ἐπιτείνεσθαι γὰρ μᾶλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα πορίζεται.

(Stobæus Floril. X, 46 Διογένους.)

28. Διογένης ὁ κύων θεασάμενός τινα πλουσίας γραίας προσποιούμενον ἐρᾶν, ἔφη· Ταύτῃ οὐ τὸν ὀφθαλμόν, ἀλλὰ τὸν ὀδόντα ἐπιβέβληκε.

(Stobæus Floril. X, 61 Διογένους.)

29. Διογένης τοὺς μεγάλα καὶ ἀθρόα λαμβάνοντας μεγαλοπτώχους ἐκάλει.

(Stobæus Floril. X, 63 Διογένους.)

30. Διογένης ἐρωτηθείς, ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν· Ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.

(Antonius et Maximus Serm. de lucri cupiditate p. 226. Similiter Diogenes Laertius lib. VI, 51 ἐρωτηθείς, τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη· Τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δ' ἡμέρων κόλαξ.)

31. Διογένης ὁ Κυνικὸς φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη· Ὅτι πολλοὺς ἐπιβούλους ἔχει.

(Antonius Serm. de avaritia p. 127.)

32. Τὴν ἐπιτίμησιν ὁ Διογένης ἀλλότριον ἀγαθὸν ἔλεγεν εἶναι.

(Antonius et Maximus pag. 250.)

33. Ὁ Διογένης ἔλεγεν, ὅτι οἱ μὲν ἄλλοι κύνες τοὺς ἐχθροὺς δάκνουσιν· ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

(Antonius et Maximus pag. 250.)

34. Διογένης ἤρετο Πλάτωνα, εἰ Νόμους γράφει· ὁ δὲ ἔφη· « Τί δαί; Πολιτείαν ἔγραψας; Πάνυ μὲν οὖν. Τί οὖν, ἡ πολιτεία νόμους οὐκ εἶχεν; Εἶχεν. Τί οὖν ἔδει σε πάλιν Νόμους γράφειν; »

(Antonius et Maximus p. 250.)

35. Εἰ μὲν οὖν ὀρθῶς ἐπὶ Πλάτωνος εἶπε Διογένης· Τί δὲ ὄφελος ἡμῖν ἀνδρός, ὃς πολὺν ἤδη χρόνον φιλοσοφῶν οὐδένα λελύπηκεν; ἕτεροι κρίνωσιν. Ἴσως γὰρ ἐνόμιζεν, ὡς δεῖ τὸν λόγον τοῦ φιλοσόφου τὸ γλυκὺ δηκτικὸν ἔχειν τῶν ἡλκωμένων.

(Antonius et Maximus p. 251. Cf. Themist. in libr. de anima pag. 13. Scripsi ἴσως γὰρ ἐνόμιζεν ὡς δεῖ pro codicum lectione ἴσως γὰρ ὡς τὸ μὲν δεῖ. Præterea ἔχει mutavi in ἔχειν.)

36. Νεκρὸν ἰατρεύειν, καὶ γέροντα νουθετεῖν, ταὐτόν ἐστι.

(Antonius et Maximus Serm. de admonitione pag. 254.)

37. Λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη· Σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σου ἐπαινῶ, ὅτι κακὸν ἔξω φυγον κρανίον.

(Antonius et Maximus Serm. de vituperatione et calumnia p. 260. Pro membranarum lectione κράνεον substitui κρανίον.)

38. Προδότου τινὸς κακῶς αὐτὸν λέγοντος, ἔφη· Χαίρω ἐχθρός σου γενόμενος· σὺ γὰρ οὐ τοὺς ἐχθρούς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

(Antonius et Maximus Serm. de vitup. et cal. p. 260.)

39. Διογένης πρὸς τὸν λοιδορούμενον αὐτῷ· Ἀλλ' οὐκ

---

cujus finis non foret magnanimitas et animi robur, non autem corporis vires.

27. Diogenes homines avaros hydropicis comparabat: illos enim argento plenos, hos autem aqua refertos plus desiderare, idque utrosque cum sua pernicie. Namque animi affectiones ipsis eo magis intendi, quo magis votorum suorum compotes fierent.

28. Diogenes Cynicus conspicatus quendam qui se divitem anum amare simularet: *Ad hanc*, inquit, *non oculum, sed dentem adjecit.*

29. Diogenes magna et multa simul accipientes perpauperes appellabat.

30. Diogenes interrogatus, quænam essent immanissimæ belluæ, respondit: *In montibus ursi et leones, in civitatibus vero publicani et delatores.*

31. Diogenes Cynicus philosophus rogatus a quodam, cur aurum palleret, respondit: *quia insidiatores multos habet.*

32. Reprehensionem Diogenes alienum bonum esse dicebat.

33. Diogenes ajebat: *Canes quidem cæteri inimicos mordent: ego vero amicos, ut incolumes servem.*

34. Diogenes interrogabat Platonem, num Leges scriberet. Annuebat ille. Quid ita? scripsistine Rempublicam? Sane. Quid igitur? ea respublica legibus non erat temperata? Erat. Quid igitur te denuo Leges scribere attinuit?

35. Rectene de Platone sic pronuntiaverit Diogenes: *Quid nobis prodest vir, qui diu jam philosophatus nemini molestiam attulit?* aliorum esto judicium. Fortasse existimabat philosophi orationem debere ea dulcedine esse temperatam, quæ exulceratos morderet.

36. Sanare mortuum et senem monere, idem est.

37. Maledictis a calvo vexatus: *Tibi quidem*, inquit, *injuriam non facio, capillos autem laudo tuos qui malum caput fugientes defluxerint.*

38. Quum a proditore contumeliis lacerareturi: *Gaudeo*, inquit, *quod tecum inimicitiam suscepi; tu enim non inimicis, sed amicis malum affers.*

39. Diogenes conviciatori cuidam: *Non magis*, inquit,

ἐμοί, ἔφη, πιστεύει τις εὐφημοῦντι σέ, οὔτε σοὶ ἐμὲ βλασφημοῦντι.

(Antonius et Maximus Serm. de obloquentibus p. 262.)

40. Διογένης ἄσωτον ἤτει μνᾶν· τοῦ δὲ εἰπόντος, τί τοὺς ἄλλους τριώβολα, ἐμὲ δὲ μνᾶν αἰτεῖς; ἔφη· Παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν λαβεῖν, παρὰ δὲ σοῦ οὐκέτι.

(Stobæus Floril. XV, 9 Διογένους. Idem narrant Diogenes Laertius lib. VI, 67 et Antonius Melissa serm. de prodigalitate p. 264 ed. Wechel.)

41. Ἀλέξανδρος ὁ βασιλεὺς πληρώσας ποτὲ ὀστέων σπυρίδα, ἔπεμψε Διογένει τῷ Κυνικῷ φιλοσόφῳ. Ὁ δὲ ἀθρόων εἶπεν· Κυνικὸν μὲν τὸ βρῶμα, οὐ βασιλικὸν δὲ τὸ δῶρον.

(Antonius et Maximus de beneficentia p. 277. Perscripsi Διογένει pro membranarum lectione Διογένη.)

42. Ὁ αὐτὸς εἶπεν, τῆς αὐτῆς ἁμαρτίας εἶναι τὸ δόναι οἷς μὴ δεῖ, καὶ τὸ μὴ διδόναι οἷς δεῖ.

(Antonius et Maximus de beneficentia. p. 277.)

43. Διογένης ἐρωτηθεὶς ὑπό τινος, διὰ τίνα αἰτίαν ἄνθρωποι τοῖς μὲν προσαιτοῦσι διδόασι, τοῖς δὲ φιλοσοφοῦσιν οὐδαμῶς, εἶπεν· Ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ ὡς ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δὲ οὔ.

(Antonius et Maximus de beneficentia p. 277. Idem dictum refert Diogenes Laertius lib. VI, 56.)

44. Διογένης ἐν συμποσίῳ τινί, πολλοῦ αὐτῷ οἴνου διδομένου, τοῦτο ἐξέχεεν. Ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο· Ἐὰν γὰρ αὐτόν, ἔφη, ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ κἀμὲ προσαπόλλυσι.

(Antonius et Maximus Serm. de ebrietate p. 302. Scripsi δεδομένου; codd. διδομένου.)

45. Διογένης ἔφη, τῶν ἀνθρώπων ἐνίους τὰ δέοντα λέγοντας ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεσθαι.

(Stobæus Floril. XXIII, 10. Idem apophthegma citant etiam Antonius et Maximus Serm. περὶ φιλαυτίας pag. 349.)

46. Σωκράτης ἐρωτηθείς τίνες ἀταράχως ζῶσιν, εἶπεν· Οἱ μηδὲν ἑαυτοῖς ἄτοπον συνειδότες.

(Stobæus Floril. XXIV, 13 Σωκράτους. Sed scribendum videtur Διογένους, quoniam hoc dictum cum ea quæ sequitur apud Stobæum sententia τίς γὰρ ἂν κτλ. cohæret.)

47. Τίς γὰρ ἂν ἧττον φοβοῖτό τι ἢ θαρσοίη μάλιστα, ἢ ὅστις αὐτῷ μηδὲν συνειδείη κακόν;

(Stobæus Floril. XXIV, 14 Διογένους.)

48. Ὁ Διογένης ἔλεγε, τὴν Μήδειαν σοφήν, ἀλλ' οὐ φαρμακίδα γενέσθαι. Λαμβάνουσαν γὰρ μαλακοὺς ἀνθρώπους καὶ τὰ σώματα διεφθαρμένους ὑπὸ τρυφῆς, ἐν τοῖς γυμνασίοις καὶ τοῖς πυριατηρίοις διαπονεῖν καὶ ἰσχυροὺς ποιεῖν καὶ σφριγῶντας· ὅθεν περὶ αὐτῆς ῥυῆναι τὴν δόξαν, ὅτι τὰ κρέα ἕψουσα νέους ἐποίει.

(Stobæus Floril. XXIX, 92 Διογένους. Posui cum Meinekio πυριατηρίοις; vulgo πειρατηρίοις.)

49. Διογένης πρὸς τὸν φιλόσοφον εἶναι φήσαντα, ἐρωτῶντα δὲ ἐριστικῶς· Κακόδαιμον, ἔφη, τὸ βέλτιστον τῶν ἐν τῷ βίῳ τοῦ φιλοσόφου λυμαινόμενος τῷ λόγῳ φιλοσοφεῖν φῄς.

(Stobæus Floril. XXXIII, 14.)

50. Τῶν συνόντων τις μειρακίσκων Διογένει, ἐρωτώμενος ὑπ' αὐτοῦ, ἐσιώπα. Ὁ δὲ ἔφη· Οὐκ οἴει τοῦ

---

hi te laudanti credent homines, quam tibi me calumnianti.

40. Diogenes a decoctore minam petebat; a quo quum rogaretur, cur cæteros triobola posceret, ipsum autem nam, respondit: *A cæteris rursus me accepturum ro, abs te vero non amplius.*

41. Alexander, Macedonum rex, discum ossibus refertum quando Diogeni Cynico misit. Quem ubi accepit Diogees: *Est quidem*, inquit, *cibus caninus, sed donum nime regium.*

42. Idem (Diogenes) dixit, qui indignis daret, eum tam e in vitio quam qui dignis non daret.

43. Diogenes a quodam rogatus, quam ob causam homes pecuniam mendicis darent, philosophis vero minime girentur: *Quia suspicantur*, inquit, *fore ut claudi tasse ac cæci fiant, philosophi autem nequam.*

44. Diogenes in convivio aliquo, postquam ei multum i datum est, id effudit. Quum vero quidam eum reprehenderent: *Si*, inquit, *hoc ebibero, non solum ipsum rit, sed me quoque simul perdit.*

45. Diogenes ait, homines nonnullos opportuna loquentes sibi non auscultare, sicut lyræ bene sonantes sonos suos non perciperent.

46. Socrates rogatus, quinam tranquille viverent: *Illi*, inquit, *qui nullius delicti sibi conscii sunt.*

47. Quis enim minus metuat aliquid vel majorem fiduciam præ se ferat, quam qui nullius sceleris sibi conscius est?

48. Diogenes dicebat, Medeam sapientem fuisse, non veneficam. Quum enim molles nacta esset homines, qui corpora luxu corrupta haberent, exercitationibus eam et sudationibus ita excoluisse istos, ut membris vigor et robur juvenile rediret: indeque famam exiisse, illam humanas carnes coquendo quosdam juvenes reddidisse.

49. Diogenes cuidam philosophum se profitenti, pugnaciter autem interroganti, *O miser*, inquit, *qui id quod in philosophi vita optimum est disceptatione corrumpens philosophari te contendas.*

50. Adolescens quidam ex illis qui cum Diogene versabantur, interrogatus ab eo, tacebat. Tum Diogenes: *Non*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

αὐτοῦ εἶναι εἰδέναι τε ἃ λεκτέον, καὶ πότε, καὶ τίνα σιωπητέον καὶ πρὸς τίνα;

(Stobæus Floril. XXXIV, 16 ἐκ τῶν Δίωνος χρειῶν. Recepi Meinekii conjecturam μειρακίσκων, codd. μειρακίων.)

51. Διογένης ἤτησέ ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδων τρεῖς· ὡς δ' ἐκεῖνος μέδιμνον ἀπέστειλεν, Οὕτως, ἔφη, καὶ ἀποκρίνει ἓν ἐρωτηθεὶς μυρία.

(Stobæus Floril. XXXVI, 21 Διογένους. Addidi ἓν ex Jacobsii conjectura. At Diogenes Laertius lib. VI, 26 hoc modo rem refert : Διογένης οἶνόν ποτε ἤτησεν αὐτόν (Πλάτωνα), τότε δὲ καὶ ἰσχάδας· ὁ δὲ κεράμιον ὅλον ἔπεμψεν αὐτῷ. Καὶ ὅς· Σύ, φησίν, ἐὰν ἐρωτηθῇς, δύο καὶ δύο πόσα ἐστίν, εἴκοσιν ἀποκρινῇ; Οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ. Ἔσκωψε δὴ ὡς ἀπεραντολόγον.)

52. Διογένης τὰς εὐμόρφους τῶν ἑταιρῶν ἐκάλει βασιλίσσας· πολλοὺς γὰρ πράττειν, ἃ ἂν προστάττωσι.

(Stobæus Floril. LXV, 15.)

53. Διογένης θεασάμενος μειράκιον εὔμορφον καὶ διὰ τοῦτο φιλούμενον ἔφη· Σπούδασον, μειράκιον, τοὺς τοῦ σώματος ἐραστὰς εἰς τὴν ψυχὴν μεταγαγεῖν.

(Antonius et Maximus Serm. de pulchritudine p. 566. Sed Diogenes Laertius lib. VI, 58 ita : Θεασάμενος μειράκιον φιλοσοφοῦν· Εὖγε, εἶπεν, ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις.)

54. Τοὺς εὐειδεῖς καὶ ἀπαιδεύτους ὁμοίους ἔφη εἶναι ἀλαβάστροις ἔχουσιν ὄζος.

(Antonius et Maximus Serm. de pulchritudine p. 566.)

55. Διογένης ἀποδράντος τοῦ οἰκέτου οὐκ ἐφρόντιζε, δεινὸν εἶναι λέγων, εἰ Διογένης μὲν χωρὶς αὐτοῦ ζῆν οὐ δύναται, αὐτοῦ δ' ἐκεῖνος χωρὶς δύναται.

(Stobæus Floril. LXII, 47 Διογένους. Diogenes Laertius lib. VI, 55 : πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ σοῦλον ζητεῖν· Γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται. Ælianus var. hist. lib. XIII, cap. 28 : Διογένης ἡνίκα ἀπέλιπε τὴν πατρίδα, εἷς αὐτοῦ τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης, ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβὴν ἀπέδρα. Προτρεπόντων δέ τινων ζητεῖν αὐτόν, ἔφη· Οὐκ αἰσχρόν, Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους; Οὗτος δὲ ὁ οἰκέτης εἰς Δελφοὺς ἀλώμενος ὑπὸ κυνῶν διεσπάσθη, τῷ ὀνόματι τοῦ δεσπότου δίκας ἐκτίσας, ἀνθ' ὧν ἀπέδρασεν.)

56. Διογένης κοινολογουμένας γυναῖκας θεασάμενος ἔφη· Ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται.

(Antonius et Maximus Serm. de mulieribus improbis p. 609.)

57.

Ζηλωτός, ὅστις εὐτύχησεν ἐν τέκνοις,
καὶ μὴ πίσημοις συμφοραῖς ὠδύρετο.

(Stobæus Floril. LXXV, 10. Διογένους, al. Διογενιανοῦ. Diogeni tragico attribuit hos versus F. G. Wagner Fragm. Tragic. p. 105 ed. Paris. ratus ab eo Euripidis Orest. vs. 535 seq. imitando effingi. Alii locum Euripidis esse voluerunt. Vid. Nauck. Fragm. Tragic. p. 602.)

58. Διογένης ἐρωτηθεὶς πῶς δεῖ πατέρας καὶ υἱοὺς ἀλλήλοις προσφέρεσθαι, ἔφησεν, εἰ μὴ περιμένοιεν αἰτηθῆναι ὑπ' ἀλλήλων, ἀλλὰ διδόντες φθάνοιεν. Ἐπιεικῶς δ' ὁ πατὴρ διὰ τὸ προευεργετηκέναι, εἰ μὴ εὖ πάσχοι, ταχέως ἄχθεται· ὁ δὲ υἱὸς ἐντρυφᾷ καὶ οὐκ ἀξιοῖ αἰτεῖν.

(Stobæus Floril. LXXXIII, 23 Διογένους. Scripsi cum Meinekio ἔφησεν, codd. φησίν.)

59. Διογένης ἐρωτηθείς, τί γῆ βαρύτερον βαστάζει, ἔφη· Ἄνθρωπον ἀπαίδευτον.

(Antonius et Maximus de eruditione et philosophia p. 706.)

60. Ἀστρολόγου δέ τινος κατ' ἀγορὰν ἐπιδεικνύντος

---

putas ejusdem esse, et quæ dicenda sint scire, et quando, et quæ tacenda sint, et apud quem?

51. Diogenes quondam a Platone tres ex ejus horto caricas petiit; quum autem ille medimnum ipsi misisset : *Ita etiam*, inquit, *unum interrogatus respondes sexcenta.*

52. Diogenes formosas meretrices reginas appellabat : multos enim facere quæ præciperent.

53. Diogenes conspicatus adolescentem pulchritudine insignem, qui idcirco amaretur : *O adolescens*, inquit, *da operam, ut corporis amatores ad animum traducas.*

54. Speciosos et eosdem indoctos alabastris acetum continentibus similes esse ajebat.

55. Diogenes, quum servus aufugisset, minime de ea re sollicitus erat, absurdum esse dicens, se quidem sine servo vivere non posse, illum autem posse sine Diogene.

56. Diogenes conspicatus mulieres inter se colloquentes : Aspis, inquit, a vipera venenum mutuatur.

57.

Beatus ille prole qui felix fuit,
nullove certe indoluit insigni malo.

58. Diogenes interrogatus, quales mutuo patres et filios exhibere se oporteret, respondit, bene eos esse facturos, si illa quæ requiruntur præstando petitiones invicem prævenirent. Merito autem pater, ut prior beneficiorum auctor, nisi vicissim accipiat, iram præceps est; at filius insolentius se effert, nec patrem orare dignatur.

59. Diogenes interrogatus, quod onus terra gravissimum sustineret, respondit : Hominem indoctum.

60. Quum astrologus quidam in foro stellas in tabella

ινι πινακίῳ καταγράφους τοὺς ἀστέρας, καὶ φά-
τος, ὅτι οὗτοί εἰσιν οἱ πλανώμενοι τῶν ἀστέρων,
κούσας· Μὴ ψεύδου, εἶπεν, ὦ ἑταῖρε· οὐ γὰρ οὗτοί
οἱ πλανώμενοι, ἀλλὰ οὗτοι, δείξας αὐτῷ τοὺς
καθεζομένους.

Stobæus Floril. LXXX, 6.)

. Διογένης, πυνθανομένου τινός, τίνες τῶν ἀν-
πων εὐγενέστατοι· Οἱ καταφρονοῦντες, εἶπε, πλού-
δόξης, ἡδονῆς, ζωῆς, τῶν δὲ ἐναντίων ὑπεράνω
, πενίας, ἀδοξίας, πόνου, θανάτου.

Stobæus Floril. LXXXVI, 19 Διογένους.)

. Διογένης ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ
η περιφέροντας, ἤρετο, τίνος ταῦτα; τῶν δὲ εἰ-
ίων, Ἀναξιμένους· Οὐκ αἰδεῖται, φησί, ταῦτα ἔχων
τα, αὐτὸς ἑαυτὸν μὴ ἔχων;

Maximus Serm. de divitiis et paupertate
58.)

. Διογένης ἔλεγε, μήτε ἐν πόλει πλουσίᾳ μήτε
χίᾳ ἀρετὴν οἰκεῖν δύνασθαι.

Stobæus Floril. XCIII, 35 Διογένους.)

. Διογένην τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι
ρύρημα πρὸς φιλοσοφίαν· ἃ γὰρ ἐκείνην πείθειν
λόγοις πειρᾶσθαι, ταῦτ' ἐν ἔργοις τὴν πενίαν
κάζειν.

Stobæus Floril. XCV, 11 Διογένους.)

. Διογένης, ὀνειδίσαντος αὐτῷ τινος πενίαν μο-
οῦ, ἔφη· Διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλού-
ν εἶδον, διὰ δὲ κακίαν πολλούς.

Stobæus Floril. XCV, 12 τοῦ αὐτοῦ.)

. Διογένης τὴν πενίαν ἔλεγεν αὐτοδίδακτον εἶναι
τήν.

(Stobæus Floril. XCV, 19 Διογένους.)

67. Διογένης, ὀνειδίζοντος αὐτῷ τινος πενίαν· Κα-
κόδαιμον, εἶπεν, οὐδένα ποτὲ τυραννοῦντα διὰ πενίαν
ἑώρακα, διὰ δὲ πλοῦτον τοὺς πάντας.

(Stobæus Floril. XCVII, 26 Διογένους.)

68.

Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος,
ὡς οὐδὲν ἐσμεν πλὴν σκιᾶς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρωφώμενοι.

(Antonius et Maximus Serm. de vitæ inæqua-
litate p. 807.)

69. Σωκράτης ἐρωτηθείς, τίνες εὐδαίμονες, εἶπεν·
Οἷς καὶ φρένες ἀγαθαὶ καὶ λόγος πρόσεστιν.

(Stobæus Floril. CIII, 19 τοῦ αὐτοῦ i. e. Σω-
κράτους. Sed apertum est hanc sententiam cum
sequenti, quam Stobæus Diogeni tribuit, cohæ-
rere.)

70. Εὐδαιμονία γὰρ μία ἐστὶ τὸ εὐφραίνεσθαι συν-
εχῶς, καὶ μηδέποτε λυπεῖσθαι, ἐν ὁποίῳ δὴ ἂν τόπῳ
ἢ καιρῷ ὑπάρχῃ τις.

(Stobæus Floril. CIII, 20 Διογένους. Posui συν-
εχῶς, codd. ἀληθινῶς.)

71. Εὐδαιμονίαν γὰρ ταύτην εἶναί φαμεν ἀληθινὴν
τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ
ἱλαρότητι διατρίβειν.

(Stobæus Floril. CIII, 21 τοῦ αὐτοῦ.)

72. Διογένης περιπεσὼν δ' αὖ τισι συμπτώμασιν
ἔλεγεν· Εὖγε, ὦ τύχη, ὅτι μου ἀῤῥένως προέστηκας.
Ἐν δὲ τοῖς τοιούτοις καιροῖς καὶ τερετίζων ἀνεφώνει.

(Stobæus Foril. CVIII, 71 Διογένους. Reposui

---

a depicted ostenderet diceretque : En stellæ errantes,
ns Diogenes : *Ne mentire*, inquit, *sodes. Stellæ
non errant, sed isti*, monstratis qui assidebant.

Diogenes sciscitante quodam, qui nobilissimi ho-
s essent : *Contemtores*, inquit, *opum, gloriæ, vo-
tis et vitæ; contrariis autem, paupertate, infamia,
e et morte majores.*

Diogenes Anaximenis servos conspicatus multa vasa
nferentes, cujus ea essent, quæsivit. Quum autem
naximenis esse respondissent : *Ecquid pudet eum,
, hæc omnia habere, quum se ipsum non ha-
?*

Diogenes dicebat, neque in civitate opulenta neque
mo locum virtuti esse posse.

Diogenes paupertatem nativum ad philosophiam
dium esse ait; quæ enim philosophia verbis persua-
conatur, ea paupertatem ipsis rebus cogere.

Diogenes, quum homo improbus paupertatem ipsi
braret, respondit : *Atqui propter paupertatem ego
nem unquam torqueri vidi, propter malitiam
multos.*

66. Diogenes paupertatem virtutem nativam esse dice-
bat.

67. Diogenes, quum paupertas ipsi a quodam objiceretur : *Miser*, inquit; *ego neminem unquam ob pauper-
tatem regnare vidi, sed cunctos ob divitias.*

68.

O mortale et ærumnosum hominum genus,
quam nihil sumus nisi umbris similes,
tanquam terræ pondus inutile vagantes.

69. *Diogenes* interrogatus, quinam essent felices, re-
spondit : Illi in quibus bona mens et ratio inest.

70. Unica enim felicitas versatur in eo, ut semper læ-
temur neque unquam mœrore urgeamur, quocunque loco
ac tempore simus.

71. Namque hanc felicitatem veram esse dicimus, quæ
talis sit, ut mens et animus perpetuo non magis tranquil-
litati quam hilaritati indulgeant.

72. Diogenes rursus quum in calamitates quasdam in-
cidisset, ait : *Bene facis, o fortuna, quod viriliter mihi
patrocinata es.* Idem in hujusmodi casibus etiam clara
voce cantitabat.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

cum Meinekio περιπεσὼν δ' αὖ τισι. Vulgo περιπεσὼν ἔν τισι vel δ' ἄν τισι.)

73. Διογένης ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν· Εἰ μὲν πρὸς τοὺς ζῶντας, πεπλάνησαι, εἰ δὲ πρὸς τοὺς νεκρούς, μὴ βράδυνε.

(Antonius Serm. de senibus inhonestis et imprudentibus p. 875.)

74. Διογένης ὁ Κυνικός, ὀδυρομένου τινός, ἐπειδὴ ἐπὶ ξένης ἔμελλε τελευτᾶν, εἶπεν· Τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ ὁδὸς ἡ αὐτὴ εἰς Ἅιδου.

(Antonius et Maximus Serm. de morte p. 878.)

75. Διογένης, εἰπόντος τινός, Χαλεπόν ἐστι τὸ ζῆν· Οὐκ, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.

(Stobæus Floril. CXXI, 26 Διογένους.)

76. Ἔλεγεν ὁ Διογένης, ὅτι ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, Ὑρκανία ἔσται ἡ ταφή· ἂν δὲ γῦπες ἅπτωνται, Ἰνδική· ἂν δὲ μηδεὶς προσέλθῃ, ὁ χρόνος καλὴν ποιήσει τὴν ταφὴν διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου.

(Stobæus Floril. CXXIII, 11 Διογένους. Quum Sextus Empiricus Pyrrhon. Hypot. III, 227 pag. 185 ed. Fabr. scribat mortuorum cadavera quosdam Indorum vulturibus inhumata projecisse, facile erat, locum corruptum corrigere. Sexti verba sunt : Ὑρκανοὶ δὲ κυσὶν αὐτοὺς ἐκτίθενται βοράν, Ἰνδῶν δὲ ἔνιοι γυψίν. Similiter de Persis Herodotus lib. I cap. 140 : τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφηνέως περὶ τοῦ ἀποθανόντος, ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς πρὶν ἂν ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ. Μάγους μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιέοντας. Itaque pro membranarum lectione ἂν δὲ γῦπες, ἅπτεον vel ἁπτέωνται reposui ἂν δὲ γῦπες ἅπτωνται, Ἰνδική, ultima autem ὁ χρόνος καλλίω τὴν ταφὴν διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου mutavi in ὁ χρόνος καλὴν ποιήσει τὴν ταφὴν διὰ τῶν πολυτελεστάτων ἡλίου καὶ ὄμβρου.)

77. Διογένης τοὺς ῥήτορας τὰ δίκαια μὲν ἔφη ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς.

(Antonius et Maximus Serm. de doctrina et litteris p. 933.)

78. Διογένης ἔφη νομίζειν ὁρᾶν τὴν Τύχην ἐφορμῶσαν αὐτῷ καὶ λέγουσαν· Τοῦτον δ' οὐ δύναμαι βαλέειν κύνα λυσσητῆρα.

(Stobæus Eclog. lib. II cap. 7, 21 Διογένους pag. 348 ed. Heeren. [pag. 98 ed. Meinek.] Rescripsi ἐφορμῶσαν αὐτῷ pro eo quod in codicibus legitur ἐνορῶσαν αὐτῷ. Cæterum Homeri locus est Iliad. lib. VIII, 299.)

79. Δεινὸς ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων, καὶ τὴν μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολήν, τὴν δὲ Πλάτωνος διατριβὴν κατατριβήν, τοὺς δὲ Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μώροις ἔλεγε· καὶ τοὺς ὑποκριτὰς μαγωγοὺς ὄχλου διακόνους.

(Diogenes Laertius lib. VI, 24.)

80. Ἔλεγεν, ὡς ὅτε μὲν ἴδοι κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον τῶν ζώων νομίζειν εἶναι τὸν ἄνθρωπον· ὅτε δὲ πάλιν τοὺς ὑποκριτὰς καὶ μάντεις καὶ τοὺς προσέχοντας τούτοις καὶ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους, οὐδὲν μωρότεροι νομίζειν ἀνθρώπου.

(Diogenes Laertius lib. VI, 24. Scripsi συνετώτατον τῶν ζώων νομίζειν εἶναι, codd. συνετώτατον τῶν ζώων εἶναι.)

81. Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλαίας οὐχ ἁψάμενον· Τί, φησίν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παραιτημένων οὐκ ἀπολαύεις; Καὶ ὅς· Ἀλλὰ νὴ τοὺς θεούς, φησί, Διόγενες, κἀκεῖ τὰ πολλὰ περὶ ἐλάας καὶ τὸ

---

73. Diogenes anum comtam conspicatus : *Si vivis*, inquit, *in errore versaris; sin autem mortuis, ne cunctare.*

74. Diogenes Cynicus, lamentante quodam, sese in peregrina terra moriturum esse : *Quid lamentaris*, inquit, *o stulte? Undique enim eadem via ad inferos est.*

75. Diogenes, quum dixisset quidam : Molestum est vivere : *Non*, inquit, *sed male vivere.*

76. Diogenes dicebat, si canes cadaver suum lacerarent, Hyrcaniam sepulturam fore; sin vultures esitarent, Indicam; at si nullum hujusmodi animal accederet, temporis beneficio pulchra se sepultura affectum iri, corpore pretiosissimis rebus, sole et imbribus, consumto.

77. Diogenes oratores id quidem studuisse ait, ut verbis hominum jura tuerentur; at minime, ut juste agerent.

78. Diogenes existimare se ait videre Fortunam in ipsum irruentem dicentemque : *Ast hunc non potui tangisse canem rabiosum.*

79. Erat autem acerrimus cæterorum exagitator, ideoque Euclidis scholam demta prima littera χολήν i. e. bilem appellabat, porro Platonis disputationem consumtionem, item ludos Dionysiacos magna stultorum miracula, ortores denique turbæ ministros vocabat.

80. Dicebat sibi in vita humana gubernatores intuenti, medicos item et philosophos, animalium omnium sollertissimum videri hominem; contra si somniorum interpretes contemplaretur et vates et qui istis auscultarent vel qui gloria et divitiis superbirent, tum nihil se homine ineptius esse arbitrari.

81. In cœna lauta olivas non gustare Platonem animadvertens : *Quid est*, inquit, *quod, sapiens qui sis, horumque ciborum gratia in Siciliam profectus, jam tamen appositis iis non utaris?* Tum Plato : *At per deos, in-*

τοιαῦτα ἐγενόμην. Ὁ δέ· τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας;

(Diogenes Laertius lib. VI, 25. Scripsi ἐλάας οὐχ ἁψάμενον, codd. ἐλάας ἁψάμενον. Præterea περὶ ἐλάας καὶ τὰ τοιαῦτα pro πρὸς ἐλάας καὶ τὰ τοιαῦτα.)

82. Πατῶν αὐτοῦ (τοῦ Πλάτωνος) ποτε στρώματα κεκληκότος φίλους παρὰ Διονυσίου, ἔφη· Πατῶ τὴν Πλάτωνος κενοσπουδίαν. Πρὸς δν ὁ Πλάτων· Ὅσον, ὦ Διόγενες, τοῦ τύφου διαφαίνεις, δοκῶν μὴ τετυφῶσθαι. Οἱ δέ φασι τὸν Διογένην εἰπεῖν· Πατῶ τὸν Πλάτωνος τῦφον, τὸν δὲ φάναι· Ἑτέρῳ γε τύφῳ, Διόγενες.

(Diogenes Laertius lib. VI, 26. Cæterum φίλους παρὰ Διονυσίου intelligimus amicos a Dionysio Athenas missos. Verba ἑτέρῳ γε τύφῳ explicat Tertullianus Apolog. cap. 46 : Ecce lutulentis pedibus Diogenes superbos Platonis toros alia superbia deculcat. Vere autem M. Antoninus lib. XII, 22 : ὁ γὰρ ὑπ' ἀτυφίᾳ τῦφος τετυφωμένος πάντων χαλεπώτατος.)

83. Ἐρωτηθείς, ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας; Ἄνδρας μέν, εἶπεν, οὐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαίμονι.

(Diogenes Laertius lib. VI, 27.)

84. Σπουδαιολογουμένῳ ποτὲ ὡς οὐδεὶς προσήει, ἐπέβαλε τερετίζειν· ἀθροισθέντων δέ, ὠνείδισεν, ὡς ἐπὶ μὲν τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα βραδυνόντων ὀλιγώρως.

(Diogenes Laertius lib. VI, 27.)

85. Ἔλεγε περὶ μὲν τοῦ παρορύττειν καὶ λακτίζειν ἀγωνίζεσθαι τοὺς ἀνθρώπους, περὶ δὲ καλοκἀγαθίας οὐδένα.

(Diogenes Laertius lib. VI, 27. De voce παρορύσσειν vide interpretes ad Theocrit. IV, 10.)

86. Τοὺς γραμματικοὺς ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας· καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη· τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δὲ ἐν ποσὶ πράγματα παροραῖν· τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς· ἀλλὰ μὴν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ.

(Diogenes Laertius lib. VI, 27—28. Conf. Senecæ epist. 86.)

87. Κατεγίνωσκε δὲ καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω εἶεν, ζηλούντων δὲ τοὺς πολυχρηματίας.

(Diogenes Laertius lib. VI, 28.)

88. Ἐκίνει δ' αὐτὸν καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κατὰ τῆς ὑγιείας δειπνεῖν. Ἄγασθαι δὲ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζοιεν τῶν ἐσθιομένων.

(Diogenes Laertius lib. VI, 28.)

89. Ἐπῄνει τοὺς μέλλοντας γαμεῖν καὶ μὴ γαμοῦντας, καὶ τοὺς μέλλοντας καταπλεῖν καὶ μὴ καταπλέοντας, καὶ τοὺς μέλλοντας πολιτεύεσθαι καὶ μὴ πολιτευομένους, καὶ τοὺς παιδοτροφεῖν καὶ μὴ παιδοτροφοῦντας, καὶ τοὺς παρασκευαζομένους συμβιοῦν τοῖς δυνάσταις καὶ μὴ προσιόντας.

---

quit, *Diogenes, et olivis et aliis hujusmodi cibis plerumque vescebar.* Rursus Diogenes : *Quid ergo Syracusas navigare attinuit? an Attica olivas tunc non ferebat?*

82. Præsentibus Dionysii quibusdam, quos Plato invitaverat, amicis, Diogenes, stragulis ejus conculcatis, *inane Platonis studium* sese dixit pedibus *calcare.* Cui Plato sic respondit : Quantos vero, o Diogenes, spiritus tibi sumsisti, licet arrogantis speciem minime præbeas! Alii autem referunt Diogeni dicenti, *Platonis fastum calco : At alio fastu, Diogenes,* Platonem statim respondisse.

83. Interrogatus, ubinam in Græcia viros fortes vidisset : *Viros quidem,* inquit, *nusquam, pueros vero Lacedæmone.*

84. Quum aliquando de rebus gravibus disputaret nemoque audiendi studio incensus ad ipsum accederet, cantare instituit; quum igitur multi undique convenissent, eos increpavit, quod nugas audire festinarent, seriis autem aures præbere contemtim morarentur.

85. Homines certare dicebat de fossione et calcitratu; de probitate autem et honestate neminem cum alio contendere.

86. Grammaticos mirabatur in Ulixis quidem mala inquirere, sua autem ignorare; musicos item fides nervis contendere, animi vero moribus incompositos esse; porro mathematicos solem et lunam intuentes, quæ ante pedes essent, negligere; oratores etiam id quidem studuisse, ut verbis hominum jura tuerentur, at minime, ut juste agerent; avaros denique vituperare quidem argentum, sed tamen vehementer amare.

87. Eos quoque reprehendebat, qui viros probos, ut pecuniæ contemtores, laudarent, sed tamen pecuniosos imitarentur.

88. Commovebatur vero etiam eorum more qui pro bona valetudine diis sacrificarent, sed in ipsa re divina facienda bene cœnando valetudinem negligerent. Servos quoque se mirari ajebat, qui, quum edaces dominos viderent, nihil ciborum raperent.

89. Laudabat eos qui uxores quidem ducturi essent, sed tamen non ducerent, et qui ad terram appulsuri non appellerent, quique rempublicam administraturi non administrarent, et qui pueros educaturi non educarent, denique qui id darent operam, ut cum potentibus viverent, nec tamen illos adirent.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Diogenes Laertius lib. VI, 29. Ita emendandum censeo hunc locum cum Turnebo Advers. lib. XXVI cap. 34. Nam in veteribus libris hæc leguntur : τοὺς μέλλοντας γαμεῖν καὶ μὴ γαμεῖν, καὶ τοὺς μέλλοντας καταπλεῖν καὶ μὴ καταπλεῖν, καὶ τοὺς μέλλοντας πολιτεύεσθαι καὶ μὴ πολιτεύεσθαι, καὶ τοὺς παιδοτροφεῖν καὶ μὴ παιδοτροφεῖν.)

90. Ἔλεγε δεῖν τὰς χεῖρας ἐπὶ τοὺς φίλους ἐκτείνειν μὴ συγκεκαμμένους τοῖς δακτύλοις.

(Diogenes Laertius lib. VI, 29. Sententia est quam Kuhnius his verbis expressit : non tribus aut quatuor digitis dandum amicis, quemadmodum thuris aliquot grana aris imponi solebant, sed plena manu et remissis digitis.)

91. Ἔλεγε τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐτόν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη. Καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος εἴη, πειθῆναι δεῖν αὐτῷ. Εὔβουλος δέ φησιν ἐν τῷ ἐπιγραφομένῳ Διογένους πράσεις, οὕτως ἄγειν τοὺς παῖδας τοῦ Ξενιάδου μετὰ τὰ λοιπὰ μαθήματα, ὥστε ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν. Ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτοῦ τροῦ ἐρυθήματος χάριν καὶ εὐεξίας. Κατεῖχον δὲ οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων καὶ τῶν αὐτοῦ Διογένους· πᾶσάν τε ἔφοδον σύντομον, πρὸς τὸ εὐμνημόνευτον, ἐπήσκει. Ἐν οἴκῳ τε ἐδίδασκε διακονεῖσθαι λιτῇ τροφῇ χρωμένους, καὶ ὕδωρ πίνοντας. Ἐν χρῷ κουρίας τε καὶ ἀκαλλωπίστους εἰργάζετο, καὶ ἀχίτωνας καὶ ἀνυποδήτους, καὶ σιωπηλούς, καθ' αὑτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς. Ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγεσίᾳ. Οἱ δὲ καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο, καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. Ὁ δ' αὐτός φησι παρὰ τῷ Ξενιάδῃ καὶ γηρᾶσαι αὐτόν, καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ. Ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη· Ἐπὶ πρόσωπον. Τοῦ δὲ ἐρομένου· Διὰ τί; Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἄνω στρέφεσθαι. Τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι.

(Diogenes Laertius lib. VI, 30. 31. 32. Posui ἀλλ' αὐτοῦ τοῦ ἐρυθήματος χάριν, codd. ἀλλὰ αὐτὸς ἐρυθήματος χάριν. Pro ἐπὶ κυνηγεσίᾳ Henr. Stephanus ἐπὶ κυνηγέσια scribi volebat.)

92. Θαυμάζειν ἔφη, εἰ χύτραν μὲν καὶ λοπάδα ὠνούμενοι σκοποῦμεν καὶ κομποῦμεν, ἀνθρώπου δὲ μόνῃ τῇ ὄψει ἀρκούμεθα.

(Diogenes Laertius lib. VI, 30.)

93. Φωνήσας ποτέ, Ἰὼ ἄνθρωποι, συνελθόντων καθίκετο τῇ βακτηρίᾳ, εἰπών· Ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα.

(Diogenes Laertius lib. VI, 32.)

94. Εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ, καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπών, χείρονα τόπον μὴ εὑρηκέναι. (Οἱ δὲ τοῦτο Ἀριστίππου φασί.)

(Diogenes Laertius lib. VI, 32.)

95. Ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλούς, ἀλλὰ τοὺς μὴ ἔχοντας πήραν.

(Diogenes Laertius lib. VI, 33.)

96. Εἰσελθών ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον πληγὰς ἔλαβε. Μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν πληξάντων, περιῄει ἐξημμένος· ὥστε

---

90. Dicebat manus ad amicos non contractis digitis protendi oportere.

91. Dicebat Xeniadi, emtori suo, ipsum sibi, quamvis servus esset, obtemperare debere. Nam et medico vel gubernatori, si servus sit, tamen obediri oportere. Eubulus autem in libro, qui inscribitur Diogenis auctio, ait eum Xeniadis filios ita instituisse, ut post perceptas reliquas disciplinas equitarent, sagittarent, funda lapides excuterent, denique jacularentur. Deinde in palæstra non permittebat luctandi magistro eos athletarum in morem exercere, sed tantum ad colorem rubicundum ori inducendum et ob bonam corporis habitudinem. Tenebant vero pueri multa poetarum aliorumque scriptorum et ipsius quoque Diogenis dicta memoriter; omnemque illis doctrinæ rationem, ut facile memoria comprehenderetur, breviter expositam inculcabat. Domi etiam ministrare eos docebat, vili cibo et aquæ potu contentos. Tonsos ad cutem incomtosque erudiebat, porro sine tunicis ac discalceatos, tacitos etiam et se solos inter viam intuentes. Insuper ad venationes eos educebat. Contra isti Diogenis ipsius curam agebant, atque a parentibus petebant, ut eum sibi commendatum haberent. Idem [Eubulus] ait illum etiam apud Xeniadem consenuisse, et fato perfunctum ab ejus filiis esse sepultum. Ibi percontante Xeniade, quomodo sepeliri vellet : *In faciem*, inquit. Tum illo, quæ ejus rei causa foret, quærente : *Quoniam*, inquit, *paulo post inferiora sursum vertentur*. Dixit autem hoc, quia Macedones jam prævalerent, vel ex humilitate in fastigium emergerent atque attollerentur.

92. Mirari se ait, quod quum ollam quidem et patinam emturi diligenter intus non sine tinnitu consideremus, sola in homine emendo externa specie contenti simus.

93. Quum clamasset aliquando : *Heu homines!* convenissentque plurimi, baculo illos verberavit dicens : *Homines, non purgamenta, vocavi.*

94. Quum ipsum aliquis in domum magnificam induxisset, atque exspuere prohibuisset, exscreans faciem prohibentis conspuit, locum fœdiorem, in quem exspuere posset, se non invenisse dicens. At alii Aristippum hoc fecisse auctores sunt.

95. Ἀναπήρους i. e. mancos, vocabat non surdos aut cæcos, sed qui peram non haberent.

96. Ingressus aliquando semirasus juvenum convivantium cœnationem verberibus ab iis acceptus est. Postea vero eorum nomina a quibus pulsatus erat tabellæ in-

αὐτοὺς ὕβρει περιέθηκε, καταγινωσκομένους καὶ ἐπιπληττομένους.

(Diogenes Laertius lib. VI, 33. Pseudodiogenes in Epistola ad Melesippum : ἤκουόν σε λελυπῆσθαι, ὅτι τὰ Ἀθηναίων τέκνα πληγὰς ἡμῖν ἐνέτεινε μεθύοντα, καὶ δεινὰ πάσχειν, εἰ σοφία πεπαρώνηται. Εὖ δ' ἴσθι, ὅτι τὸ Διογένους μὲν ἐπλήχθη σῶμα ὑπὸ τῶν μεθυόντων, ἀρετὴ δὲ οὐκ ἠσχύνθη· ἐπεὶ μήτε κοσμεῖσθαι πέφυκεν ὑπὸ φαύλων, μήτε αἰσχύνεσθαι.)

97. Ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν.

(Diogenes Laertius lib .VI, 33. Est autem ἐπὶ τὴν θήραν interpretandum de virtutis et honestatis studio, quo sensu Aristoteles apud Athenæum lib. XV p. 695 A dicit ἀρετά, πολύμοχθε γένει βροτείῳ θήραμα κάλλιστον βίῳ. Sic apud Lucianum in Vitarum auctione cap. 8 Diogenes ait : στρατεύομαι δὲ ὥσπερ Ἡρακλῆς ἐπὶ τὰς ἡδονὰς οὐ κελευστός, ἀλλ' ἑκούσιος, ἐκκαθᾶραι τὸν βίον προαιρούμενος.)

98. Πρὸς τὸν εἰπόντα, Πύθια νικῶ ἄνδρας· Ἐγὼ μὲν οὖν, εἶπεν, ἄνδρας, σὺ δὲ ἀνδράποδα.

(Diogenes Laertius lib. VI, 33. Similiter idem 43 : Ὀλυμπίασι τοῦ κήρυκος ἀνειπόντος, Νικᾷ Διώξιππος ἄνδρας· Οὗτος μὲν δὴ ἀνδράποδα, ἄνδρας δὲ ἐγώ. Vid. Dion. Chrysost. orat. XI.)

99. Πρὸς τοὺς εἰπόντας· Γέρων εἶ, καὶ λοιπὸν ἄνες· Τί δέ, ἔφη, εἰ δολιχὸν ἔδραμον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι;

(Diogenes Laertius lib. VI, 34.)

100. Κατέλαβέ ποτε Δημοσθένην τὸν ῥήτορα ἐν πανδοκείῳ ἀριστῶντα· τοῦ δὲ ὑποχωροῦντος, Τοσούτῳ, ἔφη, μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ.

(Diogenes Laertius lib. VI, 34. Sed operæ pretium est cum iis quæ Diogenes prodit conferre Ælianum var. hist. lib. IX cap. XIX ita scribentem : Ἥριστα ποτὲ Διογένης ἐν καπηλείῳ· ἔνθα παριόντα Δημοσθένη ἐκάλει· τοῦ δὲ μὴ ὑπακούσαντος, Αἰσχύνῃ, ἔφη, Δημόσθενες, παρελθεῖν εἰς καπηλεῖον; καὶ μὴν καὶ ὁ κύριός σου καθ' ἑκάστην ἡμέραν ἐνθάδε εἰσισι, τοὺς δημότας λέγων καὶ τοὺς καθ' ἕνα δηλῶν· ὅτι οἱ δημηγόροι καὶ οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσί. Aliter denique Plutarchus in libello Quomodo quis suos in virtute sequenda sentire possit profectus vol. VII pag. 260 ed. Hutten. : χάριεν γὰρ τὸ τοῦ Διογένους πρός τινα νεανίσκον ὀφθέντα ἐν καπηλείῳ, καταφυγόντα δ' εἰς τὸ καπηλεῖον· Ὅσῳ γὰρ (εἶπεν) ἐνδοτέρω φεύγεις, μᾶλλον ἐν τῷ καπηλείῳ γίνῃ.)

101. Ξένων ποτὲ θεάσασθαι θελόντων Δημοσθένην, τὸν μέσον δάκτυλον ἐκτείνας· Οὗτος ἡμῖν, ἔφη, ἐστὶν ὁ Ἀθηναίων δημαγωγός.

(Diogenes Laertius lib. VI, 34.)

102. Ἐκβαλόντος δέ τινος ἄρτον καὶ αἰσχυνομένου ἀνελέσθαι, βουλόμενος αὐτὸν νουθετῆσαι, κεράμου τράχηλον δήσας ἕσυρε διὰ τοῦ Κεραμεικοῦ.

(Diogenes Laertius lib. VI, 35.)

103. Μιμεῖσθαι ἔλεγε τοὺς χοροδιδασκάλους· καὶ γὰρ ἐκείνους ὑπὲρ τόνον ἐνδιδόναι ἕνεκα τοῦ τοὺς λοιποὺς ἅψασθαι τοῦ προσήκοντος τόνου.

(Diogenes Laertius lib. VI, 35.)

104. Τοὺς πλείστους ἔλεγε παρὰ δάκτυλον μαίνεσθαι. Ἐὰν οὖν τις τὸν μέσον προτείνας πορεύηται, δόξει μαίνεσθαι· ἐὰν δὲ τὸν λιχανόν, οὐκέτι.

(Diogenes Laertius lib. VI, 35.)

105. Τὰ πολλοῦ ἄξια μηδενὸς ἔλεγε πιπράσκεσθαι, καὶ ἔμπαλιν· ἀνδριάντα γὰρ τρισχιλίων πιπράσκεσθαι, χοίνικα δὲ ἀλφίτων δύο χαλκῶν.

(Diogenes Laertius lib. VI, 35.)

106. Τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ φησί· Ἄγε ὅπως τὸ προσταττόμενον[a] ποιήσεις. Τοῦ δὲ εἰπόντος· Ἄνω

---

scripta atque ex collo suspensa gerens circumibat; ita ut illos injuria afficeret, qui idcirco vituperationem et objurgationem non effugiebant.

97. Canem se esse ajebat ex iis qui laudarentur; verum laudantium neminem secum venatum exire audere.

98. Dicenti cuidam, viros se Pythiis superare : *Viros*, inquit, *ego; tu vero mancipia.*

99. Quum ipsi diceretur : *Senex es; conquiesce igitur ex labore. Quid vero*, ait, *si stadium currerem, ad calcem oporteret segni cursu et non potius incitato contendere?*

100. Offendebat aliquando Demosthenem oratorem in deversorio prandentem; qui quum in interiorem partem secederet : *Eo magis*, inquit, *eris in deversorio.*

101. Quum peregrini quidam Demosthenem videre cuperent, medium intendens digitum : *Hic*, inquit, *nobis est ille populi Atheniensis rector.*

102. Quum panem aliquis imprudenter abjecisset eumque præ pudore tollere nollet, Diogenes hominem reprehendere cupiens alligatum lagenæ collum per Ceramicum trahebat.

103. Imitari se dicebat chori magistros : illos enim præeuntes acutius sonare, ut reliqui legitimum sonum funderent.

104. Plerosque dicebat propter unum digitum pro insanis haberi. Si quis igitur medio digito porrecto incederet, eum desipere videri; sin autem indice porrecto, sapere.

105. Pretiosissima quæque gratis constare ajebat et contra; statuam enim tribus drachmarum millibus vendi, polentæ vero chœnicem duobus æreis.

106. Xeniadæ qui ipsum emerat : Agedum, inquit, fac quod præcipitur. Qui quum ei opposuisset illud : *Sursum fluunt amnium fontes*, respondit : *At si medicum æger*

ποταμῶν χωροῦσι παγαί· εἰ δὲ ἰατρόν, ἔφη, ἐπρίω νοσῶν, οὐκ ἂν αὐτῷ ἐπείθου, ἀλλ' εἶπες ἄν, ὡς [b] ἄνω ποταμῶν χωροῦσι παγαί;

(Diogenes Laertius lib. VI, 36. Scripsi: [a] ποιήσεις, codd. ποιήσῃς. — [b] ὡς; codd. ὡς ἄν. — Est autem Euripidis in Medea versus 411 : ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, καὶ δίκη καὶ πάντα πάλιν στρέφεται, qui postea in proverbii consuetudinem venit. Zenobius Centur. II, 56 : παροιμία ἐπὶ τῶν ὑπεναντίως λεγομένων ἢ γενομένων, ἐπειδὴ οἱ ποταμοὶ ἄνωθεν κάτω ῥέουσιν, οὐ κάτωθεν ἄνω.)

107. Ἤθελέ τις παρ' αὐτῷ φιλοσοφεῖν· ὁ δέ οἱ σαπέρδην δοὺς φέρειν, ἐποίησεν ἀκολουθεῖν. Ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει, Τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσε. Διοκλῆς δ' οὕτως ἀναγράφει. Εἰπόντος τινὸς αὐτῷ· Ἐπίταττε ἡμῖν, Διόγενες, ἀπαγαγὼν αὐτὸν ἡμιωβολίου τυρὸν ἐδίδου φέρειν, ἀνησαμένου δέ, Τὴν σήν, ἔφη, καὶ ἐμὴν φιλίαν ἡμιωβολίου τυρίον διαλέλυκε.

(Diogenes Laertius lib. VI, 36.)

108. Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέῤῥιψε τῆς πήρας τὴν κοτύλην, εἰπών· Παιδίον με νενίκηκεν εὐτελείᾳ. Ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ ἄρτου ψωμίῳ τὴν φακῆν ὑποδεχόμενον.

(Diogenes Laertius lib. VI, 37. Scripsi τῷ κοίλῳ ἄρτου ψωμίῳ, codd. τὸ κοίλῳ ἄρτῳ τοῦ ψωμίου. Cf. Plutarchus in libello Quomodo quis suos in virtute sequenda sentire possit profectus vol. VII pag. 254 ed Hutten. Simplicius ad Epicteti Enchirid. cap. 46 p. 273 ed. Salmas. Seneca Epist. 90. Hieronymus adv. Jovinianum lib. II. Huc spectat Antiphili epigramma Anthol. lib. V : Ἡ πήρη καὶ χλαῖνα, καὶ ὕδατι πιληθεῖσα Μᾶζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη, Καὶ δέπας ἐκ κεράμοιο σοφῷ κυνὶ μέτρα βίοιο Ἀρκιακὴν τούτοις ἦν τι περισσότερον. Κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην, Εἶπε· Τί καί σε μάτην, ὄστρακον, ἠχθοφόρουν; In eandem sententiam Ausonius Epigr. 53 : Pera, polenta, tribon, baculus, scyphus, arcta supellex Ista fuit Cynici : sed putat hanc nimiam. Namque cavis manibus cernens potare bubulcum, Cur, scyphe, te, dixit, gesto supervacuum?)

109. Συνελογίζετο δὲ καὶ οὕτως· Τῶν θεῶν ἐστι πάντα· φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ἐστὶ τῶν σοφῶν.

(Diogenes Laertius lib. VI, 37.)

110. Θεασάμενός ποτε γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς προσπίπτουσαν, βουλόμενος αὐτῆς περιελεῖν τὴν δεισιδαιμονίαν, προσελθὼν εἶπεν· Οὐκ εὐλαβῇ, ὦ γύναι, μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος (πάντα γάρ ἐστιν αὐτοῦ πλήρη) ἀσχημονήσῃς;

(Diogenes Laertius lib. VI, 37.)

111. Τῷ Ἀσκληπιῷ ἀνέθηκε πλήκτην, ὃς τοὺς ἐπὶ στόμα πίπτοντας ἐπιτρέχων συνέτριβεν.

(Diogenes Laertius lib. VI, 38.)

112. Εἰώθει λέγειν, τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι γοῦν·

Ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος,
πτωχός, πλανήτης, βίον ἔχων τοὐφ' ἡμέραν.

(Diogenes Laertius lib. VI, 38. Quod idem refert Ælianus var. hist. lib. III cap. 29 his verbis : Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ, ὅτι τὰς ἐκ τραγῳδίας ἀρὰς αὐτὸς ἐκπληροῖ καὶ ὑπομένει· εἶναι γὰρ πλάνης, ἄοικος, πατρίδος ἐστερημένος, πτωχός, δυσείμων, βίον ἔχων ἐφήμερον.)

113. Ἔφασκεν ἀντιτιθέναι τύχῃ μὲν θάρσος, νόμῳ δὲ φύσιν, πάθει δὲ λόγον.

---

emisses, non obtemperasses illi, sed diceres : Sursum fluunt amnium fontes?

107. Quidam sub Diogene magistro philosophari volebat, cui ille saperdam gestandum dedit et se sequi jussit. Qui quum pudore commotus abjecto pisce abiisset, aliquanto post Diogenes ei occurrens ridensque : *Tuam*, inquit, *et meam amicitiam saperda dissolvit.* Diocles autem sic rem perscribit. Dixerat illi nescio quis : Impera nobis, Diogenes. Tum ille abducto vilem caseum ferendum dedit. Verum isto hoc detrectante : *Tuam*, inquit, *et meam amicitiam vilis caseus dissolvit.*

108. Quum esset aliquando puerum cavis bibentem manibus intuitus, cotylam e pera ejecit dicens : *Puer me frugalitate superavit.* Ejecit etiam catinum, quia item puerum, vasculo fracto, vidisset concavo panis frusto lentes coctas excipere.

109. Ratiocinabatur vero etiam sic : Omnia deorum sunt : diis autem amici sapientes sunt : amicorum vero cuncta communia : omnia ergo sunt sapientum.

110. Conspicatus aliquando mulierem indecore coram diis prostratam eamque superstitione levare cupiens, accessit propius illamque sic allocutus est : Non vereris, mulier, ne forte stante a tergo deo (ejus enim omnia plena sunt) parum decenter te geras?

111. Gallum pugnacem, qui alios humi prostratos incursu conterebat, Æsculapio sacravit.

112. Solebat dicere, tragicas exsecrationes sibi evenisse; esse enim se exsulem, domo ejectum, patria extorrem, pauperem, palantem, vitam in dies habentem.

113. Ajebat se opponere fortunæ quidem confidentiam, legi vero naturam, perturbationi denique rationem.

(Diogenes Laertius lib. VI, 38.)

114. Ἐν τῷ Κρανείῳ ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος στὰς φησιν· Αἴτησόν με ὃ θέλεις· καὶ ὅς, Ἀποσκότει μου, φησί.

(Diogenes Laertius lib. VI, 38. Cf. Plutarch. Alex. cap. 14; Simplicius ad Epictet. cap. 21 p. 123 ed. Salmas; Valerius Maximus lib. IV, 3. Cicero Tuscul. V, 32.)

115. Μακρά τινος ἀναγινώσκοντος, καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφόν τι παραδείξαντος, Θαρρεῖτε, ἄνδρες· γῆν ὁρῶ.

(Diogenes Laertius lib. VI, 38.)

116. Πρὸς τὸν συλλογισάμενον, ὅτι κέρατα ἔχει, κενος τοῦ μετώπου, Ἐγὼ μέν, ἔφη, οὐχ ὁρῶ. ρίως καὶ πρὸς τὸν εἰπόντα, ὅτι κίνησις οὐκ ἔστιν, τὰς περιεπάτει.

(Diogenes Laertius lib. VI, 39. Agitur hic de ogismo quem Hieronymus in epist. 83 cor- um vocat, velut: *quod non perdidisti, habes; i cornua non perdidisti, ergo cornua habes.* ratiocinanti quum respondere posset Dioge- : *quod perdidi, non habeo*; *atqui cornua, si ndo habui, perdidi, ergo cornua non habeo*, uit re factoque quam verbis et argumenta- e eum refutare. Cæterum quod ad ultima ως καὶ τὸν εἰπόντα κτλ. attinet, de ipso Dio- e interpretanda sunt, quæ de Cynico quodam tus Empiricus Pyrrhonic. Hypot. lib. III . 8 in hunc modum scribit: διὸ καὶ τῶν Κυνι- τις ἐρωτηθεὶς κατὰ τῆς κινήσεως λόγον, οὐδὲν κρίνατο· ἀνέστη δὲ καὶ ἐβάδισεν· ἔργῳ καὶ διὰ τῆς γείας παριστάς, ὅτι ὑπαρκτή ἐστιν ἡ κίνησις.)

117. Πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων· Πόσος, ἔφη, πάρει ἀπὸ τοῦ οὐρανοῦ;

(Diogenes Laertius lib. VI, 39.)

118. Εὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰ- · Μηδὲν εἰσίτω κακόν· Ὁ οὖν κύριος, ἔφη, τῆς ας ποῦ εἰσέλθῃ;

(Diogenes Laertius lib. VI, 39. Idem dictum servarunt Clemens Alexandrinus Strom. lib. VII p. 713 et Theodoretus Serm. VI de providentia tom. IV p. 357 ed. Sirmond.)

119. Τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη, ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν.

(Diogenes Laertius lib. VI, 39. Cf. Lucian. Nigrin. cap. 32.)

120. Ἀξιούντων Ἀθηναίων μυηθῆναι αὐτόν, καὶ λεγόντων, ὡς ἐν Ἅιδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι· Γελοῖον, ἔφη, εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται.

(Diogenes Laertius lib. VI, 39. Idem testatur Plutarchus libro de audiendis poetis [vol. VII, p. 80 seq. ed. Hutten], cujus verba sunt: δεῖ δὲ τῷ Διογένει καὶ πρὸς τὸν Σοφοκλέα χρήσασθαι. Πολλὰς γὰρ ἀνθρώπων μυριάδας ἐμπέπληκεν ἀθυμίας, περὶ τῶν μυστηρίων ταῦτα γράψας· ὡς τρισόλβιοι Κεῖνοι βροτῶν, οἳ ταῦτα δερχθέντες τέλη Μόλωσ' ἐς Ἅιδου· τοῖσδε γὰρ μόνοις ἐκεῖ Ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά. Διογένης δὲ ἀκούσας τι τοιοῦτον· Τί λέγεις; ἔφη, κρείττονα μοῖραν ἕξει Πατακίων ὁ κλέπτης ἀποθανών, ἢ Ἐπαμεινώνδας, ὅτι' μεμύηται; Sed Plato quoque communem Atheniensium de his rebus sententiam tuetur. Ait enim in Phæd. p. 69 C: καὶ κινδυνεύουσι καὶ οἱ τὰς τελετὰς ἡμῖν οὗτοι καταστήσαντες οὐ φαῦλοί τινες εἶναι, ἀλλὰ τῷ ὄντι πάλαι αἰνίττεσθαι, ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος εἰς Ἅιδου ἀφίκηται, ἐν βορβόρῳ κείσεται, ὁ δὲ κεκαθαρμένος τε καὶ τετελεσμένος ἐκεῖσε ἀφικόμενος μετὰ θεῶν οἰκήσει.)

121. Πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς· Ἰδού, φησίν, καὶ Διογένης παρασίτους τρέφει.

(Diogenes Laertius lib. VI, 40.)

122. Πλάτωνος εἰπόντος αὐτὸν κύνα· Ναί, ἔφη, ἐγὼ γὰρ ἐπανῆλθον ἐπὶ τοὺς πεπρακότας.

---

14. Apricanti ipsi in Craneo quum Alexander supervenet, ait: *Pete a me quod vis.* At ille: *Noli*, inquit, *i umbram facere.*

15. Diu multumque aliquis legerat, quumque in fine nihil amplius scriptum esse ostendisset, Diogenes o, inquit, animo este, viri; jam terram video.

16. Homini argumentis quibusdam colligenti, Diogehabere cornua, manu frontem contrectans: Equidem, uit, illa non animadverto. Similiter quodam motum esse nte, surgens deambulabat.

17. De superis ac cœlestibus disserenti: *Quam diu*, inquit, *quum de cœlo descendisti?*

18. Quum eunuchus quidam nequissimus ædibus inscripsisset: *Nihil ingredialur mali; Dominus igitur domus*, dicebat Diogenes, *ubi ingrediatur?*

119. Unguento quum pedes inunxisset, dixit a capite quidem in aerem abire ejus odorem, sed a pedibus in nares penetrare.

120. Volentibus Atheniensibus eum mysteriis initiari, dicentibusque eos qui illa tenerent apud inferos ad principatum pervenire: *Ridiculum est*, inquit, *Agesilaum et Epaminondam in luto volutatum iri, humiles autem homines nescio quos initiatos in beatorum insulis futuros esse.*

121. Muribus ad ipsius mensam arrepentibus: *Ecce*, inquit, *etiam Diogenes parasitos alit.*

122. Platone canem ipsum appellante: *Sane*, inquit; *ego enim ad venditores redii.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Diogenes Laertius lib. VI, 40. Aliter rem narrat Ælianus Var. hist. lib. XIV, 33 : διελέγετο ὑπέρ τινων ὁ Πλάτων, παρὼν δ' ὁ Διογένης ὀλίγον αὐτῷ προσεῖχεν· ἠγανάκτησεν οὖν ἐπὶ τούτοις ὁ Ἀρίστωνος καὶ ἔφη· Ἐπάκουσον τῶν λόγων, κύον. Καὶ ὅς, οὐδὲν διαταραχθείς· Ἀλλ' ἐγώ, εἶπεν, οὐκ ἐπανῆλθον ἐκεῖθεν, ὅθεν ἐπράθην, ὥσπερ οἱ κύνες· αἰνιττόμενος αὐτοῦ τὴν εἰς Σικελίαν ὁδόν. Conf. Menag. ad Diog. Laert. III, 19.)

123. Ἐκ τοῦ βαλανείου ἐξιών, τῷ μὲν πυθομένῳ, εἰ πολλοὶ ἄνθρωποι λοῦνται, ἠρνήσατο· τῷ δ', εἰ πολὺς ὄχλος, ὡμολόγησε.

(Diogenes Laertius lib. VI, 40.)

124. Πλάτωνος ὁρισαμένου, Ἄνθρωπός ἐστι ζῷον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγκεν αὐτοῦ εἰς τὴν σχολὴν καί φησιν· Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος. Ὅθεν τῷ ὅρῳ προσετέθη τὸ πλατυώνυχον.

(Diogenes Laertius lib. VI, 40.)

125. Πρὸς τὸν πυθόμενον, ποίᾳ ὥρᾳ δεῖ ἀριστᾶν· Εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ.

(Diogenes Laertius lib. VI, 40.)

126. Ἐν Μεγαρεῦσιν ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνούς, ἔφη· Λυσιτελέστερόν ἐστι Μεγαρέως εἶναι κριόν, ἢ υἱόν.

(Diogenes Laertius lib. VI, 41. Similiter Ælianus Var. hist. lib. XII, 56 : Διογένης ὁ Σινωπεὺς ἔλεγε πολλά, τὴν ἀμαθίαν καὶ τὴν ἀπαιδευσίαν τῶν Μεγαρέων διαβάλλων, καὶ ἐβούλετο Μεγαρέως ἀνδρὸς κριὸς εἶναι μᾶλλον, ἢ υἱός. Ἠνίττετο δέ, ὅτι τῶν θρεμμάτων ποιοῦνται πρόνοιαν οἱ Μεγαρεῖς, τῶν παίδων δὲ οὐχί. Plutarchus De cupiditate divitiarum cap. 7, vol. X p. 156 ed. Hutten. : ὥς που καὶ Διογένης ἐπέσκωψεν, εἰπών· Μεγαρέως ἀνδρὸς βέλτιον εἶναι κριόν, ἢ υἱὸν γενέσθαι. Cæterum oves propter lanæ bonitatem pellibus integebantur, ne lana inquinaretur. Vid. Varronem De re rustic. lib. II, cap. 2.)

127. Πρὸς τὸν ἐντινάξαντα αὐτῷ δοκόν, εἶτα εἰπόντα, Φύλαξαι· Πάλιν γάρ με, ἔφη, παίειν μέλλεις;

(Diogenes Laertius lib. VI, 41. Idem apophthegma Diogenes lib. VI, 66 hisce commemorat verbis : πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκόν, εἶτα εἰπόντα Φύλαξαι, πλήξας αὐτὸν τῇ βακτηρίᾳ, εἶπε· Φύλαξαι.)

128. Ἔλεγε τοὺς μὲν δημαγωγοὺς ὄχλου διακόνους τοὺς δὲ στεφάνους δόξης ἐξανθήματα.

(Diogenes Laertius lib. VI, 41.)

129. Λύχνον μεθ' ἡμέραν ἅψας περιήει λέγων· Ἄνθρωπον ζητῶ.

(Diogenes Laertius lib. VI 41. Quod Diogeni Cynico hic tribuitur, jam prius fecerat Æsopus, si fides Phædro lib. III Fab. XIX ita scribenti : Et quidam e turba garrulus, Æsope, medio sole, quid cum lumine? Hominem, inquit, quæro.)

130. Εἱστήκει ποτὲ κατακρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη· Εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι, ἀπόστητε, ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ.

(Diogenes Laertius lib. VI, 41.)

131. Ἐντρίψαντος αὐτῷ κόνδυλόν τινος· Ἡράκλες, ἔφη, οἷόν με χρῆμα ἐλάνθανε τὸ μετὰ περικεφαλαίας περιπατεῖν.

(Diogenes Laertius lib. VI, 41.)

132. Μειδίου κονδυλίσαντος αὐτὸν καὶ εἰπόντος, Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ, τῇ ἑξῆς πυκτικοὺς λαβὼν ἱμάντας καὶ καταλοήσας αὐτὸν ἔφη· Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ.

(Diogenes Laertius lib. VI, 42. Cæterum quod ad τρισχίλιαι [δραχμαί] attinet, hujusmodi mulctam iis qui alios tali injuria afficiebant tum ir-

---

123. Balneo egressus sciscitanti, num multi lavarent homines, negavit; at quærenti, lavaretne magna turba, rem ita se habere affirmavit.

124. Quum Plato hominem definivisset animantem bipedem atque implumem, eaque re doctrinæ famam consecutus esset, Diogenes gallum gallinaceum vulsum in ejus scholam intulit, dicens : *ecce homo Platonicus.* Quocirca definitioni adjecta sunt verba *latis unguibus.*

125. Interroganti, quanam hora prandere oporteret : *Si quis,* inquit, *dives est, quando vult; si pauper, quando potest.*

126. Apud Megarenses oves conspicatus pellibus tectas, filios vero eorum nudos : *Præstat,* inquit, *Megarensis arietem esse quam filium.*

127. Ei qui trabem ipsi impegerat posteaque dixerat : Cave; *Num,* inquit, *iterum me ferire vis?*

128. Oratores quidem plebis ministros, coronas autem gloriæ accessiones vocabat.

129. Lucerna interdiu accensa oberrans : *Hominem,* ajebat, *quæro.*

130. Stabat aliquando destillantibus de tecto aquis perfusus; his vero qui circumstabant misericordia illum prosequentibus, Plato qui aderat : *Si vultis,* inquit, *ejus misereri, abscedite,* illius gloriæ cupiditatem significans.

131. Quum quidam ei pugnum in caput impegisset, *Hercle,* ait, *qualem rem ignorabam, me galea indutum ambulare debere.*

132. Quum Midias pugnis eum cecidisset dixissetque, *Tria drachmarum millia tibi in mensa posita sunt,* postridie Diogenes ubi eum sumtis pugilum cæstibus contudit : *Tria drachmarum,* inquit, *millia tibi in mensa posita sunt.*

ogatam esse ex hoc loco bene collegit J. Taylorus in Præfatione ad Demosthenis orationem ontra Midiam pag. 7.)

133. Αυσίου τοῦ φαρμακοπώλου πυθομένου, εἰ θεοὺς ομίζει· Πῶς δέ, εἶπεν, οὐ νομίζω, ὅπου καί σε θεοῖς χθρὸν ὑπολαμβάνω;

(Diogenes Laertius lib. VI, 42. Idem dictum ervavit Arrianus Dissert. Epict. III, 22.)

134. Ἰδών τινα περιῤῥαινόμενον ἐπεῖπεν· Ὦ κακόαιμον, οὐκ ἐπίστασαι, ὅτι ὥσπερ τῶν ἐν γραμματικῇ μαρτημάτων περιῤῥαινόμενος οὐκ ἂν ἀπαλλαγείης, ὕτως οὐδὲ τῶν ἐν τῷ βίῳ;

(Diogenes Laertius lib. VI, 42.)

135. Ἐνεκάλει τοῖς ἀνθρώποις περὶ τῆς εὐχῆς, αἰεῖσθαι λέγων αὐτοὺς ἀγαθὰ τὰ αὐτοῖς δοκοῦντα, καὶ ὐ τὰ κατὰ ἀλήθειαν.

(Diogenes Laertius lib. VI, 42.)

136. Πρὸς τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν, ς ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, οὐκ ἐπιστρέφονται· πὲρ ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραμονοῦσιν.

(Diogenes Laertius lib. VI, 43.)

137. Ὀλυμπίασι τοῦ κήρυκος ἀνειπόντος· Νικᾷ ιώξιππος ἄνδρας, Οὗτος μὲν δὴ ἀνδράποδα, ἄνδρας ἐγώ.

(Diogenes Laertius lib. VI, 43. Cf. supra agm. 98.)

138. Μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς ίλιππον, καὶ ἐρωτηθείς, τίς εἴη, Κατάσκοπος, ἔφη, ῆς σῆς ἀπληστίας· ὅθεν θαυμασθεὶς ἀφείθη.

(Diogenes Laertius lib. VI, 43. Paulo aliter efert Plutarchus in libro De adulatoris et amici iscrimine vol. VII pag. 226 ed. Hutten.: Εὖ δὲ αὶ Διογένης, ὃς ἐπεὶ παρελθὼν εἰς τὸ τοῦ Φιλίππου στρατόπεδον, ὅτε τοῖς Ἕλλησιν ἐβάδιζε μαχούμενος, ἀνήχθη πρὸς αὐτόν· ὁ δὲ ἀγνοῶν, ἠρώτησεν εἰ κατάσκοπός ἐστι· Πάνυ μὲν οὖν, ἔφη, κατάσκοπος, ὦ Φίλιππε, τῆς ἀβουλίας σου καὶ τῆς ἀνοίας, δι' ἣν οὐδενὸς ἀναγκάζοντος ἔρχῃ περὶ βασιλείας καὶ τοῦ σώματος ὥρᾳ μιᾷ διακυβεύσων. Cf. Arrian. Dissert. Epict. lib. III cap. 22.)

139. Ἀλεξάνδρου ποτὲ πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας διά τινος Ἀθλίου παρὼν ἔφη· Ἄθλιος παρ' ἀθλίου δι' ἀθλίου πρὸς ἄθλιον.

(Diogenes Laertius lib. VI, 44.)

140. Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτόν, ἀποκτενεῖν, ἔφη· Οὐδὲν μέγα· καὶ γὰρ κανθαρὶς καὶ φαλάγγιον τοῦτ' ἂν πράξειεν· ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἠξίου, ὡς, εἰ καὶ χωρὶς ἐμοῦ ζήσαι, εὐδαιμόνως ζήσοιτο.

(Diogenes Laertius lib. VI, 44. Membranarum lectionem κάνθαρος mutavi in καντθαρίς. Simile Theodori apophthegma servavit Cicero Tusc. lib. V cap. 40 ita scribens : Theodorus Lysimacho mortem minitanti, Magnum vero, inquit, effecisti, si cantharidis vim consecutus es.)

141. Ἑβόα πολλάκις λέγων, τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δὲ αὐτῶν ζητούντων μελίπηκτα καὶ μύρα καὶ τὰ παραπλήσια.

(Diogenes Laertius lib. VI, 44.)

142. Πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον, Οὔπω, εἶπε, μακάριος εἶ, ἂν μή σε καὶ ἀπομύξῃ.

(Diogenes Laertius lib. VI, 44.)

143. Θεασάμενός ποτε τοὺς ἱερομνήμονας τῶν ταμιῶν τινα φιάλην ὑφῃρημένον ἀπάγοντας, ἔφη· Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἀπάγουσιν.

(Diogenes Laertius lib. VI, 45.)

---

133. Lysia pharmacopola sciscitante, num deos esse ederet : *Quidni*, inquit, *credam, quum te etiam diis visum esse putem?*

134. Conspicatus quendam aquis lustratum sic insuper locutus est : O miser, tune ignoras, non magis in vita roribus aquæ aspersione te liberari posse, quam peccas in dicendo?

135. Homines de precibus reprehendebat, dicens eos uæ ipsis bona viderentur, non quæ revera bona essent, diis precari.

136. Eis qui somnia admirarentur dicebat: *De illis quidem negotiis, quæ vigilantes agitis, non laboratis; quæ vero dormientes imaginamini, in ea nimium inquiritis.*

137. Quum Olympiæ præco pronuntiaret; Dioxippus ros vicit: *Hic*, ait, *mancipia, viros autem ego.*

138. Post pugnam ad Cbæroneam commissam captivus Philippum adductus est; a quo quis esset interrogatus : *xplorator*, inquit, *insatiabilis cupiditatis tuæ;* quo responso quum regi sui admirationem injecisset, dimissus est.

139. Quum epistolam aliquando Alexander Athenas ad Antipatrum per Athliam (sive Athlium, quod Miserum significat) quendam misisset, Diogenes præsens : *Miser*, inquit, *a Misero per Miserum ad Miserum scripsit.*

140. Perdiccæ mortem, nisi ad se veniret, ei minato, Nihil, inquit, magni facies; idem enim et cantharis et phalangium facere possit. Illud potius minitandum prædicabat, ipsum etiam sine me beate vivere posse.

141. Sæpe magna voce clamabat, deos hominibus victum facilem præbuisse, sed illum latere quærentibus placentas mellitas, unguenta et similia.

142. Ei qui a famulo calceabatur : Nondum, inquit, beatus es, nisi et nares tibi emungat.

143. Quum vidisset aliquando scribas præfectorum sacri ærarii quendam phialam furatum in carcerem ducere : Magni, inquit, fures parvum ducunt.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

144. Θεασάμενός ποτε μειράκιον λίθους βάλλον ἐπὶ σταυρόν· Εὖγε, ἔφη, τεύξῃ γὰρ τοῦ σκοποῦ.

(Diogenes Laertius lib. VI, 45.)

145. Πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα, Βλέπωμεν μὴ δάκῃ ἡμᾶς, Θαῤῥεῖτε, ἔφη, παιδία· κύων τευτλία οὐκ ἐσθίει.

(Diogenes Laertius lib. VI, 45. Est enim beta genus oleris quod quum tenerrimum ac mollissimum caulem et folia habeat, omnium hortensium levissimum esse Plinius Nat. hist. lib. XIX, 8, 40 scribit. Hinc *betizare* Augustus pro *languere* dixit teste Suetonio in ejus vita cap. 87. Simile Cynici dictum est apud Laertium lib. VI, 61 : δύο μαλακῶν ὑποκρυπτομένων αὐτοὺς ἔφη· Μὴ εὐλαβεῖσθε, κύων τεῦτλα οὐ τρώγει.)

146. Πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον· Παῦσαι, ἔφη, τὰ τῆς ἀρετῆς στρώματα καταισχύνων.

(Diogenes Laertius lib. VI, 45.)

147. Πρὸς τὸν μακαρίζοντα Καλλισθένην καὶ λέγοντα, ὡς πολυτελῶν παρὰ Ἀλεξάνδρῳ μετέχει, Κακοδαίμων μὲν οὖν ἐστιν, εἶπεν, ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ, ὅταν Ἀλεξάνδρῳ δόξῃ.

(Diogenes Laertius lib. VI, 45. At de Aristotele et Philippo hoc dixisse Diogenem tradit Plutarchus libr. De exsilio cap. 12, vol. X p. 379 ed. Hutten. his verbis : τὸ τοῦ Διογένους· Ἀριστοτέλης ἀριστᾷ, ὅταν δοκῇ Φιλίππῳ· Διογένης, ὅταν Διογένει.)

148. Πρὸς τὸ κοτταβίζον ἐν τῷ βαλανείῳ μειράκιόν φησιν· Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον.

(Diogenes Laertius lib. VI, 46. Sensus autem hic est : Quo perfectior in ista arte haberis, eo turpior homo es.)

149. Χρημάτων δεόμενος ἀπαιτεῖν ἔλεγε τοὺς φίλους, οὐκ αἰτεῖν.

(Diogenes Laertius lib. VI, 46.)

150. Τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας τρισανθρώπους ἐκάλει ἀντὶ τοῦ τρισαθλίους.

(Diogenes Laertius lib. VI, 47.)

151. Τὸν πλούσιον ἀμαθῆ πρόβατον εἶπε χρυσόμαλλον.

(Diogenes Laertius lib. VI, 47. Alii aliter hoc dictum referunt. Theo sophista in Progymnasmatis : Διογένην τὸν Κυνικὸν φιλόσοφον, ἰδόντα μειράκιον πλούσιον ἀπαίδευτον, φασὶν εἰπεῖν, οὗτός ἐστι ῥύπος περιηργυρωμένος. Sic etiam Maximus in Sententiis, quamquam sunt qui ibi ἵππος περιηργυρωμένος legant.)

152. Θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον, Πράσιμος, Ἥδειν, εἶπεν, ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσοις τὸν κεκτημένον.

(Diogenes Laertius lib. VI, 47.)

153. Πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, Οἱ ἐνθάδε, ἔφη, λουσάμενοι ποῦ λοῦνται;

(Diogenes Laertius lib. VI, 47.)

154. Παχέος κιθαρῳδοῦ πρὸς πάντων μεμφομένου, αὐτὸς μόνος ἐπῄνει. Ἐρωτηθεὶς δὲ διὰ τί; ἔφη· Ὅτι τηλικοῦτος ὢν κιθαρῳδεῖ καὶ οὐ ληστεύει.

(Diogenes Laertius lib. VI, 47.)

155. Τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο, Χαῖρε ἀλέκτωρ· τοῦ δὲ εἰπόντος, διὰ τί; Ὅτι, ἔφη, ᾄδων πάντας ἐγείρεις.

(Diogenes Laertius lib. VI, 48.)

156. Μειρακίου ἐπιδεικνυμένου πληρώσας τὸ προκόλπιον θέρμων ἄντικρυς ἔκαπτε· τοῦ δὲ πλήθους εἰς αὐτὸν ἀφορῶντος, θαυμάζειν ἔφη, πῶς ἐκεῖνον ἀφέντες αὐτὸν ὁρῶσι.

---

144. Intuitus aliquando adolescentulum crucem lapidibus appetentem : Euge, inquit, scopum feries.

145. Circumstantibus adolescentibus atque dicentibus, *Caveamus ne nos mordeat. Bono*, inquit, *animo estote, pusiones; betis enim canis non vescitur.* [Quod alii *pathicis* a Cynico dictum narrant.]

146. Cuidam pelle leonina, qua integebatur, superbienti : Desine, inquit, virtutis stragula inquinare.

147. Quum a quodam beatus prædicaretur Callisthenes, quod lautis ab Alexandro cœnis acciperetur, Diogenes : *Immo vero miserest*, inquit, *qui tum prandet ac coenat, quum Alexandro videtur.*

148. Adolescenti in balneis cottabo ludenti : *Quanto*, inquit, *melius, tanto deterius.*

149. Quum pecuniis egeret, eas se ab amicis repetere, non petere dicebat.

150. Oratores et omnes in dicendo gloriam quærentes *ter homines* pro eo quod est *ter infelices* appellabat.

151. Hominem locupletem, sed indoctum ovem aureo vellere tectam vocabat.

152. Quum vidisset prodigi hominis domum venalem litteris inscriptam, *Sciebam*, inquit, *fore ut ita ebria facile dominum evomeres.*

153. Immundum ingressus balneum, *Qui hic lavarunt*, ait, *ubi abluuntur?*

154. Citharœdum crassum ac pinguem, reprehensum ab omnibus, solus ipse laudabat, interrogatusque cur id faceret, *Quoniam*, inquit, *talis quum sit, fidibus tamen potius canit quam latrocinatur.*

155. Citharœdum qui semper ab auditoribus desereba-tur, ita salutavit : *Salve galle.* Eo autem, *Cur ita?* scis-citante, *Quia*, inquit, *cantu tuo omnes excitas.*

156. Quum adolescens in concione recitaret, exadversum ipse lupinos, quibus sinum impleverat, comedere cœpit : multitudine igitur eum aspectante, mirari se ait, qua ratione illo dimisso se intuerentur.

Diogenes Laertius lib. VI, 48.)

. Λέγοντος αὐτῷ τινος ἰσχυρῶς δεισιδαίμονος, πληγῇ τὴν κεφαλήν σου διαῤῥήξω, Ἐγὼ δέ γε εἶπε, πταρὼν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω.

Diogenes Laertius lib. VI, 48. De hoc superstitionis genere vide Plutarch. vit. Themist. cap. Xenoph. Anab. III, 2, 5; Theocrit. VII, 96; interpretes ad Cicer. de Divin. II, 40. Adde Morini dissertationem *sur les souhaits en faveur de ceux qui éternuent* in *Mémoires de l'Académie des Inscriptions*, t. V p. 436. In primis memorabilis est Plutarchi locus in libro de Socratis genio cap. XI, vol. X, pag. 315 ed. Hutten. : Μεγαρικοῦ τινος ἤκουσα (Τερψίωνος δὲ ἐκεῖνος), ὅτι τὸ Σωκράτους δαιμόνιον πταρμὸς ἦν, ὅ τε παρ' αὐτοῦ καὶ ὁ παρ' ἄλλου· ἑτέρου μὲν πταρόντος ἐκ δεξιᾶς, εἴτ' ὄπισθεν, εἴτε κατὰ πρόσθεν, ὁρμᾶν αὐτὸν ἐπὶ τὴν πρᾶξιν, εἰ δ' ἐξ ἀριστερᾶς, ἀποτρέπεσθαι.)

3. Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν διαγραμμάτων, Μάταιος, ἔφη, τυγχάνεις, ὦ Ἡγησία· ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινὰς, ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς.

Diogenes Laertius lib. VI, 48.)

9. Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγήν, Ἀλλὰ σοῦ γε ἕνεκεν, εἶπεν, ὦ κακόδαιμον, ἐφιλοσόφησα.

Diogenes Laertius lib. VI, 49.)

0. Εἰπόντος τινός, Σινωπεῖς σου φυγὴν κατέγνωσαν· Ἐγὼ δέ γε, εἶπεν, ἐκείνων μονήν.

Diogenes Laertius lib. VI, 49. Idem narrat Plutarchus De exsilio cap. 7, vol. X pag. 372 ed. Hutten. : Διὸ καὶ Διογένης ὁ Κύων πρὸς τὸν εἰπόντα· Σινωπεῖς σου φυγὴν ἐκ Πόντου κατέγνωσαν· Ἐγὼ δέ, ἔφη, ἐκείνων ἐν Πόντῳ μονήν, Ἄκραις ἐπὶ ῥηγμῖσιν οἰκοῦντα Πόντου [Eurip. Iph. Taur. 253].

1. Ἰδών ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, Ταχέως, εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα.

(Diogenes Laertius lib. VI, 49.)

162. Ἐρωτηθείς, διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη, Ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται.

(Diogenes Laertius lib. VI, 49.)

163. Ἤτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, Μελετῶ, εἶπεν, ἀποτυγχάνειν.

(Diogenes Laertius lib. VI, 49. Idem testatur Plutarchus De vitioso pudore cap. 7, vol. X p. 171 ed. Hutten. : Διογένης μὲν οὖν τοὺς ἀνδριάντας ᾔτει περιὼν ἐν Κεραμεικῷ, καὶ πρὸς τοὺς θαυμάζοντας ἔλεγεν ἀποτυγχάνειν μελετᾶν.)

164. Αἰτῶν τινα (καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν) ἔφη· Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενί, ἀπ' ἐμοῦ ἄρξαι.

(Diogenes Laertius lib. VI, 49.)

165. Ἐρωτηθείς ποτε ὑπὸ τυράννου, ποῖος εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα, ἔφη· Ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκεύθησαν.

(Diogenes Laertius lib. VI, 50. Cæterum idem apophthegma tribuitur Antiphonti a Plutarcho in libro De adul. et amici discr. cap. 40, vol. VII pag. 218 ed. Hutten. : κακῶς δὲ καὶ Ἀντιφῶν παρὰ Διονυσίῳ ζητήσεως οὔσης περὶ λόγου, ποῖος χαλκὸς ἄριστος· Ἐκεῖνος (εἶπεν) ἐξ οὗ κατεσκεύασαν Ἀθηναῖοι τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας. Cf. vit. X orat. vol. XII p. 223.)

166. Ἐρωτηθείς, πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη, Ὡς θυλάκοις, τοὺς μὲν πλήρεις χρημνῶν, τοὺς δὲ κενοὺς ῥίπτων.

(Diogenes Laertius lib. VI, 50.)

167. Νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, Ὁ τοῦ Διὸς παῖς καλλίνικος Ἡρακλῆς ἐνθάδε κατοικεῖ, μηδὲν εἰσίτω κακόν· ἐπέγραψε· Μετὰ τὸν πόλεμον ἡ συμμαχία.

---

7. Dicente ipsi homine quodam valde superstitioso, *ictu caput tibi perfringam, At ego certe*, respondit, *sinistra sternuens terrorem tibi incutiam.*

8. Hegesia ipsum rogante, ut sibi librum quendam commodaret, *Ineptus es*, inquit, *Hegesia, qui caricas eligis non pictas, sed veras eligis, vera autem exercitatione neglecta ad scriptam te confers.*

9. Ei qui ipsi exsilium exprobrabat, *Sed idcirco, inquit, o miser, utique philosophatus sum.*

0. Dicente quodam, *Exsilio te Sinopenses mulctarunt*, *At ego*, inquit, *illos mansione.*

1. Intuitus aliquando Olympionicen oves pascentem, *O bone vir*, inquit, *ab Olympiis ad Nemea* [i. e. *Nemea*] *transiisti.*

2. Interrogatus, cur stupidi essent athletæ, respondit : *Quia ex suillis carnibus et bubulis constant.*

163. Pecuniam aliquando a statua exigebat; rogatus autem cur hoc faceret: *Meditor*, inquit, *repulsam ferre.*

164. Quum pecuniam a quopiam peteret (quippe hoc primum ob egestatem fecerat) dicebat : *Siquidem et alii dedisti, mihi quoque da; si vero nemini, a me incipe.*

165. Interrogatus aliquando a tyranno, quod æs ad faciendam statuam bonum esset, respondit : Illud, ex quo Harmodius et Aristogiton fusi sunt.

166. Rogatus, quomodo Dionysius amicis uteretur, *Ut saccis*, ait, *quos dum pleni sunt suspendit, vacuos tamen abjicit.*

167. Quum vir qui nuper uxorem duxerat domui suæ inscripsisset : *Jovis filius Hercules victor hic habitat; nihil ingrediatur mali*, adjecit Diogenes : *post bellum armorum societas.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Diogenes Laertius lib. VI, 50.)

168. Τὴν φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν.

(Diogenes Laertius lib. VI, 50. Hanc vero sententiam Bioni assignat Stobæus Flor. I, 38. Ejusdem memor Joannes Chrysostomus Homil. LXIV in Matthæum sic scribit : διὰ ταῦτα οἱ μὲν ἔξωθεν μητρόπολιν τῶν κακῶν τὴν φιλαργυρίαν ἐκάλεσαν· ὁ δὲ μακάριος Παῦλος βέλτιον καὶ ἐμφατικώτερον ῥίζαν αὐτὴν πάντων τῶν κακῶν εἰπών.)

169. Ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα ἔφη· Εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις.

(Diogenes Laertius lib. VI, 50.)

170. Τοὺς ἀγαθοὺς ἄνδρας θεῶν ἔλεγεν εἰκόνας εἶναι, τὸν ἔρωτα σχολαζόντων ἀσχολίαν.

(Diogenes Laertius lib. VI, 51. Similiter Thecphrastus apud Stobæum Flor. LXIV, 29 : Θεόφραστος ἐρωτηθεὶς τί ἐστιν ἔρως· πάθος, ἔφη, ψυχῆς σχολαζούσης.)

171. Ἐρωτηθείς, τί ἄθλιον ἐν βίῳ, ἔφη· Γέρων ἄπορος.

(Diogenes Laertius lib. VI, 51.)

172. Ἰδών ποτε δύο Κενταύρους κάκιστα ἐζωγραφημένους ἔφη· Πότερος τούτων Χείρων ἐστί;

(Diogenes Laertius lib. VI, 51.)

173. Τὸν πρὸς χάριν λόγον ἔφη μελιτίνην ἀγχόνην εἶναι. Τὴν γαστέρα Χάρυβδιν ἔλεγε τοῦ βίου.

(Diogenes Laertius lib. VI, 51.)

174. Ἀκούσας ποτέ, ὅτι Διδύμων ὁ αὐλητὴς μοιχὸς ἑάλω· Ἄξιος, ἔφη, ἐκ τοῦ ὀνόματος κρέμασθαι.

(Diogenes Laertius lib. VI, 51. At Theo Sophista in Progymnasm. illud tanquam factum his verbis narrat : Δίδυμος (leg. Διδύμων) ὁ αὐλητής, ἁλοὺς ἐπὶ μοιχείᾳ, ἐκ τοῦ ὀνόματος ἐκρεμάσθη.)

175. Ἰδὼν γυναῖκα ἐν φορείῳ, Οὐ κατὰ τὸ θηρίον, ἔφη, ἡ γαλεάγρα.

(Diogenes Laertius lib. VI, 51.)

176. Ἰδὼν ὀραπέτην ἐπὶ φρέατι καθήμενον ἔφη· Μειράκιον, βλέπε, μὴ ἐμπέσῃς.

(Diogenes Laertius lib. VI, 52. Est autem φρέαρ et *putens* et οἰκαστηρίου nomen apud Athenienses. Vid. Pollux Onom. VIII cap. 10.)

177. Ἰδὼν μειρακύλλιον ἱματιοκλέπτην ἐν τῷ βαλανείῳ ἔφη· Ἐπ' ἀλειμμάτιον ἢ ἐπ' ἄλλο ἱμάτιον;

(Diogenes Laertius lib. VI, 52.)

178. Ἰδών ποτε γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, Εἴθε γάρ, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν.

(Diogenes Laertius lib. VI, 52.)

179. Ἰδὼν λωποδύτην ἔφη· τίπτε σὺ ὧδε, φέριστε; Ἦ τινα συλήσων νεκύων κατατεθνηώτων;

(Diogenes Laertius lib. VI, 52. Ipsius Cynici verba sunt τίπτε σὺ ὧδε, φέριστε; Qui sequitur versus, petitus est ex Iliade, lib. X, 343.)

180. Ἐρωτηθείς, εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη· Οὔ. Τοῦ δὲ εἰπόντος, Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη, Ὁ χρῄζων τῆς οἰκίας.

(Diogenes Laertius lib. VI, 52.)

181. Πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἵ' ἀγοράζεις.

(Diogenes Laertius lib. VI, 53. Versus est Iliad. XVIII, 95, nisi quod apud Homerum legitur ἀγορεύεις. Hoc enim Cynicus mutavit in ἀγοράζεις.)

182. Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, Ἐγώ, εἶπεν, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ· τραπεζότητα

---

168. Avaritiam malorum omnium parentem esse dixit.

169. Prodigum hominem intuitus olivas in deversorio edentem : *Si sic prandisses*, ait, *non ita cœnares.*

170. Bonos viros deorum imagines esse dicebat, amorem autem otiosorum negotium.

171. Interrogatus, quidnam esset in vita miserum, *Senex*, inquit, *egens.*

172. Conspicatus aliquando duos Centauros pessime pictos : *Uter horum*, inquit, *Chiron* (i. e. pejor) *est.*

173. Adulatorum sermonem melleum esse laqueum ait. Ventrem vitæ Charybdim appellabat.

174. Quum aliquando Didymonem tibicinem in adulterio deprehensum esse audivisset : *Dignus est*, inquit, *qui ex ipso nomine* (ex Didymis i. e. testiculis) *suspendatur.*

175. Mulierem in lectica sedentem conspicatus, *O indignam*, inquit, *tali bellua caveam.*

176. Quum fugitivum super puteum sedentem vidisset : *Cave*, inquit, *adolescens, ne incidas.*

177. Cernens adolescentulum vestimentorum furem in balneo : *Ad unctionem*, inquit, *venis, an ad aliud vestimentum?*

178. Quum vidisset aliquando mulieres ex olivæ ramis strangulatas pendere : *Utinam*, inquit, *omnes arbores hujusmodi fructum ferrent.*

179. Conspicatus vestium furem sic allocutus est : *Sed hic quid, vir bone, quæris? tune aliquem e vita functis spoliare laboras?*

180. Interrogatus, num servulam vel servulum haberet, negavit. Dicenti autem, *Si ergo mortem obieris, quis te funere efferet?* respondit : *Qui domo indiget.*

181. Hominem qui sumtuosa obsonia coemebat, sic affatus est : *Haud longævus eris, fili, mihi; tantus es emtor.*

182. Platone de ideis disserente ac mensæ et cyathi notiones nominante, *Equidem*, inquit, *o Plato, mensam et cyathum video, mensæ vero et cyathi notiones nequaquam video.* Tum ille, *Recte*, inquit; *quibus enim*

κυαθότητα οὐδαμῶς. Καὶ ὅς, Κατὰ λόγον, ἔφη· ὃν γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις; ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις;

(Diogenes Laertius lib. VI, 53. Alii hoc dicunt Antistheni tribuunt. Ammonius ad Porphyr. de quinque categoriis : ὁ Ἀντισθένης ἔλεγε τὰ γένη καὶ εἴδη ἐν ψιλαῖς ἐπινοίαις εἶναι, λέγων, ὅτι ἵππον μὲν ὁρῶ, ἱππότητα δὲ οὐχ ὁρῶ. Vid. Antisthenis fragm. 44.)

189. Ἐρωτηθεὶς (Πλάτων) ὑπό τινος, Ποῖός τίς σοι μάντις δοκεῖ; Σωκράτης, εἶπε, μαινόμενος.

(Diogenes Laertius lib. VI, 54. Ita hunc locum cum Menagio emendavi. Similiter Ælianus Var. hist. lib. XIV cap. 33 : εἰώθει δέ, φασίν, ὁ Πλάτων τὸν Διογένους λέγειν, ὅτι μαινόμενος οὗτος Σωκράτης ἐστί.)

190. Ἐρωτηθείς, ποίῳ καιρῷ δεῖ γαμεῖν, ἔφη· τοὺς μὲν νέους μηδέπω, τοὺς δὲ πρεσβυτέρους μηδεπώποτε.

(Diogenes Laertius lib. VI, 54. Ita fere etiam Thales judicabat. Vid. Philos. Græc. Fragm. vol. I, pag. 227, fragm. 6.)

191. Ἐρωτηθείς, τί θέλοι κονδύλου λαβεῖν, Περικεφαλαίαν, ἔφη.

(Diogenes Laertius lib. VI, 54.)

192. Ἰδών ποτε μειράκιον ἐρυθριῶν, Θάρρει, ἔφη, νεανίσκε· τοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα.

(Diogenes Laertius lib. VI, 54.)

193. Δυοῖν ποτε νομικοῖν ἀκούσας τοὺς δύο κατέγνω, εἰπών, τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ ἀπολωλέναι.

(Diogenes Laertius lib. VI, 54.)

194. Ἐρωτηθείς, ποῖον οἶνον ἡδέως πίνει, ἔφη· Τὸν ἀλλοτρίων.

(Diogenes Laertius lib. VI, 54.)

189. Πρὸς τὸν εἰπόντα, Πολλοί σου καταγελῶσιν, Ἀλλ' ἐγώ, ἔφη, οὐ καταγελῶμαι.

(Diogenes Laertius lib. VI, 54. Sic et Plutarchus vit. Fabii Maximi cap. 10, vol. I p. 448 ed. Hutten. : ἀλλ' ὥσπερ Διογένης ὁ σοφός, εἰπόντος τινὸς πρὸς αὐτόν, Οὗτοί σου καταγελῶσιν, Ἀλλ' ἐγώ, εἶπεν, οὐ καταγελῶμαι· μόνους ἡγούμενος καταγελᾶσθαι τοὺς ἐνδιδόντας, καὶ πρὸς τὰ τοιαῦτα διαταραττομένους.)

190. Ἐρωτηθείς, ποταπὸς εἴη κύων, ἔφη· Πεινῶν Μελιταῖος, χορτασθεὶς δὲ Μολοττικός, τούτων οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι διὰ τὸν πόνον συνεξιέναι αὐτοῖς ἐπὶ τὴν θήραν· οὕτως οὐδὲ ἐμοὶ δύνασθε συμβιοῦν· διὰ τὸν φόβον τῶν ἀλγηδόνων.

(Diogenes Laertius lib. VI, 55. Cf. supra fragm. 97.)

191. Ἐρωτηθείς, εἰ σοφοὶ πλακοῦντα ἐσθίουσι, Πάντ', εἶπεν, ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι.

(Diogenes Laertius lib. VI, 56. In eandem sententiam Demonax apud Lucianum in ejus vita : Ἐρομένῳ δέ τινι, εἰ καὶ αὐτὸς πλακοῦντας ἐσθίει, Οἴει οὖν, ἔφη, τοῖς μωροῖς τὰς μελίσσας τιθέναι τὰ κηρία;)

192. Φιλάργυρον ἤτει, τοῦ δὲ βραδύνοντος, Ἄνθρωπε, εἶπεν, εἰς τροφήν σε αἰτῶ, οὐκ εἰς ταφήν.

(Diogenes Laertius lib. VI, 56.)

193. Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη· Ἦν ποτε χρόνος, ὅτ' ἤμην ἐγὼ τοιοῦτος, ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ ἔσῃ οὐδέποτε. Καὶ πρὸς ἄλλον ἐπὶ τῷ αὐτῷ ὀνειδίσαντα, Καὶ γὰρ ἐνεύρουν θᾶττον, ἀλλὰ νῦν οὔ.

(Diogenes Laertius lib. VI, 56.)

194. Εἰς Μύνδον ἐλθών, καὶ θεασάμενος μεγάλας

...ta cyathusque spectatur, oculos habes; quo autem ...x et cyathi notiones cernuntur, animum non ...is.

193. Plato a quodam interrogatus, qualis ipsi videretur ...enes, respondit : *Socrates furens.*

194. Interrogatus, quo tempore ducenda esset uxor : *...nibus,* inquit, *nondum, senioribus vero nunquam.*

195. Interrogatus, quid merere vellet, ut ipsi pugnus ...iput impingeretur, *Galeam,* respondit.

196. Conspicatus aliquando adolescentem rubore suffu..., *Bono animo,* inquit, *esto; nam talis est virtutis ...r.*

197. Quum duos aliquando audivisset juris interpretes, ...navit utrumque, alterum quidem furatum esse dicens, ...um vero non amisisse.

198. Rogatus, quale vinum libenter biberet, respondit : *...num.*

199. Dicenti cuidam, *Multi te irrident, At ego,* inquit, *...irrideor.*

190. Interrogatus, qualis esset canis, *Esuriens,* inquit, *Melitæus, satur vero Molossicus, ex eorum numero quos plerique quidem laudant, sed tamen ob laborem non audent cum illis venatum exire; ita nec mecum propter dolorum metum vivere potestis.*

191. Rogatus, num sapientes placentis vescerentur, *Omnibus,* inquit, *sicut et cæteri homines.*

192. Poscebat quiddam ab homine avaro, atque illo cunctante, *Ad cibum,* inquit, *homo, id a te peto, non ad sepulturam.*

193. Homini monetæ adulterationem quondam exprobranti, *Fuit tempus,* inquit, *quum talis eram, qualis tu nunc es; qualis autem ego nunc sum, tu nunquam eris.* Alteri vero idem exprobranti, *Nempe antea,* inquit, *in lectum mingebam; at nunc non amplius.*

194. Myndum profectus quum videret magnas portas urbemque parvam, *Myndii,* inquit, *portas claudite, ne urbs vestra egrediatur.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, Ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ.

(Diogenes Laertius lib. VI, 57.)

195. Θεασάμενός ποτε πορφυροκλέπτην πεφωραμένον ἔφη· Ἕλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

(Diogenes Laertius lib. VI, 57. Versus est Iliad. V, 83.)

196. Κρατέρου ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, Ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἅλα λείχειν, ἢ παρὰ Κρατέρῳ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν.

(Diogenes Laertius lib. VI, 57. Craterus hic unus ex Alexandri M. ducibus est, de quo vide Arrian. lib. VII, 12, 3, Curtium lib. VI, 6, 33, Plinium XXXV, 13.)

197. Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, Ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρός· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις.

(Diogenes Laertius lib. VI, 57. Intelligendus Anaximenes, rhetor Lampsacenus, cui Rhetorica ad Alexandrum, quæ inter Aristotelis scripta exstat, tribui solet. Fuit enim hic Diogenis Cynici discipulus. Vid. Ruhnken. Hist. crit. orat. græc. in Opusc. vol. I pag. 353 ed. Friedemann.)

198. Διαλεγομένου ποτὲ τοῦ αὐτοῦ, τάριχος προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δέ, Τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν.

(Diogenes Laertius lib. VI, 57.)

199. Ὀνειδιζόμενός ποτε, ὅτι ἐν ἀγορᾷ ἔφαγεν, Ἐν ἀγορᾷ γάρ, ἔφη, καὶ ἐπείνησα.

(Diogenes Laertius lib. VI, 58.)

200. Πλάτων θεασάμενος αὐτὸν λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἶπεν αὐτῷ, Εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες· ὁ δὲ ἀπεκρίνατο ὁμοίως ἡσυχῇ, Καὶ σὺ εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύσιον ἐθεράπευες.

(Diogenes Laertius lib. VI, 58. Alii hoc dictum Aristippo tribuunt. Cf. Diog. Laert. lib. II, 68.)

201. Πρὸς τὸν εἰπόντα· Οἱ πλείους σου καταγελῶσι· Κἀκείνων τυχόν, εἶπεν, οἱ ὄνοι, ἀλλ' οὔτ' ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτ' ἐγὼ ἐκείνων.

(Diogenes Laertius lib. VI, 58.)

202. Θεασάμενος μειράκιον φιλοσοφοῦν, Εὖγε, εἶπεν, ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις.

(Diogenes Laertius lib. VI, 58.)

203. Θαυμάζοντός τινος τὰ ἐν Σαμοθράκῃ ἀναθήματα, ἔφη· Πολλῷ ἂν ἦν πλείω, εἰ καὶ οἱ μὴ σωθέντες ἀνετίθεσαν.

(Diogenes Laertius lib. VI, 59. Antrum fuit in Samothracia insula Hecates sacrum ac Zerynthi nomine appellatum. Eo confugiebant qui de rebus suis periclitantes sacrificio Hecatæ et Corybantibus facto salvos se fore existimabant. Suidas: ἐν Σαμοθράκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακα κινδύνων τινῶν. Ἦν δὲ ἐκεῖσε καὶ τὰ τῶν Κορυβάντων μυστήρια, καὶ τὰ τῆς Ἑκάτης, καὶ τὸ Ζήρυνθον ἄντρον, ἢ κύνας ἔθυον. Ἐν κινδύνοις οὖν γενόμενοι ἐπεκαλοῦντο τοὺς θαίμονας ἐπιφανῆναι καὶ ἀλεξῆσαι. Ἐδόκουν δὲ οἱ μεμυημένοι ταῦτα ἐκ τῶν δεινῶν σώζεσθαι καὶ ἐκ χειμώνων. Cf. Schol. ad Nicandri Theriac. v. 460 pag. 186 ed. Didot. et ad Aristoph. Pac. Addit Laertius: οἱ δὲ τοῦτο Διαγόρου φασὶ τοῦ Μηλίου, inter quos et Cicero de Nat. Deor III, 37 ita scribens: At Diagoras quum Samothraciam venisset, atheos ille qui dicitur, atque ei quidam amicus, Tu, qui deos putas humana negligere, nonne animadvertis ex tot tabulis pictis, quam multi votivam tempestatis effugerint in portumque salvi pervenerint? Ita fit, inquit; illi enim nusquam picti sunt qui naufragia fecerunt in marique perierunt.)

---

195. Quum vidisset aliquando hominem in purpuræ furto deprehensum, *Hunc*, inquit,

Purpureum cepit fatum violentaque Parca.

196. Cratero postulante, ut Diogenes ad ipsum proficisceretur, *At malo*, inquit, *salem Athenis lingere, quam apud Craterum luxuriosius epulari.*

197. Quum Anaximenem, oratorem, qui pingui corpore erat, adiisset, *Da, sodes*, inquit, *et nobis pauperibus ventris tui partem; quippe et ipse onere levaberis et nobis proderis.*

198. Eodem aliquando disserente, salsamentum protendens Diogenes auditores in se convertit; indignante autem illo, *Disputationem*, inquit, *Anaximenis unius oboli salsamentum dissolvit.*

199. Reprehensus aliquando, quod in foro ederet, *foro enim*, ait, *etiam esurivi.*

200. Quum vidisset illum Plato olera lavantem, dens placide ei dixit, *Si Dionysium coleres, olera non lavares.* Cui Diogenes æque placide respondit, *tu si olera lavares, Dionysium non coleres.*

201. Dicenti cuidam, Multi te irrident, *Et illos*, *fortasse asini; verum nec illi asinos curant, nec illos.*

202. Conspecto adolescentulo philosophante, *Bene faci* inquit, *quod corporis amatores ad animi pulchritudinem traducis.*

203. Admirante quodam ea quæ in Samothracia visuntur donaria, *Multo*, ait, *plura essent, si etiam illi qui servati non sunt, dona deæ dedicassent.*

201. Εὐμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον ἔφη, Χείρων ἐπανήξεις. Τοῦ δὲ ἐπανελθόντος καὶ τῇ ἑξῆς εἰπόντος, Καὶ ἀπῆλθον, καὶ χείρων οὐκ ἐγενόμην· Χείρων μὲν οὔ, Εὐρυτίων δέ.

(Diogenes Laertius lib. VI, 59. Non Chironi, nobili Centauro, eum comparat, sed Eurytioni, de quo vide Odyss. lib. XXI, 295 seqq. Videtur enim Diogeni Εὐρυτίων quasi εὐρύπρωκτος esse.)

205. Δύσκολον ἤτει· τοῦ δὲ εἰπόντος, Ἐάν με πείσῃς, ἔφη, Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισα ἄν σε ἀπάγξασθαι.

(Diogenes Laertius lib. VI, 59.)

206. Ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον, Ποῖ καὶ πόθεν; Ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, εἰς τὴν γυναικωνῖτιν.

(Diogenes Laertius lib. VI, 59. Vid. Antisth. fragm. 127.)

207. Ὁ αὐτός, ἐπεὶ Ἀντίπατρος αὐτῷ πολλὰ κατὰ τῆς μητρὸς ἔγραψεν, ἀγνοεῖς, ἔφη, Ἀντίπατρε, ὅτι μητρὸς ἓν δάκρυον πολλὰς διαβολῶν ἐπιστολὰς ἀπαλείφει.

(Florilegium Monacense sent. 157 in Stobæi Florileg. vol. IV pag. 279 ed. Meinek. Cf. Flor. Lugdunobatav. p. 22.)

208. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς (φασὶ) τοῦτον ἐπιγράψαι· ἀπὸ τῆς τῶν Ἑλλήνων ἀκρασίας.

(Diogenes Laertius lib. VI, 60. Alii Cratetem ita judicasse auctores sunt. Plutarchus de Alexandri M. fortuna orat. II cap. 3, vol. IX pag. 58 ed. Hutten.: Ὁ μὲν οὖν Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς ἑταίρας ἑστῶσαν ἐν Δελφοῖς, ἀνέκραγεν, ὅτι τοῦτο τῆς τῶν Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε. Athenæus lib. XIII p. 591 B : αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος Πεντελικοῦ· κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης. Ὃν καὶ θεασάμενος Κράτης ὁ Κυνικὸς ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα.)

209. Ἀλεξάνδρου ποτὲ ἐπιστάντος αὐτῷ καὶ εἰπόντος, Ἐγώ εἰμι Ἀλεξάνδρος ὁ μέγας βασιλεύς· Κἀγώ, φησί, Διογένης ὁ κύων.

(Diogenes Laertius lib. VI, 60.)

210. Ἐρωτηθείς, τί ποιῶν κύων καλεῖται, ἔφη, Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων.

(Diogenes Laertius lib. VI, 60.)

211. Ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος, Αὐτόθεν πρώην ἄνθρωπος ἀπήγξατο, Ἐγὼ οὖν, φησίν, αὐτὴν καθαρῶ.

(Diogenes Laertius lib. VI, 61.)

212. Ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, Ἴδε, ἔφη, κριὸν ἀρειμάνιον, ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται.

(Diogenes Laertius Lib. VI, 61. Similiter Plutarchus De curiositate cap. 12: ὁ μὲν γὰρ Διογένης θεασάμενος εἰσελαύνοντα τὸν Ὀλυμπιονίκην Διώξιππον ἐφ' ἅρματος, καὶ γυναικὸς εὐμόρφου θεωμένης τὴν πομπήν, ἀποσπάσαι τὰς ὄψεις μὴ δυνάμενον, ἀλλ' ὑποβλέποντα καὶ παρεπιστρεφόμενον, Ὁρᾶτε, εἶπε, τὸν ἀθλητὴν ὑπὸ παιδισκαρίου τραχηλιζόμενον; Conf. Ælian. Var. hist. XII, 58.)

213. Τὰς εὐπρεπεῖς ἑταίρας ἔλεγε θανασίμῳ μελικράτῳ παραπλησίας εἶναι.

(Diogenes Laertius lib. VI, 61.)

214. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον, Κύον· ὁ δέ, Ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε.

(Diogenes Laertius lib. VI, 61.)

215. Περὶ παιδὸς πεπορνευκότος ἐρωτηθείς, πόθεν εἴη, Τεγεάτης, ἔφη.

---

204. Formoso adolescentulo convivium ineunti: *Chiron*, (i. e. deterior), inquit, *redibis*. Illi autem redeunti ac postridie dicenti, *Inii convivium, nec tamen deterior factus sum, Non quidem*, inquit, *deterior* (Chiron), *sed laxior* (Eurytion).

205. Petebat quiddam ab homine moroso; quo dicente, Si mihi persuaseris, *Equidem*, inquit, *si persuadere possem, suasissem, ut te suspenderes.*

206. Revertebatur Lacedæmone Athenas; interrogatus igitur, quo pergeret et unde veniret, respondit, *A viris ad mulieres.*

207. Idem, quum Antipater in epistola ad ipsum missa matri obtrectasset, Ignoras, inquit, Antipater, unam matris lacrimam multas contumeliosas epistolas delere.

208. Quum Phryne meretrix auream Venerem Delphis dedicasset, in hac Diogenem inscripsisse ajunt: *Ex Græcorum intemperantia.*

209. Alexandro quondam subito illi superveniente et dicente, *Ego sum Alexander magnus ille rex: At ego*, inquit, *Diogenes canis.*

210. Interrogatus, quidnam faciens canis vocaretur, *Quod iis*, inquit, *blandior qui dant, eos vero qui non dant allatro, malos autem mordeo.*

211. A ficu quadam poma legebat; quum autem arboris custos ipsi diceret, *De hac ipsa ficu nudius tertius homo se suspendit, Ego igitur*, inquit, *illam purgabo.*

212. Conspicatus Olympionicen in scortum sæpius oculos defigentem, *Vide*, inquit, *ut aries pugnax a vili puella obtorto collo trahatur.*

213. Formosas meretrices letali mulso similes esse dicebat.

214. Prandenti in foro homines circumstantes continenter acclamabant: *Canis.* At ille, *Vos*, ait, *canes estis, qui me prandentem circumstatis.*

215. De puero scortato, cujus esset, interrogatus, *Tegeates* (e lupanari), inquit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Diogenes Laertius lib. VI, 61. Lusus verborum est, quasi Τεγεάτης a τέγος ductum sit, quod *lupanar* significat. Vid. Jacobs. ad Anthol. Pal. p. 717.)

216. Ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα, ἔφη, Τί τοῦτο; ἢ ἵνα τοὺς ποτέ σε νικήσαντας νῦν καταβάλῃς;

(Diogenes Laertius lib. VI, 62.)

217. Θεασάμενος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, Πρόσεχε, ἔφη, μὴ τὸν πατέρα πλήξῃς.

(Diogenes Laertius lib. VI, 62. In eandem sententiam Aphthonii interpres scribit : Διογένης ἰδὼν μειράκιον ἐκ μοιχοῦ, βάλλον εἰς πλῆθος λίθους, Οὐ παύσῃ, ἔφη, μειράκιον, μὴ ἀγνοοῦν παίσῃς σου τὸν πατέρα;)

218. Δείξαντος αὐτῷ παιδαρίου μάχαιραν, ἣν εἰλήφει παρὰ ἐραστοῦ, Ἡ μὲν μάχαιρα, ἔφη, καλή, ἡ δὲ λαβὴ αἰσχρά.

(Diogenes Laertius lib. VI, 62. Sensus est hic : Gladius mihi placet, quia pulcher est; at displicet teterrima gladii accepti causa. Nam λαβή non solum capulum, sed etiam ansam et occasionem designat.)

219. Ἐπαινούντων τινῶν τὸν ἐπιδόντα αὐτῷ, ἔφη, Ἐμὲ δ' οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν;

(Diogenes Laertius lib. VI, 62.)

220. Ἀπαιτούμενος ὑπό τινος τρίβωνα, ἔφη, Εἰ μὲν ἐχαρίσω, ἔχω· εἰ δὲ ἔχρησας, χρῶμαι.

(Diogenes Laertius lib. VI, 62.)

221. Ὑποβολιμαίου τινὸς εἰπόντος αὐτῷ, ὅτι χρυσὸν ἔχει ἐν τῷ ἱματίῳ, Ναί, ἔφη, διὰ τοῦτο αὐτὸν ὑποβεβλημένος κοιμῶμαι.

(Diogenes Laertius lib. VI, 62. Scripsi αὐτὸν ὑποβεβλημένος, codd. αὐτὸ ὑποβεβλημένος. Cæterum verborum lusum qui est in ὑποβολιμαῖος et ὑποβεβλημμένος etiam latine exprimere tentavi.)

222. Ἐρωτηθείς, πόθεν εἴη, Κοσμοπολίτης, ἔφη.

(Diogenes Laertius lib. VI, 63.)

223. Θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι ἔφη· Περὶ δὲ τοῦ, ποταπὸς ἐκβῇ, οὐ θύετε;

(Diogenes Laertius lib. VI, 63.)

224. Ἔρανόν ποτε ἀπαιτούμενος πρὸς τὸν ἐρανάρχην ἔφη· Τοὺς ἄλλους ἐράνιζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

(Diogenes Laertius lib. VI, 63. In versu Homerico pro ἐνάριζ' Cynicus substituit ἐράνιζ'. Ita enim recte locum jam Menagius emendavit.)

225. Ψηφισαμένων Ἀθηναίων Ἀλέξανδρον Διόνυσον, Κἀμέ, ἔφη, Σάραπιν ποιήσατε.

(Diogenes Laertius lib. VI, 63. Cf. Ælian. Var. hist. II, 19.)

226. Ἐν ἱερῷ δειπνῶν μεταξὺ ῥυπαρῶν ἄρτων παρατεθέντων, ἄρας αὐτοὺς ἔῤῥιψεν, εἰπών, Εἰς ἱερὸν μηδὲν δεῖν ῥυπαρὸν εἰσιέναι.

(Diogenes Laertius lib. VI, 64.)

227. Πρὸς τὸν εἰπόντα, Οὐδὲν εἰδὼς φιλοσοφεῖς, ἔφη, Εἰ καὶ προσποιοῦμαι σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι.

(Diogenes Laertius lib. VI, 64.)

228. Πρὸς τὸν συνιστάντα τὸν παῖδα καὶ λέγοντα, ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος, Τί οὖν, εἶπεν, ἐμοῦ χρῄζει;

(Diogenes Laertius lib. VI, 64. Simile Diogenis dictum commemorat Arrianus Dissert. Epictet. II, 3 : καλῶς ὁ Διογένης πρὸς τὸν ἀξιοῦντα γράμματα παρ' αὐτοῦ λαβεῖν συστατικά, ὅτι, εἰ μὲν ἄνθρωπος, φησίν, εἶ, καὶ ἰδὼν γνώσεται, εἰ δ' ἀγαθὸς ἢ κακός, εἰ μὲν ἔμπειρός ἐστι διαγνῶναι τοὺς ἀγαθοὺς καὶ κακούς, γνώσεται, εἰ δ' ἄπειρος, οὐδ' ἂν μυριάκις γράψω αὐτῷ. Ὅμοιον γάρ, ὥσπερ εἰ δραχμὴ συσταθῆναί τινι ἠξίου, ἵνα δοκιμασθῇ. Εἰ ἀργυρογνωμονικός ἐστι, σὺ σαυτὴν συστήσεις.)

---

216. Quum vidisset ignavum luctatorem medicinam profitentem, *Quid hoc?* inquit, *an, ut eos qui te aliquando vicerunt, nunc vicissim prosternas?*

217. Scorti filium in turbam lapides jacientem intuitus, *Cave*, ait, *ne patrem percutias.*

218. Puerulo gladium ipsi ostendente, quem ab amatore acceperat, *Gladius*, inquit, *pulcher est, sed capulus fœdus.*

219. Laudantibus hominem nonnullis qui Diogeni aliquid donaverat, Me autem, inquit, non laudatis qui munere dignus fui?

220. Repetente quodam ab eo pallium, *Si donasti,* inquit, *possideo; sin autem commodasti, eo utor.*

221. Subdito quodam filio ei dicente, *Aurum habes in pallio, Sane,* inquit, *idcirco eo subdito dormio.*

222. Rogatus, cujas esset, mundi civem se esse respondit.

223. Quum parentes quidam diis sacrificarent, filium ab iis impetraturi, Qualis autem, inquit, evasurus sit, sacrificantes non curatis.

224. Quum symbola aliquando ab eo posceretur, colligenti dixit : *Æra alios posces, cohibe sed ab Hectore dextram.*

225. Atheniensibus Alexandro Liberi patris honores decernentibus, *Et me,* inquit, *Serapin declarate.*

226. Interea, dum cœnat in fano, quum sordidi, id est, secundarii panes ipsi apositi essent, sublatos abjecit, dicens in templum nihil oportere sordidum ingredi.

227. Dicenti eum rerum omnium ignarum philosophari, *Etsi*, inquit, *sapientiam simulo, hoc quoque philosophari est.*

228. Filium commendanti dicentique eum ingenio excellere et optime moratum esse : *Quid ergo,* inquit, *me indiget?*

29. Ἰδών ποτε νεανίσκον θηλυνόμενον, Οὐκ αἰ-
γη, ἔφη, χείρονα τῆς φύσεως περὶ σαυτοῦ βουλευό-
ις; Ἢ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σαυτὸν
η γυναῖκα εἶναι.

Diogenes Laertius lib. VI, 65. Huc fortasse
inet Athenæi locus lib. XIII p. 565 C : Διο-
ς δὲ ἰδών τινα οὕτως ἔχοντα τὸ γένειον ἔφησε, Μή
χεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ
υναῖκα ;)

30. Ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, Οὐκ
ύνῃ, ἔφη, τοὺς μὲν φθόγγους τῷ ξύλῳ προσαρ-
των, τὴν δὲ ψυχὴν εἰς τὸν βίον μὴ ἁρμόττων ;

Diogenes Laertius lib. VI, 65.)

31. Πρὸς τὸν εἰπόντα, Ἀνεπιτήδειός εἰμι πρὸς
σοφίαν, Τί οὖν, ἔφη, ζῇς, εἰ τοῦ καλῶς ζῆν οὐ
ι σοι;

Diogenes Laertius lib. VI, 65.)

32. Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρός, Οὐκ
ύνῃ, ἔφη, καταφρονεῖν τούτου, δι' οὗ μέγα φρο-

Diogenes Laertius lib. VI, 65. At hoc Plato-
dixisse refert Stobæus Floril. LXXIX, 43 :
των θρασυνόμενον ἰδών τινα πρὸς τὸν ἑαυτοῦ πα-
· οὐ παύσει μειράκιον, εἶπε, τούτου καταφρονῶν,
ν μέγα φρονεῖν ἀξιοῖς,)

33. Ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα,
αἰσχύνῃ, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολυβδίνην
ὸν μάχαιραν ;

Diogenes Laertius lib. VI, 65.)

34. Ὀνειδιζόμενος, ὅτι ἐν καπηλείῳ πίνει, Καὶ ἐν
είῳ, φησί, κείρομαι.

Diogenes Laertius lib. VI, 66.)

35. Ὀνειδιζόμενος, ὅτι παρὰ Ἀντιπάτρου τριβώ-
νιον ἔλαβεν, ἔφη· Οὗτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα
δῶρα.

(Diogenes Laertius lib. VI, 66. Versus est Homeri Iliad. III, 65.)

236. Πρὸς τὸν λιπαροῦντα τῇ ἑταίρᾳ, Τί θέλεις, ἔφη, τυχεῖν, ὦ ταλαίπωρε, οὗ τὸ ἀποτυχεῖν ἄμεινόν ἐστι;

(Diogenes Laertius lib. VI, 66.)

237. Πρὸς τὸν μυριζόμενον, Βλέπε, εἶπε, μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυσωδίαν σου τῷ βίῳ παράσχῃ.

(Diogenes Laertius lib. VI, 66.)

238. Τοὺς μὲν οἰκέτας ἔφη δεσπόταις, τοὺς δὲ φαύλους ἐπιθυμίαις δουλεύειν.

(Diogenes Laertius lib. VI, 66.)

239. Ἐρωτηθείς, διὰ τί ἀνδράποδα ἐκλήθη, Ὅτι, φησί, τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν ὁποίαν σὺ νῦν ὁ ἐξετάζων.

(Diogenes Laertius lib. VI, 67. Aliter Eustathius ad Odyss. lib. I pag. 1416 : ἀνδράποδα, δι' ὧν δοῦλοι σημαίνονται ὑποκείμενοι δεσπόταις, καὶ ὄντες αὐτοῖς ὥσπερ οἱ κατωτάτω πόδες ὅλῳ τῷ ἄνω σώματι. Cf. eundem ad Iliad. VII, 475.)

240. Ὀνειδιζόμενος, ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, Κἀκεῖνος, εἶπεν, αἰτεῖ, ἀλλ'

Ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

(Diogenes Laertius lib. VI, 67.)

241. Ἰδὼν τοξότην ἀφυῆ παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών, Ἵνα μὴ πληγῶ.

(Diogenes Laertius lib. VI, 67.)

242. Τοὺς ἐρῶντας ἔφη πρὸς ἡδονὴν ἀτυχεῖν.

(Diogenes Laertius lib. VI, 67.)

243. Ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, Πῶς, εἶπε, κακός, οὗ παρόντος οὐκ αἰσθανόμεθα ;

---

29. Conspicatus quondam juvenem effeminatum, *Non et*, inquit, *te delerius quam naturam ipsam de te uere? Illa enim virum te fecit, tu feminam te fieri s.*

0. Hominem insipientem videns psalterium contendere is, *Non erubescis*, inquit, *sonos ligno aptare, quum num ad vitam non accommodes?*

1. Dicenti cuidam, *Idoneus ad philosophiam non , Quid ergo*, inquit, *vivis, si honeste vivere non s?*

2. Patrem contemnenti, *Non erubescis*, inquit, *eum emnere, cujus beneficio altos spiritus geris?*

3. Videns formosum juvenem stulte loquentem, *Non et*, inquit, *te ex eburnea vagina plumbeum educere lium?*

4. Reprehensus, quod in caupona biberet, *Et in tonna*, inquit, *tondeor.*

5. Exprobranti quod ab Antipatro palliolum tritum acsset, dixit : *Rejicienda deûm non sunt insinia dona.*

236. Supplicante quodam meretrici, Quid vis, inquit, consequi, miser, quod satius sit non consequi?

237. Unguentis delibuto, *Vide*, inquit, *ne bonus capitis tui odor fœtorem vitæ tuæ præstet.*

238. Servos quidem dominis, malos autem homines cupiditatibus servire ajebat.

239. Interrogatus, cur mancipia *andrapoda* appellarentur, respondit : *Quia pedes quidem virorum, animum autem habent, qualem tu qui hoc quæris.*

240. Reprehensus, quod ipse stipem colligeret, Platone non mendicante, Etiam ille, inquit, mendicatur,

Sed capite admoto, reliqui ne forte resciscant.

241. Conspicatus imperitum sagittarium juxta scopum consedit, dicens, Ne forte percutiar.

242. Amantes dicebat delectationis causa esse infortunatos.

243. Interrogatus num mala esset mors, respondit : *Qui mala sit, quam non sentimus præsentem?*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Diogenes Laertius lib. VI, 68.)

244. Πρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα, Οὐ φοβῇ με; Τί γάρ, εἶπεν, εἶ; ἀγαθὸν ἢ κακόν; Τοῦ δὲ εἰπόντος, Ἀγαθόν· Τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται;

(Diogenes Laertius lib. VI, 68.)

245. Τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι.

(Diogenes Laertius lib. VI, 68.)

246. Πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντά ποτε κόρης ὀφθαλμόν, Ὅρα, φησί, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου θεραπεύων τὴν κόρην φθείρῃς.

(Diogenes Laertius lib. VI, 68.)

247. Εἰπόντος τινός, ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, Καὶ τί δεῖ πράττειν, ἔφη, εἰ δεήσει τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι;

(Diogenes Laertius lib. VI, 68.)

248. Ἐρωτηθείς, τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη· Παῤῥησία.

(Diogenes Laertius lib. VI, 69.)

249. Εἰσελθὼν εἰς διδασκάλου, καὶ Μούσας μὲν ἰδὼν πολλάς, μαθητὰς δὲ ὀλίγους, Σὺν θεοῖς, ἔφη, διδάσκαλε, πολλοὺς μαθητὰς ἔχεις.

(Diogenes Laertius lib. VI, 69. Simile est illud Stratonici citharœdi apud Athenæum lib. VIII p. 348, D : διδάσκων γὰρ κιθαριστάς, ἐπειδὴ ἐν τῷ διδασκαλείῳ εἶχεν ἐννέα μὲν εἰκόνας τῶν Μουσῶν, τοῦ δὲ Ἀπόλλωνος μίαν, μαθητὰς δὲ δύο, πυνθανομένου τινὸς πόσους ἔχοι μαθητάς, ἔφη, Σὺν τοῖς θεοῖς δώδεκα.)

250. Πρᾶσιν ἤνεγκε γενναιότατα· πλέων γὰρ εἰς Αἴγιναν, καὶ πειραταῖς ἁλούς, ὧν ἦρξε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη, Ἀνθρώπων ἄρχειν. Ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν Ξενιάδην, ἔφη· Τούτῳ με πώλει, οὗτος δεσπότου χρῄζει. Ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον, ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιιὼν ἔλεγεν· Ἀγαθὸς δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. Φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι· τὸν δὲ εὐθέως αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων· δούλου γὰρ τὸ φοβεῖσθαι· τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι.

(Diogenes Laertius lib. VI, 74-75.)

251. Διογένης ἰδών τινα ἐξυρημένον τὸ γένειον, ἔφησεν· Μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ οὐ γυναῖκα; Ἕτερον δέ τινα ἐπὶ ἵππου ἰδὼν παραπλησίως ἔχοντα, καὶ μεμυρισμένον, καὶ τούτοις ἀκολούθως ἠμφιεσμένον, πρότερον μὲν ἔφη ζητεῖν, τί ἐστιν ὁ ἱππόπορνος, νῦν δὲ εὑρηκέναι.

(Athenæus lib. XIII p. 565 c. ed. Casaubon. Conf. fragm. 229.)

252. Διογένης πρὸς τοὺς ἐγκαλοῦντας αὐτῷ ἀποτραχυνομένῳ ἔλεγεν· Εἰ δ' ἠδυνάμην καὶ τὴν γαστέρα τρίψας τῆς πείνης καὶ τῆς ἐνδείας παύσασθαι. — Διογένης τε τῇ ἑαυτοῦ πολιτείᾳ νόμισμα εἶναι νομοθετεῖ ἀστραγάλους.

(Athenæus lib. IV pag. 158 F. et pag. 159 C

---

244. Alexandro supervenienti ac dicenti, *Non times me?* *Quid enim*, inquit, *es? bonum an malum?* Dicente illo *bonum*, *Quis ergo*, ait, *bonum timet?*

245. Doctrinam adolescentibus moderationem, senioribus solatium, pauperibus divitias, divitibus ornamentum esse dixit.

246. Didymoni adultero curanti aliquando puellæ oculum, *Vide*, inquit, *ne virginis oculum curans pupillam* [i. e. puellam] *corrumpas.*

247. Dicente quodam, ipsi amicos insidiari, *Sed quid*, inquit, *facere oportet, si æque amicis atque inimicis utendum erit?*

248. Rogatus, quid inter homines honestissimum esset, respondit : *Loquendi libertas.*

249. Scholam aliquando ingressus quum multas Musarum imagines, paucos autem discipulos vidisset, *Cum deabus*, inquit, *præceptor, multos habes discipulos.*

250. Sui auctionem fortissime pertulit. Quum enim in insulam Æginam navigaret atque a piratis esset captus, quorum dux erat Scirpalus, in Cretam abductus ac venditus est. Præcone autem interrogante, quid sciret facere, respondit : *Hominibus imperare ;* simulque digito monstrans Corinthium quendam prætextatum, Xeniadem *Huic*, inquit, *me vende : hic enim domino indig* Emit igitur illum Xeniades Corinthumque secum duct filiolis præceptorem dedit, totamque domum ei commi Is vero omnino eam ita administravit, ut ille circumi diceret : Bonus genius domum meam ingressus est. Re fert Cleomenes in libro qui Pædagogus inscribitur, fa liares suos illum redimere voluisse, ipsum vero eos fati vocasse. Neque enim leones servos esse nutrientium, se contra illos servire leonibus. Nam servi timere est, fe vero hominibus terrori esse.

251. Diogenes quum quendam mentum rasum hab vidisset : *An tu*, inquit, *exprobrandum esse putas n turæ, quod virum te fecit, non feminam?* Alterum v conspicatus simili specie in equo sedentem, unguentis o libutum atque his deliciis convenienter vestitum, se pri quæsivisse dixit, quid foret *hippopornus* (scortum equ stre), nunc autem invenisse.

252. Diogenes reprehensus, quod corpus fricaret, *U nam*, inquit, *etiam fricato ventre famis et indigenti finem reperire possem.* — Diogenes in sua Republica lege tulit, ut pro nummis tali cederent.

Scripsit Cynicus librum de Republica, quem commemorat Diogenes Laertius lib. VI, 80.)

253. Διογένης ὁ φιλόσοφος ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν ἔνδοξος γίγνοιτο, ἀπεκρίνατο, ὅτι ἥκιστα δόξης φροντίζων.

(Theo Sophist. Progymnasm. cap. V περὶ χρείας.).

254. Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς ἐπιστὰς Διογένει κοιμωμένῳ εἶπεν·

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.

[Iliad. II, 24] καὶ ὁ Διογένης ἀπεκρίνατο·

Ὦ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν.

[Iliad. II, 25].

(Theo Sophist. Progymnasm. cap. V περὶ χρείας. Confer Arrian. Dissert. Epic. III, cap. XXII, 92.)

255. Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν, εἰπών, Τί γὰρ ταῦτα παιδεύεις;

(Theo Sophist. in exemplis pag. 121 ed. Basil.)

256. Διογένης λέγει, ὅτι ὁ θάνατος οὐκ ἔστι κακόν, οὐδὲ γὰρ αἰσχρόν. Λέγει, ὅτι εὐδοξία ψόφος ἐστὶ μαινομένων ἀνθρώπων. Τὸ δὲ γυμνὸν εἶναι λέγει, ὅτι κρεῖσσόν ἐστι πάσης περιπορφύρου· τὸ δὲ ἐπ' ἀστρώτῳ πέδῳ καθεύδειν λέγει, ὅτι μαλακωτάτη κοίτη ἐστίν. Καὶ ἀπόδειξιν φέρει ἑκάστου, τὸ θάρσος τὸ αὐτοῦ, τὴν ἀταραξίαν, τὴν ἐλευθερίαν, εἶτα καὶ τὸ σωμάτιον στίλβον καὶ συνεστραμμένον.

(Arrian. Dissert. Epictet. I cap. XXIV § 6-8.)

257. Διογένης τῶν σοφιστῶν τινα ἔδειξεν ἐκτείνας τὸν μέσον δάκτυλον, εἶτα ἐκμανέντος αὐτοῦ, Οὗτός ἐστιν, ἔφη, ὁ δεῖνα· ἔδειξα ὑμῖν αὐτόν.

(Arrian. Dissert. Epictet. III cap. II § 11.)

258. Διογένης που λέγει, μίαν εἶναι μηχανὴν πρὸς ἐλευθερίαν τὸ εὐκόλως ἀποθνήσκειν, καὶ τῷ Μακεδόνων βασιλεῖ γράφει, ὅτι τὴν Ἀθηναίων πόλιν καταδουλώσασθαι οὐ δύνασαι· οὐ μᾶλλον, φησίν, ἢ τοὺς ἰχθύας. Πῶς; οὐ γὰρ λήψομαι αὐτούς; Ἂν λάβῃς, φησίν, εὐθὺς ἀπολιπόντες σε οἰχήσονται, καθάπερ οἱ ἰχθύες. Καὶ γὰρ ἐκείνων ὃν ἂν λάβῃς, ἀπέθανε· καὶ οὗτοι ληφθέντες ἐὰν ἀποθνήσκωσι, τί σοί ἐστι τῆς παρασκευῆς ὄφελος;

(Arrian. Dissert. Epictet. IV, cap. I § 30. 31. Scripsi ex Orellii conjectura τῷ Μακεδόνων βασιλεῖ rejecta vulgata lectione τῷ Περσῶν βασιλεῖ.)

259. Διογένης ἔλεγε τῷ σωτηρίας δεομένῳ ζητεῖν προσήκειν ἢ φίλον σπουδαῖον, ἢ διάπυρον ἐχθρόν, ὅπως ἐλεγχόμενος ἢ θεραπευόμενος ἀποφεύγῃ τὴν κακίαν.

(Plutarchus De profect. in virtute vol. VII pag. 259 ed. Hutten. Idem De adulat. et amici discrim. cap. 51 : ὥσπερ Διογένης ἔλεγεν, ὅτι τῷ μέλλοντι σώζεσθαι δεῖ φίλους ἀγαθοὺς ἢ διαπύρους ἐχθροὺς ὑπάρχειν· οἱ μὲν γὰρ διδάσκουσιν, οἱ δ' ἐλέγχουσιν.)

260. Διογένης ἐν Κορίνθῳ τὸν υἱὸν τοῦ Διονυσίου θεασάμενος ἰδιώτην ἐκ τυράννου γεγενημένον, Ὡς ἀναξίως, ἔφη, Διονύσιε, σεαυτοῦ πράττεις. Οὐ γὰρ ἐνταῦθά σε μεθ' ἡμῶν ἔδει ζῆν ἐλευθέρως καὶ ἀδεῶς, ἀλλ' ἐκεῖ τοῖς τυραννείοις ἐγκατῳκοδομημένον, ὥσπερ ὁ πατήρ, ἄχρι γήρως ἐγκαταβιῶσαι.

(Plutarchus in libello num seni gerenda sit respublica cap. 1, vol. XII, pag. 100 ed. Hutten. Idem in vit. Timoleontis cap. 15 sic scribit : ὁ Σινωπεὺς Διογένης ἀπαντήσας τῷ Διονυσίῳ, Ὡς ἀναξίως, ἔφη, Διονύσιε, ζῇς. Ἐπιστάντος δὲ ἐκείνου καὶ εἰπόντος· Εὖ ποιεῖς, ὦ Διόγενες, συναχθόμενος ἡμῖν ἠτυχηκόσιν, Τί γάρ, εἶπεν ὁ Διογένης, οἴει μέ σοι συναλγεῖν, οὐδὲ ἀγανακτεῖν, ὅτι τοιοῦτον ἀνδράποδον ὤν,

---

253. Diogenes philosophus interrogatus a quodam, quomodo gloriam consequi posset, respondit, *Si laudis studio non traheretur.*

254. Alexander Macedonum rex Diogeni dormienti superveniens ait :

Stertere perpetuam non dignum est principe noctem.

Cui Diogenes respondit :

Cui populi salus et tanta negotia curæ.

255. Diogenes quum adolescentem vidisset protervum, educatorem ejus pulsavit, dicens : *Cur hæc doces?*

256. Diogenes mortem negat esse malum, quia ne turpis quidem sit. Gloriam esse ait insanientium hominum strepitum. Nudum esse dicit rem cuivis togæ prætextæ antehonendam; in nudo autem solo dormientem affirmat in mollissimo lecto cubare. Cæterum singulorum quæ dicit signa esse vult suam ipsius fiduciam, suam animi tranquillitatem, suam libertatem, denique etiam corpusculum suum *nitidum* et compactum.

257. Diogenes porrecto medio digito sophistam quendam monstravit, deinde illo irritato, *Hic*, inquit, *est ille; monstravi eum vobis.*

258. Diogenes alicubi dicit, unam esse rationem retinendæ libertatis non gravate mori, et Macedonum regi scribit, eum Atheniensium civitatem non posse in servitutem redigere; non magis, ait, quam pisces. Quomodo? non capiam eos? Si ceperis, inquit, statim te relicto abibunt, sicut pisces. Namque illorum quemcunque ceperis, moritur. Atque hi capti si moriantur, quid tibi proderit belli apparatus?

259. Diogenes ait eum qui salvus esse velit quærere debere aut bonum amicum aut acerrimum inimicum, ut vel reprehensus vel correctus vitium fugiat.

260. Diogenes quum filium Dionysii tyranni Corinthi videret privatum ex tyranno factum, Quam indignam, inquit, te ipso vitam degis! Non enim hic te libere ac tuto nobiscum vivere oportebat, sed in patria regiæ inclusum patris tui exemplo ad senectutem venire.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καὶ τοῖς τυραννείοις, ὥσπερ ὁ πατήρ, ἐπιτήδειος ἐγγηράσας ἀποθανεῖν, ἐνταῦθα παίζων καὶ τρυφῶν διάγεις μεθ' ἡμῶν;)

261. Διογένης ἐρωτηθείς, ὅπως ἄν τις ἀμύναιτο τὸν ἐχθρόν, Αὐτός, ἔφη, καλὸς κἀγαθὸς γενόμενος.

(Plutarchus De audiendis poetis vol. VII, p. 80 ed. Hutten.)

262. Περὶ Διογένους τοῦ Σινωπέως ἱστοροῦσιν ἀρχομένου φιλοσοφεῖν, ὡς Ἀθηναίοις ἦν ἑορτή, καὶ δεῖπνα πολυτελῆ, καὶ θέατρα, καὶ συνουσίας μετ' ἀλλήλων ἔχοντες ἐχρῶντο κώμοις καὶ παννυχίσιν· ὁ δ' ἔν τινι γωνίᾳ τῆς ἀγορᾶς συνεσπειραμένος ὡς καθευδήσων ἐνέπιπτεν εἰς λογισμοὺς τρέποντας αὐτὸν οὐκ ἀτρέμα καὶ θραύοντας, ὡς ὑπ' οὐδεμιᾶς ἀνάγκης εἰς ἐπίπονον καὶ ἀλλόκοτον ἥκων βίον αὐτὸς ἐφ' ἑαυτοῦ κάθηται τῶν ἀγαθῶν ἁπάντων ἐστερημένος. Εἶτα μέντοι μῦν τινα προσερπύσαντα λέγεται περὶ τὰς ψίχας αὐτοῦ τῆς μάζης ἀναστρέφεσθαι. Τὸν δ' αὖθις ἀναφέρειν τῷ φρονήματι, καὶ λέγειν πρὸς ἑαυτὸν οἷον ἐπιπλήττοντα καὶ κακίζοντα· Τί φῄς, ὦ Διόγενες; τοῦτον μὲν εὐωχεῖ τὰ σὰ λείμματα καὶ τρέφει, σὺ δ' ὁ γενναῖος, ὅτι μὴ μεθύεις ἐκεῖ κατακείμενος ἐν ἁπαλοῖς καὶ ἀνθινοῖς στρώμασιν, ὀδύρῃ καὶ θρηνεῖς σεαυτόν;

(Plutarchus De profectu in virtute vol. VII, p. 248 seq. ed. Hutten. Eadem narratiuncula legitur apud Ælianum Var. hist. lib. XIII, cap. 26. Conf. supra fragm. 121.).

263. Διογένης ἔλεγε καὶ τὸν Σωκράτην αὐτὸν τρυφῆσαι· περιειργάσθαι γὰρ καὶ τῷ οἰκιδίῳ, καὶ τῷ σκιμποδίῳ, καὶ ταῖς βλαύταις δέ, αἴσπερ οὖν ἐχρῆτο Σωκράτης ἔστιν ὅτε.

(Ælianus Var. hist. lib. IV, 11.)

264. Διογένης λαβὼν παρὰ Διοτίμου τοῦ Καρυστίου νόμισμα ὀλίγον, ἔφη·

Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς,
Ἄνδρα τε καὶ οἶκον.

Ἐδόκει δέ πως ὁ Διότιμος μαλθακώτερος εἶναι.

(Ælianus Var. hist. lib. IV, 27. Diotimum cinædum Diogenes alloquitur versibus Homericis, quibus Ulixes Nausicaæ, Alcinoi filiæ, nuptias et maritum precatur. Cf. Odyss. lib. VI, 180-181. Apud Latinos quoque homines effeminati *virum quærere* dicuntur. Vid. Petron. Satir. 119.)

265. Ἐπῄνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου τὸ λέγον·

Οὐδ' ἂν βοῦς ἀπόλοιτ' εἰ μὴ γείτων κακὸς εἴη,

ἀκούοντος Διογένους. Ὁ δὲ εἶπε· Καὶ μὴν Μεσσήνιοι καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες.

(Ælianus Var. hist. lib. IX cap. 28. Versus est Hesiodi Op. et D. 348, quem commemorat etiam Heraclides Ponticus libro de Civitatibus, de Cumæis agens.)

266. Διογένης εἰς Ὀλυμπίαν ἐλθών, καὶ θεασάμενος ἐν τῇ πανηγύρει Ῥοδιακούς τινας νεανίσκους πολυτελῶς ἠσθημένους, γελάσας ἔφη, Τῦφος τοῦτό ἐστι. Εἶτα περιτυχὼν Λακεδαιμονίοις ἐν ἐξωμίσι φαύλαις καὶ ῥυπώσαις, Ἄλλος, εἶπεν, οὗτος τῦφος.

(Ælianus Var. hist. lib. IX cap. 34.)

267. Ἤλγει τὸν ὦμον Διογένης, ἢ τρωθείς, οἶμαι, ἢ ἐξ ἄλλης τινὸς αἰτίας. Ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλ-

---

261. Diogenes interrogatus quomodo quis ulcisci inimicum posset, respondit : *Si ipse probus et honestus fiat.*

262. Diogenem memorant Sinopensem, quum philosophari cœpisset, ac forte Athenienses festos agerent dies, epularenturque splendide neque solum spectacula essent, sed convivia etiam comissationesque per totam noctem ducerentur, in quodam fori angulo convolutum somni capiendi specie jacentem in cogitationes incidisse animum ipsius non leviter ab instituto avertentes atque frangentes, reputantem, nulla se necessitate coactum vitæ viam laboriosam atque inusitatam diversamque a cæterorum hominum moribus ingressum omnibus bonis carere : ut vero murem arrepere et circa mazæ suæ micas versari vidit, animum rursus erexisse, ac se ipsum increpuisse et hoc modo objurgasse : *Quid ais, Diogenes? mus hic reliquiis tuis lætus vescitur, tu vero præclarus scilicet homo tuam vicem doles ac lamentaris, te non istic in stragulis mollibus et pictis ebrium jacere?*

263. Diogenes Socratem etiam ipsum luxuriose vixisse ajebat : nam incredibilem diligentiam contulisse eum in domunculam et lectulum, crepidas etiam, quibus interdum utebatur.

264. Diogenes accepto exiguo nummo a Diotimo Carystio ait :

Di tibi dent, quæ mente optas et quanta, virumque
Atque domum.

Videbatur autem aliquanto mollior esse Diotimus.

265. Spartanus quidam Hesiodi versum laudabat, cujus hæc sententia est :

Non vel bos pereat, nisi vicinus malus adsit,

idque audiente Diogene. Ille vero, *Atqui*, inquit, *Messenii et boves eorum perierunt, et vos illorum estis vicini.*

266. Diogenes quum venisset Olympiam et in celeberrimo illo conventu Rhodienses quosdam adolescentes vidisset pretiosis vestibus adornatos, ridens ait : *Fastus ille est.* Deinde quum incidisset in Lacedæmonios vilibus et sordidis tunicis (quas exomides vocant) indutos, *Hic*, inquit, *alius fastus.*

267. Humeri dolores habebat Diogenes, vulneratus, puto, vel alia quadam de causa. Quum igitur gravi dolore affici videretur, homo quidam stomachosus illudebat ei dicens : *Cur igitur mortem non obis, o Diogenes, et te ipsum*

γεῖν, τῶν τις ἀχθομένων αὐτῷ κατεκερτόμει λέγων, Τί οὖν οὐκ ἀποθνήσκεις, ὦ Διόγενες, καὶ σεαυτὸν ἀπαλλάττεις κακῶν; Ὁ δὲ εἶπε, Τοὺς εἰδότας, ἃ δεῖ πράττειν ἐν τῷ βίῳ, καὶ ἃ δεῖ λέγειν, τούτους γε ζῆν προσήκει (ὧν καὶ αὐτὸς ὡμολόγει εἶναι) Σοὶ μὲν οὖν, ἔφη, οὐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων, πρέπει ζῆν.

(Ælianus Var. hist. lib. X cap. 11.)

268. Ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης ὕψει καὶ μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥσθ' ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόγις τὰς ἀναγκαίας παρεῖχον αὐτῷ τροφάς, οὔθ' ὑπὸ τῆς παρούσης τύχης καμφθείς, οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας, Ἀτοπώτατον, ἔφη, γίνεται, δελφάκια μὲν ἢ πρόβατα, ὁπότε μέλλοι πιπράσκεσθαι, τροφαῖς ἐπιμελεστέραις εἰς εὐσαρκίαν πιαίνειν, ζῴων δὲ τὸ ἄριστον, ἄνθρωπον, ἀσιτίαις κατασκληκευθέντα, ἐπευωνίζεσθαι. Λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπειδὴ μεθ' ἑτέρων ἔμελλεν ἀπεμπολεῖσθαι, καθίσας πρότερον ἡρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον. Ἑνὸς δὲ οὐ μόνον λυπουμένου, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, Οὐ παύσῃ τῆς συνοίας; ἔφη, χρῶ τοῖς παροῦσι·

> Καὶ γάρ τ' ἠύκομος Νιόβη ἐμνήσατο σίτου,
> Τῆπερ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
> Ἓξ μὲν θυγατέρες ἓξ δ' υἱέες ἡβώοντες.

Ἐπινεανιευμένοις τισὶ [a] τῶν ὠνητικῶς ἐχόντων, Τί δ' οἶδας; Ἄρχειν, εἶπεν, ἀνθρώπων, ὡς ἔοικε, τῆς ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. Ἤδη δὲ καὶ πρὸς χαριεντισμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐν [b] ᾧ οἱ ἄλλοι συννοίας γέμοντες κατήφουν, ἐτράπετο. Λέγεται γοῦν, ὅτι θεασάμενός τινα τῶν ὠνουμένων, ὃν θήλεια νόσος εἶχεν, ἐκ τῆς ὄψεως οὐκ ἄῤῥενα, προσελθὼν ἔφη· Σύ με πρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς, ὡς τὸν μὲν δυσωπηθέντα, ἐφ' οἷς ἑαυτῷ σύνοιδε, καταδῦναι, τοὺς δὲ ἄλλους τὸ σὺν εὐτολμίᾳ εὐθύβολον ἐκπλήττεσθαι.

(Philo Judæus in libello Omn. libr. prob. p. 883 ed. Francof. Locus Homericus exstat Iliad. lib. XXIV, vs. 602–604. Scripsi : [a] ἐπινεανιευμένοις τισὶ, codd. ἐπινεανιευμένοις. [b] ἐν ᾧ, codd. ἐφ' ᾧ. —)

269. Διογένης ἰδών τινα τῶν λεγομένων ἀπελευθέρων ἁβρυνόμενον, καὶ πολλοὺς αὐτῷ συνηδομένους, θαυμάσας τὸ ἄλογον καὶ ἄκριτον, ὅμοιον εἶπεν, ὡς εἴ τις ἀνακηρύξειέ τινα τῶν οἰκετῶν ἀπὸ ταύτης τῆς ἡμέρας εἶναι γραμματικόν, ἢ γεωμετρικόν, ἢ μουσικόν, οὐδ' ὄναρ τῶν τεχνῶν ἐπησθημένον. Ὡς γὰρ ἐπιστήμονας οὐ ποιεῖ τὸ κήρυγμα, οὕτως οὐδὲ ἐλευθέρους (ἐπεὶ μακάριον ἦν), ἀλλὰ μόνον οἰκέτας.

(Philo Judæus in libello Omn. libr. prob. p. 888.)

270. Διογένης συνειδὼς ἑαυτῷ πυθόχρηστον οὖσαν τὴν φιλοσοφίαν, ἔργοις ᾤετο δεῖν ἐξελέγχειν πάντα, καὶ μὴ δόξαις ἄλλων, τυχὸν μὲν ἀληθέσι, τυχὸν δὲ ψευδέσι προσπεπονθέναι.

(Julianus Orat. VI in Cynicos, Oper. tom. I, p. 191 ed. Lips.)

---

malis liberas? At ille respondit: *Eos qui sciunt, quæ in vita facere quæque dicere oporteat, vivere decet* (inter quos et se esse confitebatur). *Itaque tibi*, inquit, *qui neque quæ dicenda, neque quæ agenda sint nosti, utile est mori; me vero, qui scio illa, par est vita frui.*

268. Nam Diogenes Cynicus tam elato atque excelso animo fuit, ut quoniam ipsi capto prædones vix et ægre quæ ad victum necessaria sunt præbebant, nec præsenti fortuna fractus, neque raptorum sævitiam veritus diceret, absurdissimum esse, quum porcelli vel oves venales ad corpus implendum diligentius saginarentur, hominem, animalium omnium præstantissimum, inedia maceratum vendi. Quocirca postquam quantum satis erat cibi accepit, quum jam in eo esset, ut una cum cæteris venderetur, sedit et prandebat forti animo, impertiens etiam proximis de suo. Ex his unum non modo dolentem, sed etiam mœsto vultu cogitantem conspicatus, *Desine*, inquit, *meditari, et utere præsentibus.*

> *Nec formosa cibum Niobe non sumpsit; at ejus*
> *Pignora sub lectis bis sena exstincta jacebant,*
> *Sex natæ, totidem pubenti corpore nati.*

Quum autem licitatorum quidam juveniliter illum ludificarentur, percontando, quid sciret, respondit, *Imperare hominibus*, voce illa, ut par est, animum ingenuum, generosum vereque regium prodens. Jam vero et ad jocos, quemadmodum per otium facere consueverat, cæteris conservis cogitabundis ac demisso vultu mœrentibus, se convertit. Dicitur enim, intuitus emtorum quendam, morbo muliebri laborantem, qui minime virili esset facie, simul atque ad eum accessit, sic allocutus esse: *Tu me emito; viro enim indigere mihi videris.* Quo factum est ut ille earum quarum sibi conscius erat rerum pudore confusus secederet, cæteri hominis acute conjicientis audaciam perhorrescerent.

269. Diogenes conspicatus quendam eorum qui liberti vocantur hac nova felicitate gloriantem multosque ei gratulantes, simulque illorum miratus incogitantiam et judicii inopiam, hoc simile esse ait, ac si quis præconis voce denuntiaret, ut in posterum servus nescio quis grammaticus foret, vel geometres, vel musicus, qui ne umbram quidem harum artium vidisset. Nam præconium ut scientia augere neminem potest, ita nec ad libertatem vocare (alioqui res beatissima esset), sed tantum venales in servitutem asserere.

270. Diogenes qui philosophiæ ut oraculi ab Apolline Pythio editi sibi conscius esset, re factoque convincenda putabat omnia, non alienis temere accedendum sententiis, fortasse veris, fortasse etiam falsis.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

271. Ἐπειδή τις τῶν νέων ἐν ὄχλῳ, παρόντος καὶ τοῦ Διογένους, ἀπέπαρδεν, ἐπάταξεν ἐκεῖνος τῇ βακτηρίᾳ, φάς· Εἶτα, ὦ κάθαρμα, μηθὲν ἄξιον τοῦ δημοσίᾳ τὰ τοιαῦτα θαρσεῖν πράξας ἐντεῦθεν ἡμῖν ἄρχῃ δόξης καταφρονεῖν;

(Julianus Orat. VI in Cynicos pag. 197. Reposui θαρσεῖν pro membranarum lectione θάρσει.)

272. Ἔρωτα λύει λιμός, εἰ δὲ τούτῳ χρῆσθαι μὴ δύνασαι, βρόχος.

(Julianus Orat. VI in Cynicos pag. 198. Codicum scripturam ἂν mutavi in εἰ.)

273. Οὐκ ἐκ τῶν μαζοφάγων, φησὶν ὁ Διογένης, οἱ τύραννοι, ἀλλ' ἐκ τῶν δειπνούντων πολυτελῶς.

(Julianus Orat. VI in Cynicos pag. 198. Plenius Diogenis dictum refert Porphyrius De abstinentia lib. I, 47 : οὐ γὰρ ἐκ τῶν μαζοφάγων, φησὶν ὁ Διογένης, οἱ κλέπται καὶ οἱ πολέμιοι, ἀλλ' ἐκ τῶν κρεοφάγων οἱ συκοφάνται καὶ τύραννοι.)

274. Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν, Νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθύων ἔσπειρε.

(Plutarchus De liber. educ. cap. III, vol. VII, pag. 4 ed. Hutten.)

275. Ἀλέξανδρος ὁ βασιλεὺς ἰδὼν Διογένην κοιμώμενον ἐν πίθῳ, ἔφη· Ὦ πίθε μεστὲ φρενῶν. Ὁ δὲ φιλόσοφος ἀναστὰς ἔφη· Ὦ βασιλεῦ μέγιστε,

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.

Πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων·

Ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης·
Ἧς μὴ παρούσης δυστυχοῦσιν αἱ φρένες.

(Antonius et Maximus Serm. de fortuna prospera et adversa.)

276. Διογένης ἔφασκεν, ἡδονὴν ἀληθῆ εἶναι, τὸ τὴν ψυχὴν ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι ἔχειν· ἄνευ δὲ ταύτης οὐδὲ τὰ Μίδου οὐδὲ Κροίσου χρήματα ὠφέλιμα εἶναι· ἐὰν δέ τις ἢ ὑπὲρ μικροῦ ἢ ὑπὲρ μεγάλου λυπῆται, οὐκ εὐδαίμων, ἀλλὰ κακοδαίμων.

(Sententiæ selectæ Democriti, Epicuri et aliorum philosoph. e cod. Lugd. Bat. ed. L. R. Beynen [Lugduni Batavorum MDCCCXXXVII] n. 168 pag. 26. Pro Μηιδου, quod in codice legitur, reposui Μίδου cujus notæ sunt divitiæ. Vid. Cicer. De div. 1, 36, scholiast. Aristoph. Plut. v. 287, et Diogenian. VII, 42. Præterea καὶ particulam post ἄνευ δὲ omisi.)

277. Εἰσὶν οἱ τοῖς πολλοῖς ἀρέσκοντες γάλλοι μᾶλλον ἢ φιλόσοφοι.

(Pseudodiogenes Epist. ad Cratetem.)

278. Δεῖ ζητεῖν,

Ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

(Diogenes Laertius in vita Menedemi lib. VI, 103 : καὶ ὅπερ τινὲς ἐπὶ Σωκράτους, τοῦτο Διοκλῆς ἐπὶ Διογένους ἀναγράφει, τοῦτον φάσκων λέγειν, Δεῖ ζητεῖν κτλ.)

279. Ὁ Διογένης πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ ὡροσκόπιον, Χρήσιμον, ἔφη, τὸ ἔργον πρὸς τὸ μὴ ὑστερῆσαι δείπνου.

(Diogenes Laertius lib. VI, 104.)

280. Πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ μουσικὴν ἔφη·

Γνώμαις γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις,
Εὖ δ' οἶκος, οὐ ψαλμοῖσι καὶ τερετίσμασιν.

(Diogenes Laertius lib. VI, 104.)

281. Ἔφασκε θεῶν μὲν ἴδιον εἶναι μηδενὸς δεῖσθαι· τῶν δὲ θεοῖς ὁμοίων τὸ ὀλίγων χρῄζειν.

(Diogenes Laertius lib. VI, 105.)

---

271. Quum adolescens quidam in turba, præsente etiam Diogene, pepedisset, hunc ille baculo verberavit, dicens : *Itane vero, o scelus! quum nihil tali audacia publice adhibita dignum egeris, hinc jam nobis gloriæ contemtor esse incipies?*

272. Amorem solvit fames, sin autem hac uti non potes, laqueus.

273. Non ex iis qui mazam esitant, inquit Diogenes, tyranni fiunt, sed ex hominibus apparatius cœnantibus.

274. Diogenes puerum videns mente alienatum ac desipientem, *Adolescens*, inquit, *pater te ebrius genuit.*

275. Quum Alexander, Macedonum rex, Diogenem in dolio dormientem vidisset, exclamavit : *O dolium mentis bonæ plenissimum!* Philosophus igitur surrexit respondens : *Regum maxime,*

Rei secundæ gutta mentis dolio
Præstat.

Cui ex benevolis Alexandri comitibus nonnemo :

Rei secundæ abyssus haud guttam valet
Mentis : carere mente nam miserrimum est.

276. Diogenes dicebat, veram voluptatem in animi tranquillitate et hilaritate consistere; nam sine hac nec Midæ nec Crœsi divitias utiles esse; si quis vero re sive parva sive magna doleret, eum non felicitate uti, sed in miseriis versari.

277. Qui multitudini placent, spadones potius sunt quam philosophi.

278. Inquirendum,

Quid domibus nostris pravi rectique geratur.

279. Diogenes cuidam ostendenti ipsi horologium, *Res sane utilis*, inquit, *ne sero ad cœnam veniamus.*

280. Eum qui musicam ipsi ostentabat sic allocutus est :

Virûm consiliis bene reguntur oppida,
Sed nulla cantu dirigi queat domus.

281. Dicebat deorum esse proprium nulla re indigere; eorum vero, qui diis essent similes, paucis rebus egere.

282. Εὖ γοῦν καὶ Διογένης πρὸς τὸν θαυμάζοντα, εὗρε τὸν ὄφιν ἐν τῷ ὑπέρῳ περιειλημμένον, Μὴ θαύμαζε, ἔφη, ἦν γὰρ παραδοξότερον ἐκεῖνο, εἰ τὸ ἕρπον περὶ ὀρθῷ τῷ ὄφει κατειλημμένον ἐθεάσω.

(Clemens Alexandrinus Strom. VII, pag. 712, Sylb.)

283. Κατεγέλα τῶν, ὁπότε διψῷεν, τὰς μὲν κρήνας θερχομένων, ζητούντων δέ, ὁπόθεν πάντως ὠνήσαιντο ἢ Λέσβιον, καὶ πολὺ ἔφασκεν ἀφρονεστέρους εἶναι βοσκημάτων· ἐκεῖνα μὲν οὐδέποτε διψῶντα κρήνας οὐδὲ ῥεῦμα καθαρὸν παρελθεῖν, οὐδὲ πεινῶντα ἔχεσθαι τῶν ἁπαλωτάτων φύλλων καὶ πόας τῆς γῆς τρέφειν.

(Dio Chrysostomus orat. VI, pag. 202 ed. Reisk.)

284. Τοὺς πόδας οὐδέποτε ἔσκεπεν· οὐ γὰρ ἔφη τρυφωτέρους εἶναι τῶν ὀφθαλμῶν καὶ τοῦ προσώπου· τὰ γάρ, ἀσθενέστατα πεφυκότα, μάλιστα ἀνέχεσθαι ψύχος, διὰ τὸ γυμνοῦσθαι ἀεί. Μὴ γὰρ εἶναι τοῖς ἀνθρώποις δυνατὸν καταδησαμένους τὰ ὄμματα βαδίζειν, ὥσπερ τοὺς πόδας.

(Dio Chrysostomus orat. VI, pag. 203 ed. Reisk.)

285. Ἔφη τοὺς πλουσίους ὁμοίους εἶναι τοῖς νεοττοῖς βρέφεσι, δεῖσθαι γὰρ ἀεί ποτε σπαργάνων.

(Dio Chrysostomus orat. VI, pag. 203 ed. Reisk.)

286. Ἔλεγε διὰ τὴν μαλακίαν τοὺς ἀνθρώπους ἀθλιώτερον ζῆν τῶν θηρίων· ἐκεῖνα γὰρ ὕδατι μὲν ποτῷ χρώμενα, τροφῇ δὲ βοτάνῃ, τὰ πολλὰ δὲ αὐτῶν γυμνὰ καὶ δι' ἔτους, εἰς οἰκίαν δὲ οὐδέποτε εἰσιόντα, πυρὶ δὲ οὐδὲν χρώμενα, τοῦτο μὲν ζῆν, ὁπόσον ἡ φύσις ἑκάστοις ἔταξε χρόνον, ἐὰν μηδεὶς ἀναιρῇ· τοῦτο δὲ ἰσχυρὰ καὶ ὑγιαίνοντα διάγειν ὁμοίως ἅπαντα, δεῖσθαι δὲ μηδὲ ἰατρῶν μηδὲ φαρμάκων· τοὺς δὲ ἀνθρώπους οὕτω μὲν πάνυ φιλοζώους ὄντας, τοσαῦτα δὲ μηχανωμένους πρὸς ἀναβολὴν τοῦ θανάτου, τοὺς μὲν πολλοὺς αὐτῶν μηδὲ εἰς γῆρας ἀφικνεῖσθαι, ζῆν δὲ νοσημάτων γέμοντας, ἃ μηδὲ ὀνομάσαι ῥᾴδιον, τὴν δὲ γῆν αὐτοῖς μηδὲ ἐξαρκεῖν παρέχουσαν φάρμακα· δεῖσθαι δὲ καὶ σιδήρου καὶ πυρός, καὶ μήτε Χείρωνος μήτε Ἀσκληπιοῦ μήτε τῶν Ἀσκληπιαδῶν ἰωμένων μηδὲν αὐτοῖς ὄφελος εἶναι, διὰ τὴν αὐτῶν ἀκολασίαν καὶ πονηρίαν, μηδὲ μάντεων μαντευομένων, μηδὲ ἱερέων καθαιρόντων.

(Dio Chrysostomus orat. VI, pag. 205 ed. Reisk.)

287. Ἔφη εἰς τὰς πόλεις συνελθεῖν ἀνθρώπους, ὅπως ὑπὸ τῶν ἔξωθεν μηδὲν ἀδικῶνται, καὶ τὰ δεινότατα πάντα ἐργάζεσθαι, ὥσπερ ἐπὶ τοῦτο ξυνεληλυθότας· διὰ ταῦτα δὲ δοκεῖν αὐτῷ καὶ τὸν μῦθον λέγειν, ὡς τὸν Προμηθέα κολάζοι ὁ Ζεὺς διὰ τὴν εὕρεσιν καὶ μετάδοσιν τοῦ πυρός, ὡς ἀρχὴν τοῦτ' ὂν καὶ ἀφορμὴν τοῖς ἀνθρώποις μαλακίας καὶ τρυφῆς, οὐ γὰρ δὴ τὸν Δία μισεῖν τοὺς ἀνθρώπους, οὐδὲ φθονεῖν αὐτοῖς ἀγαθοῦ τινος.

(Dio Chrysostomus orat. VI, pag. 205 ed. Reisk.)

288. Ἐπεὶ ἔλεγόν τινες, οὐ δυνατὸν εἶναι ζῆν τὸν ἄνθρωπον ὁμοίως τοῖς ἄλλοις ζῴοις διὰ τὴν ἀπαλότητα τῶν σαρκῶν, καὶ διότι ψιλός ἐστιν, οὔτε θριξὶ σκεπόμενος, ὥσπερ τὰ πολλὰ τῶν θηρίων, οὔτε πτεροῖς, οὔτε δέρμα ἰσχυρὸν ἐπαμπέχεται, πρὸς ταῦτα ἀντέλεγεν, οὕτω μὲν σφόδρα ἀπαλοὺς εἶναι διὰ τὴν δίαιταν· φεύγειν μὲν γὰρ ὡς τὸ πολὺ τὸν ἥλιον, φεύγειν δὲ τὸ ψῦ-

282. Recte certe Diogenes quoque admiranti cuidam, id invenisset pistillum serpente circumplicatum, *Ne mireris*, inquit; *esset enim illud mirabilius, si vidisses ipsum serpentem pistillo circumdatum.*

283. Deridebat eos qui sitientes præteritis fontibus, aut Chium utique vel Lesbium vinum mercarentur, dicerent: multoque illos hebetiores quam pecudes esse dicebat, quæ neque siti compulsæ unquam fontem vel aquam purum præterirent, neque esurientes foliis mollissimis aut herbis pabularibus abstinerent.

284. Pedes nunquam tegebat; neque enim delicatiores esse quam oculos et faciem esse ajebat, quæ in maxima tenerrime algoris patientissimæ corporis partes forent, quia semper nudarentur. Neque enim fieri posse, ut homines aliis ut pedibus, ita oculis incederent.

285. Similes ajebat divites esse infantibus recens natis, quibus semper enim fasciis, quibus devincirentur, indigere.

286. Homines propter suam mollitiem miserius quam reliquas vivere dicebat: his enim potui esse aquam, pabulo herbas, et earum plerasque nudas toto anno domum nunquam ingredi quumque ignem nequaquam victui adhibent, simul tamen vitæ tempus singulis a natura constitutum, nisi necarentur, transigere, simul integris corporis viribus et bona valetudine pariter omnes usque ad mortem uti, neque medentium nec medicamentorum indigas. At homines omnino ita vitæ cupidos, totque viarum repertores quibus moram morti afferre possent, maximam partem ne ad senectutem quidem venire, vitam vero omnem morbis vexatam degere, quos ne nominare quidem facile esset; neque terram medicamentorum genitricem iis sufficere, sed indigere illos et ferro et igne. Verum medicinam neque a Chirone, neque ab Æsculapio, neque omnino a medicis petitam illis prodesse propter ipsorum intemperantiam et pravitatem, nec vatum prædictiones, nec sacerdotum lustrationes.

287. In civitates coiisse homines dixit, ne quam injuriam ab externis hostibus paterentur, verum ibi omnes contumelias aliis imponere, quasi id ipsum spectantes unum in locum convenissent. Quapropter etiam fictis fabulis proditum videri, Prometheum a Jove ob ignem et inventum et mortalibus impertitum pœna affectum esse, quod hæc hominibus causa et materia mollitiæ ac luxus foret. Nam neque odium in homines gerere Jovem, neque quidquam boni iis invidere.

288. Quum dicerent quidam, fieri non posse ut homo eodem pacto quo cætera animalia viveret ob corporis sui teneri-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

χος· τὴν δὲ ψιλότητα τοῦ σώματος μηδὲν ἐνοχλεῖν. Ἐπεδείκνυε δὲ τούς τε βατράχους, καὶ ἄλλα οὐκ ὀλίγα ζῷα, πολὺ μὲν ἀπαλώτερα ἀνθρώπου, πολὺ δὲ ψιλότερα, καὶ ἔνια τούτων ἀνεχόμενα, οὐ τὸν ἀέρα μόνον, ἀλλὰ καὶ ἐν τῷ ψυχροτάτῳ ὕδατι ζῆν δυνάμενα τοῦ χειμῶνος. Ἐπεδείκνυε δὲ τῶν ἀνθρώπων αὐτῶν τούς τε ὀφθαλμοὺς καὶ τὸ πρόσωπον οὐδὲν δεόμενον σκέπης. Καθόλου δὲ ἐν μηδενὶ τόπῳ γίγνεσθαι ζῷον, ὃ μὴ δύναται ζῆν ἐν αὐτῷ· ἢ πῶς ἂν ἐσώθησαν οἱ πρῶτοι γενόμενοι ἄνθρωποι, μήτε πυρὸς ὄντος, μήτε οἰκιῶν, μήτε ἐσθῆτος, μήτε ἄλλης τροφῆς, ἢ τῆς αὐτομάτου; ἀλλὰ τὴν πανουργίαν τοῖς ὕστερον καὶ τὰ πολλὰ εὑρίσκειν καὶ μηχανᾶσθαι πρὸς τὸν βίον οὐ πάνυ τι συνενεγκεῖν· οὐ γὰρ πρὸς ἀνδρείαν καὶ δικαιοσύνην χρῆσθαι τῇ σοφίᾳ τοὺς ἀνθρώπους, ἀλλὰ πρὸς ἡδονήν· διώκοντας δὲ τὸ ἡδὺ καὶ ἐξ ἅπαντος ἀεὶ ζῆν ἀηδέστερον καὶ ἐπιπονώτερον· καὶ δοκοῦντας προμηθεῖσθαι σφῶν αὐτῶν, κάκιστα ἀπόλλυσθαι, διὰ τὴν πολλὴν ἐπιμέλειάν τε καὶ προμήθειαν· καὶ οὕτω δὴ τὸν Προμηθέα δικαίως λέγεσθαι δεδεμένον τῇ πέτρᾳ κείρεσθαι τὸ ἧπαρ ὑπὸ τοῦ ἀετοῦ.

(Dio Chrysostomus orat. VI, pag. 207 ed. Reisk.)

289. Διογένης ὁ Σινωπεύς, ὅτε ἔφυγεν ἐκ Σινώπης, ἀφικόμενος εἰς τὴν Ἑλλάδα διῆγε ποτὲ μὲν ἐν Κορίνθῳ, ποτὲ δὲ Ἀθήνησιν. Ἔφη δὲ μιμεῖσθαι τοῦ Περσῶν βασιλέως τὴν δίαιταν· καὶ γὰρ ἐκεῖνος τῷ μὲν χειμῶνι ἐν Βαβυλῶνι καὶ Σούσοις, ἐνίοτε δ' ἐν Βάκτροις διῆγεν, ἐν τοῖς εὐδιεινοτάτοις τῆς Ἀσίας· τοῦ δὲ θέρους ἐν Ἐκβατάνοις τῆς Μηδικῆς, ὅπου ψυχρότατος ὁ ἀὴρ ἀεί ποτέ ἐστι, καὶ τῷ περὶ Βαβυλῶνα χειμῶνι τὸ θέρος ὅμοιον· οὕτω δὲ καὶ αὐτὸς μεταλλάττειν τὴν οἴκησιν κατὰ τὰς ὥρας τοῦ ἔτους.

(Dio Chrysostomus orat. VI, pag. 197 ed. Reisk.)

290. Διογένης ἔλεγε δεῖν τὸν φρόνιμον ἄνδρα, ὥσπερ τὸν ἀγαθὸν ἰατρόν, ὅπου πολλοὶ νοσοῦσιν, ἐκεῖσε ἰέναι βοηθήσοντα, οὕτως ὅπου πλεῖστοί εἰσιν ἀφρονέστεροι, ἐκεῖ μάλιστα ἀποδημεῖν ἐξελέγχοντα καὶ κολάζοντα τὴν ἄνοιαν αὐτῶν.

(Dio Chrysostomus orat. VIII, pag. 276 ed. Reisk.)

291. Παρέσχε δὲ καὶ αὐτὸν τῷ βουλομένῳ ἐντυγχάνειν, καὶ ἔλεγε θαυμάζειν, ὅτι, εἰ μὲν ἔφη ὀδόντας ἰᾶσθαι, πάντες ἂν αὐτῷ προσήεσαν οἱ δεόμενοι ὀδόντας ἐξελέσθαι· καὶ νὴ Δία εἰ ὑπέσχετο ὀφθαλμοὺς θεραπεύειν, πάντες ἂν γλαυμυροὺς ὀφθαλμοὺς αὐτῷ ἐπιδείκνυον· ὁμοίως δὲ εἰ σπληνὸς ἢ ποδάγρας ἢ κορύζης εἰδέναι φάρμακον· ἐπεὶ δὲ ἔφη παύσειν τοὺς πεισομένους αὐτῷ ἀγνοίας καὶ πονηρίας καὶ ἀκολασίας, οὐδεὶς αὐτῷ προσεῖχεν, οὐδὲ ἐκέλευσεν ἰᾶσθαι αὐτόν, οὐδὲ πολὺ προσλήψεσθαι ἀργύριον ἔμελλεν.

(Dio Chrysostomus orat. VIII pag. 277 ed. Reisk. Reposui πάντες ἂν γλαμυροὺς ὀφθαλμοὺς praeeunte membranarum lectione πάντες ἄνθρωποι ὀφθαλμούς.)

---

tatem, et quia nudus foret, quippe qui neque viilis vestitus esset, ut pleræque belluæ, neque penniger, neque crasso corio tectus, his respondit, homines adeo molles esse propter suum vivendi genus, quoniam plerumque tam solis ardores fugerent quam frigus vitarent; nudum autem corpus nullam habere molestiam. Monstrabat vero ranas aliasque bestias haud paucas multo teneriores hominibus multoque glabriores, quarum tamen nonnullæ non modo aerem paterentur, sed etiam in frigidissima aqua hiberno tempore vivere possent. Ostendebat etiam ipsorum hominum oculos et faciem nullo tegumento indigere. Omnino nullo loco nasci animal contendebat, quod non posset ibi vivere; aut quomodo qui primi orti sunt homines incolumes servati forent, quum neque ignis quo uterentur esset, neque tecta, neque vestimenta, neque alius victus quam nativus? verum calliditatem et inventionem confectionemque rerum plerarumque ad vitæ commoditatem pertinentium posteris parum profuisse affirmabat. Neque enim ad fortitudinem et justitiam colendam homines sapientia uti, sed ad voluptatem comparandam; at dum amœnitates omnibus modis quærerent, nihilo secius eos semper duriorem vitam minusque jucundam agere, et licet sibi ipsis prospicere viderentur, tamen pessime perire propter multam diligentiam suæque salutis custodiam. Quamobrem merito et Prometheum dici affixum esse rupi, aquila jecur ejus exedente.

289. Diogenes Sinopensis quum ex patria urbe fugeret, in Græciam venit ibique nunc Corinthi nunc Athenis vivebat. Ajebat autem sese imitari Persarum regis vivendi genus; qui hieme Babylone et Susis, interdum Bactris etiam, tepidissimis Asiæ locis, æstate autem Ecbatanis Medorum viveret, ubi aer semper frigidissimus est æstasque hiemi Babylone transactæ simillima. Sic et ipsum adversa anni tempora accommodate mutare se domicilium dicebat.

290. Diogenes dicebat oportere virum sapientem, quemadmodum bonus medicus auxilii ferendi causa illo proficisci peteret, ubi multi ægrotarent: sic eo maxime proficisci, ubi plurimi essent insipientes, ut eorum stultitiam redargueret et castigaret.

291. Quin etiam facilem se præbuit omnibus qui cum ipso colloqui vellent, dixitque sese mirari, quod si medicum dentarium se profiteretur, accessuri ad ipsum essent quibuscunque exemto dente opus foret; si ocularium, profecto omnes ipsi lippos oculos ostensuri essent, similiterque si lienis vel podagræ vel gravedinis medicamentum se tenere affirmaret; quum vero ignorantia, improbitate et intemperantia homines sibi obtemperantes liberatum iri præ se ferret, nemo neque ipsi auscultaret neque medici nam ab ipso peteret, etiamsi grandem pecuniam præteriturus esset.

292. Προσεοικέναι ἔφη ἑαυτὸν τοῖς κυσὶ τοῖς Λάκωσι· καὶ γὰρ τούτους, ὅταν στῶσιν εἰς τὰς πανηγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψήχοντας καὶ προσαίζοντας, μηδένα δὲ ὠνεῖσθαι ῥᾳδίως διὰ τὸ μὴ πίστασθαι χρῆσθαι.

(Dio Chrysostomus orat. VIII, p. 279 ed. Reisk.)

293. Ἔλεγε δὲ ἐπισκώπτων, ὅτι ὀρθῶς ἐπιπλήττοιτο τὸ τοῦ κυνός· (διὰ γὰρ χαλεπότητα καὶ τὸ λοιδορεῖσθαι κύνα αὐτὸν ἀπεκάλουν·) τοὺς γὰρ κύνας εἵπεσθαι μὲν εἰς τὰς πανηγύρεις, μηδένα δὲ ἀδικεῖν ὧν ἐκεῖ γιγνομένων, ὑλακτεῖν δὲ καὶ μάχεσθαι τοῖς πονηροῖς καὶ κακίστοις· καὶ ὅταν οἱ ἄνθρωποι μεθυσθέντες καθεύδωσιν, αὐτοὺς ἐγρηγορότας φυλάττειν.

(Dio Chrysostomus orat. IX, pag. 288 ed. Reisk.)

294. Ἐπεὶ δὲ καὶ ἐστεφανώσατο τῆς πίτυος, πέμψαντες οἱ Κορίνθιοι τῶν ὑπηρετῶν τινας ἐκέλευον ἀποθέσθαι τὸν στέφανον καὶ μηδὲν παράνομον ποιεῖν. Ὁ δὲ ἤρετο αὐτούς, διὰ τί παράνομόν ἐστιν αὐτὸν ἐστεφανῶσθαι τῆς πίτυος, ἄλλους δὲ οὐ παράνομον; Εἶπεν οὖν τις αὐτῶν, ὅτι οὐ νενίκηκας, ὦ Διόγενες. Ὁ δέ, Πολλούς γε, εἶπεν, ἀνταγωνιστὰς καὶ μεγάλους, οὐχ οἷα ταῦτά ἐστι τὰ ἀνδράποδα, τὰ νῦν ἐνταῦθα παραλείποντα καὶ δισκεύοντα καὶ τρέχοντα· τῷ παντὶ δὲ χαλεπωτέρους, πενίαν καὶ φυγὴν καὶ ἀδοξίαν, ἔτι δὲ ὀργήν τε καὶ λύπην, καὶ ἐπιθυμίαν καὶ φόβον, καὶ τὸ πάντων ἀμαχώτατον ἢ καὶ δυσμαχώτατον θηρίον, ὕπουλον καὶ μαλθακόν, ἡδονήν.

(Dio Chrysostomus orat. IX, pag. 291 ed. Reisk.)

295. Διττὴν ἔλεγεν εἶναι τὴν ἄσκησιν· τὴν μὲν ψυχικήν, τὴν δὲ σωματικήν· ταύτην καθ' ἣν ἐν γυμνασίᾳ συνεχεῖς γινόμεναι φαντασίαι εὐλυσίαν πρὸς τὰ τῆς ἀρετῆς ἔργα παρέχονται. Εἶναι δ' ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας, οὐδὲν ἧττον εὐεξίας καὶ ἰσχύος ἐν τοῖς προσήκουσι γενομένης, ὡς περὶ τὴν ψυχὴν καὶ περὶ τὸ σῶμα. Παρετίθετο δὲ τεκμήρια τοῦ ῥᾳδίως ἀπὸ τῆς γυμνασίας ἐν τῇ ἀρετῇ καταγίνεσθαι· ὁρᾶν τε γὰρ ἔν τε ταῖς τέχναις ταῖς βαναύσοις καὶ ταῖς ἄλλαις οὐ τὴν τυχοῦσαν ὀξυχειρίαν τοὺς τεχνίτας ἀπὸ τῆς μελέτης περιπεποιημένους, τούς τε αὐλητὰς καὶ τοὺς ἀθλητάς, ὅσον ὑπερφέρουσιν ἑκάτεροι τῇ ἰδίᾳ πονήσει τῇ συνεχεῖ, καὶ ὡς οὗτοι, εἰ μετήνεγκαν τὴν ἄσκησιν καὶ ἐπὶ τὴν ψυχήν, οὐκ ἂν ἀνωφελῶς καὶ ἀτελῶς ἐμόχθουν.

(Diogenes Laertius lib. VI, 70.)

296. Οὐδέν γε μὴν ἔλεγε τὸ παράπαν ἐν τῷ βίῳ χωρὶς ἀσκήσεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι. Δέον οὖν ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους ζῆν εὐδαιμόνως, παρὰ τὴν ἄνοιαν κακοδαιμονοῦσι. Καὶ γὰρ αὐτῆς τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυτάτη μελετηθεῖσα, καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν, ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν, οὕτως οἱ τοὐναντίον ἀσκηθέντες ἥδιον αὐτῶν τῶν ἡδονῶν

---

292. Similem se canibus Laconicis esse ajebat. Eos enim in nundinis prostantes a multis quidem permulceri et allectari, a nemine vero facile emi, quod uti illis homines nescirent.

293. Quum propter rabiem et convicia canem ipsum in Isthmiorum ludicro vocarent, dixit jocans, merito se a reprehensoribus appellari canem. Canes videlicet hominum comites ad illam ludorum celebritatem venire, neque tamen quemquam lædere eorum qui ludis interessent, sed latrare tantum atque adversus maleficos et sceleratos pugnare, et quando homines ebrii dormirent, illos a canibus vigilantibus custodiri.

294. Quum ipse quoque pineam sibi coronam ad caput accommodasset, Corinthii per apparitores quosdam eum hortati sunt, ut poneret coronam neve quidquam contra leges faceret. Tum eos interrogavit, cur leges pineam coronam sibi imponi vetarent, alios coronari non vetarent. Quorum unus simulatque ei respondit, ipsum non esse victorem, *Ego vero*, inquit, *multos certe magnosque adversarios vici, non mancipia, qualia sunt ista, quæ nunc luctantur hic, discum jaciunt et stadium currunt, sed longe graviores adversarios, paupertatem, exsilium, ignominiam, iram præterea, ægritudinem, cupiditatem, metum omniumque fortissimam et inexsuperabilem vel vix superabilem belluam, subdolam illam et resupinam, voluptatem.*

295. Duplicem esse dicebat exercitationem, alteram animi, corporis alteram; priorem vocari illam, qua exercitatis crebra visa objecta promtam virtutis colendæ facultatem darent. Porro alteram sine altera esse imperfectam, quum bonus habitus et robur æque in animo atque in corpore requirerentur. Quin etiam attulit argumenta, quibus virtutem exercitatione facile coli doceret. Animadvertere enim se in artibus mechanicis et aliis opifices non minimam operis faciendi celeritatem sola operandi consuetudine sibi comparasse; eandemque eo magis tibicinum et athletarum esse rationem, quo magis subeundi laboris assiduitate utrique excellerent, illosque, si exercitationem ad animum etiam transtulissent, nequaquam frustra et incassum laboraturos fuisse.

296. Dicebat porro nihil omnino in vita feliciter sine exercitatione geri, qua vinci omnia possent. Quum igitur recusatis inutilibus laboribus opera naturæ consentanea aggredi ac beate vivere homines deceret, per summum tamen dementiam eos infelices esse. Namque ipsius quoque voluptatis contemtionem consuetudine jucundissimam effici, et sicut ii qui jucunde vivere consuevissent, ægre in contrarium transirent, ita eos qui contraria ratione exer-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταφρονοῦσι. Τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντως νόμισμα παραχαράττων, μηδὲν οὕτω τοῖς κατὰ νόμον ὡς τοῖς κατὰ φύσιν διδούς· τὸν αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν, ὅνπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων.

(Diogenes Laertius lib. VI, 71. Reposui μελετηθεῖσα ex Henr. Stephani codice; vulgo προμελετηθεῖσα legitur. Arrianus lib. I cap. 24 : τὸ δὲ γυμνάσιον λέγει, ὅτι κρεῖσσόν ἐστι πάσης περιπορφύρου.)

297. Περὶ τοῦ νόμου, ὅτι χωρὶς αὐτοῦ οὐχ οἷόν τε πολιτεύεσθαι· οὐ γάρ φησιν ἄνευ πόλεως ὄφελός τι εἶναι ἀστείου· ἀστεῖον δὲ ἡ πόλις· νόμου δὲ ἄνευ, πόλεως οὐδὲν ὄφελος· ἀστεῖον ἄρα ὁ νόμος. Εὐγενείας δὲ καὶ δόξας καὶ τὰ τοιαῦτα πάντα διέπαιζε, προκοσμήματα κακίας εἶναι λέγων, μόνην δὲ ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ.

(Diogenes Laertius lib. VI, 72. Similiter Arrianus lib. I Dissert. XXIV Λέγει : ὁ Διογένης) ὅτι ἀδοξία ψόφος ἐστὶ μαινομένων ἀνθρώπων. Cf. supra fragm. 222.)

298. Ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδένα νομίζων, ἀλλὰ τὸν πείσαντα τῇ πεισθείσῃ συνεῖναι, κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας.

(Diogenes Laertius lib. VI, 72.)

299. Μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν, ἢ τῶν ζώων τινὸς γεύσασθαι· μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν· καὶ τῷ ὀρθῷ λόγῳ πάντα ἐν πᾶσιν εἶναι καὶ διὰ πάντων ἰέναι λέγων. Καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέας εἶναι, καὶ ἐν τῷ λαχάνῳ ἄρτον, καὶ ἐπὶ τῶν σωμάτων τῶν λοιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων.

(Diogenes Laertius lib. VI, 73.)

300. Μουσικῆς τε καὶ γεωμετρικῆς καὶ ἀστρολογίας καὶ τῶν τοιούτων ἠμέλει, ὡς ἀχρήστων καὶ οὐκ ἀναγκαίων.

(Diogenes Laertius lib. VI, 73.)

301. Διογένης ὁ Σινωπεύς, ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόγις ἔῤῥιψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ παλαιστροφύλακι, ἐπειδὰν αἴσθηται ἀποπεπνευκότα αὐτόν, ῥῖψαι εἰς τὸν Ἴλισσόν. Οὕτως ἄρα ὀλίγου ἔμελε Διογένει καὶ θανάτου καὶ ταφῆς.

(Ælianus Var. hist. lib. VIII cap. 14. Reposui μόγις pro codd. scriptura μόνον. At Diogenes Laertius lib. VI, 79 de morte ejus hæc scribit : ἔνιοι δέ φασι, τελευτῶντα αὐτὸν καὶ ἐντείλασθαι ἄταφον ῥῖψαι, ὡς πᾶν θηρίον αὐτοῦ μετάσχοι· ἢ εἰς γε βόθρον συνῶσαι, καὶ ὀλίγην κόνιν ἐπαμῆσαι· οἱ δέ, εἰς τὸν Ἴλισσὸν ἐμβαλεῖν, ἵνα τοῖς ἀδελφοῖς χρήσιμος γένηται.)

---

citati essent libentius ipsas voluptates spernere. Talia disserebat faciebatque palam, revera hominum morem tanquam monetam adulterans, quod nihil legitimis ita ut rebus naturalibus concederet, quippe qui eandem vitæ rationem quæ Herculi olim placuisset suscepisse se affirmaret neque quidquam libertati anteponeret.

297. De lege ita exposuit, quod sine ea rempublicam administrari posse negaret. Nullum enim, inquit, usum sine civitate præbet urbanitas ; atqui civitas urbana est; sine lege autem civitas nihil prodest; ergo lex urbana est. Nobilitatem vero et gloriam et cætera ejusmodi ridebat, malitiæ ornamenta esse dicens, solamque veram esse rempublicam quæ mundi terminis circumscripta foret.

298. Dicebat et mulieres communes esse oportere, matrimonium nullum statuens, sed ut quisque alteri persuasisset, ita virum cum femina coire, communesque ideo filios haberi debere.

299. Haudquaquam indecorum esse dixit, de templo quidpiam auferre, vel animal nescio quod gustare, neque nefas esse putavit humana etiam vesci carne, quod exte rarum nationum moribus declararetur. Sed recta ratione omnia in omnibus esse et omnia pervadere contendit. Etenim in pane carnem esse et in olere panem; eodemque modo in reliquis corporibus rem se habere, quum omnibus per occultos quosdam meatus corpuscula vel ingerantur vel ex iis evaporentur.

300. Musicam, geometriam, astronomiam aliaque hujusmodi studia, ut inutilia neque necessaria contemnebat.

301. Diogenes Sinopensis, quum ad extremum morbo exitiali correptus esset, vix membra sustinens de ponticulo prope gymnasium sito se dejecit, atque insuper palæstræ custodi mandavit, ut postquam exspirasse ipsum animadvertisset, in Ilissum abjiceret. Adeo scilicet mortis et sepulturæ incuriosus erat Diogenes.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.....

DE CRATETE CYNICO.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΤΩΝ ΑΡΙΘ.

ates (1) Thebanus, Ascondi filius, quem pauci onis Achivi auditorem, plerique Diogenis pensis discipulum fuisse testantur, Cynicæ e luminibus atque ornamentis annumerari t. Quum vero initio in rerum omnium abun- ia vixisset simulque inter proceres Theba- m emineret, siquidem non magis natalium ndore, quam famulorum multitudine, do- et prædiorum amplitudine florebat : postea m humanarum, quæ fragiles caducæque es- nec quidquam ad bene beateque vivendum rent, pertæsus unam virtutem altissimis de- m radicibus esse credidit.

æc atque alia id genus postquam a Diogene ivit (2), rem familiarem abjicere atque ad Cy- m sectam transire constituit. Quocirca in m profectus reipublicæ opes suas concessit. tur autem dixisse :

Crates Cratetem privat hac pecunia,

Adeo vero gravem et constantem fuisse proditum est, ut contemta gloria solam veritatem appeteret. Jure igitur inter eos qui judicandi facultatem sustulerunt numeratur a Sexto Empirico (3) adv. Math. p. 146 et 221, quod omnia opinabilia et merum fastum esse affirmasset. Scripsit autem ludicra sententiis seriis permixta, duos de appetitionibus libros et suasoriam (4).

1) Diogenes Laertius lib. VI, 82-83 : Μόνιμος, Συρα-
σιος, μαθητὴς μὲν Διογένους, οἰκέτης δέ τινος τραπεζίτου
ρινθίου, καθά φησι Σωσικράτης. Πρὸς τοῦτον συνεχὲς
κνούμενος ὁ Ξενιάδης ὁ τὸν Διογένην ἐωνημένος, τὴν
τὴν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων διηγούμενος, εἰς
τα τοῦ ἀνδρὸς ἐνέβαλε τὸν Μόνιμον. Αὐτίκα γὰρ ἐκεῖνος
ίαν προσποιηθεὶς τό τε κέρμα διερρίπτει, καὶ πᾶν τὸ ἐπὶ
τραπέζης ἀργύριον, ἕως αὐτὸν ὁ δεσπότης παρητήσατο.
ὃς εὐθέως Διογένους ἦν. Παρηκολούθησε δὲ καὶ Κράτητι
Κυνικῷ συχνά, καὶ τῶν ὁμοίων εἴχετο, ὅτε καὶ μᾶλλον
ν αὐτὸν ὁ δεσπότης ἐδόκει μαίνεσθαι. Ἐγένετο δὲ ἀνὴρ
γιμος, ὡς καὶ Μένανδρον αὐτοῦ τὸν κωμικὸν μεμνῆσθαι.
τινι γοῦν τῶν δραμάτων ἐν τῷ Ἱπποκόμῳ εἶπεν οὕτως,
νιμός τις ἦν ἄνθρωπος, ὦ Φίλων, σοφός, Ἐνδοξότερος,
ν δὲ πήραν οὐκ ἔχων, Πήρας μὲν οὖν τρεῖς· ἀλλὰ κυνὸς ἐν
ήματι Ἐφθέγξατ' οὐδὲν ἐμφερές, μὰ τὸν Δία, Τῷ γνῶθι
τὸν οὐδὲ τοῖς βουλομένοις Τούτοις· παρὰ ταῦτα δ' οὐ προσαι-
ν, οὐ ῥυπῶν· Τὸ γαρ ὑπολῆφθὲν τῦφον εἶναι πᾶν ἔρη. Οὕτος
ἐμβριθέστατος ἐγένετο, ὥστε δόξης μὲν καταφρονεῖν, πρὸς
δὲ ἀλήθειαν παρορμᾶν. Γέγραφε δὲ παίγνια σπουδῇ λεληθυίᾳ
μεμιγμένα, καὶ Περὶ ὁρμῶν δύο καὶ Προτρεπτικόν. — (2) Locum corruptum emendavi. — (3) Sextus Empiricus adv. Math. lib. VII, p. 221 : τάχα δὲ καὶ ὁ Μόνιμος ὁ Κύων, τῦφον εἶναι τὰ πάντα ... ὅπερ οἴησίς ἐστι τῶν οὐκ ὄντων ὡς ὄντων. Idem l. c. p. 146 : οὐκ ὀλίγοι δὲ ἦσαν, ὡς προεῖπον, οἳ καὶ τοὺς περὶ Μητρόδωρον καὶ Ἀνάξαρχον, ἔτι καὶ Μόνιμον φήσαντες ἀνῃρηκέναι τὸ κριτήριον. Ἀλλὰ Μητρόδωρον μέν, ὅτι εἶπεν, Οὐδὲν ἴσμεν, οὐδ' αὐτὸ τοῦτο ἴσμεν, ὅτι οὐδὲν ἴσμεν. Ἀνάξαρχον δὲ καὶ Μόνιμον, ὅτι σκιαγραφίᾳ ἀπείκασαν τὰ ὄντα, τοῖς τε κατὰ ὕπνους ἢ μανίαν προσπίπτουσι ταῦτα ὡμοιῶσθαι ὑπέλαβον. Marcus Antoninus lib. II, 13 : ὅτι πᾶν ὑπόληψις. Δῆλα μὲν γὰρ τὰ πρὸς τοῦ Κυνικοῦ Μονίμου λεγόμενα. — (4) Citatur et Monimus quidam ἐν τῇ τῶν θαυμασίων συναγωγῇ apud Clementem Alexandrinum in Admonitione ad gentes pag. 27, b, et apud Cyrillum libro IV contra Julianum p. 150; sed illum a Cynico diversum esse existimamus.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΜΟΝΙΜΟΥ
ΑΠΟΦΘΕΓΜΑΤΑ.

1. Τὸν πλοῦτον εἶπε τύχης ἔμετον εἶναι.
(Stobæus Floril. XCIII, 36 Μονίμου.)

2. Μόνιμος ὁ Κυνικὸς φιλόσοφος ἔφη κρεῖττον εἶναι τυφλὸν ἢ ἀπαίδευτον· τὸν μὲν γὰρ εἰς τὸν βόθρον, τὸν δ' εἰς τὸ βάραθρον ἐμπίπτειν.
(Excerpta e Cod. Flor. Joann. Damasc. in Stob. Floril. vol. IV. p. 201 ed. Meinek.)

MONIMI
APOPHTHEGMATA.

1. Divitias fortunæ vomitum esse dixit.
2. Monimus Cynicus satius esse ait cæcum esse, quam indoctum; illum enim in foveam incidere, hunc in perniciem agi.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΑΥΞΕΝΤΙΟΥ

DE DEMONACTE.

Demonax Cyprius qui Hadriano, Antonino io et M. Aurelio imperantibus inclaruit, renota cum Demetrio et Œnomao Cynicæ sectæ emoria Socratis quidem, Diogenis et Aristippi estigiis ingressus est, sed ad Cynicorum auctotatem maxime se contulit. Hujus vitam depinit ejusque mores et virtutes exposuit Lucianus nfecto libro qui etiam nunc inter ejus scripta kstat (2). Est autem Lucianus locuples testis erum Demonactis, ut qui diuturna cum eo conetudine conjunctus fuerit (3). Quo magis dolus libellum ejus non esse integrum, sed inter aput 11 et 12 excidisse commentariorum a philosopho scriptorum atque itinerum illius commemorationem, quia Athenis omnes quos habuisse dicitur magistros audire non potuit. Quando igitur natus et quando mortuus sit Demonax, incertum est, sed non videtur procul errare qui diligentissime temporum annales persecutus hominis Samosatensis narratione perlecta anno post Chr. n. 80 Cynicum in lucem editum et prope centum annorum senem non multo ante M. Aurelii imperatoris mortem, id est, paulo ante a. 180 supremum diem obiisse statuat.

Jam primum omnium quo tempore Cypro relicta Athenas venerit, ubi plurimum postea vixit Demonax, non traditur. Constat tantum, eum sapientiæ professores adiisse Agathobulum et Demetrium Cynicos, Epictetum Stoicum, denique Timocratem Heracleoten non intelligendi solum, sed etiam dicendi auctorem. Quantum autem tum illorum magistrorum disciplinæ, tum suo ingenio in rerum contemplatione debuerit, definiri non potest. Namque ab ineunte adolescentia optimis artibus sese dignum esse ratus in una philosophia quasi tabernaculum vitæ suæ collocavit. Neque vero illotis (4), ut ajunt, pedibus ad sapientiæ studium se contulit, sed postquam cum poetis, quorum plerosque memoria tenebat, familiaritatem contraxerat diuque in dicendi arte versatus erat et superio-

(1) Cf. A. *Recknagelii* commentatio de Demonacte philosopho. Noribergæ 1857. — (2) De quo Eunapius in roœmio pag. 4 ed. Boisson.: Λουκιανὸς δὲ ὁ ἐκ Σαμοτάων, ἀνὴρ σπουδαῖος ἐς τὸ γελασθῆναι, Δημώνακτος φιλοσόου κατ' ἐκείνους τοὺς χρόνους βίον ἀνέγραψεν, ἐν ἐκείνῳ τε ῷ βιβλίῳ καὶ ἄλλοις ἐλαχίστοις δι' ὅλου σπουδάσας. Iujua ergo Luciano hunc librum abjudicarunt Olearius et ekkerus, quos refutavit F. V. *Fritzschius* in Dissertatione e Luciani Demonacte et Sostrato Rostochii anno 1864 dita pag. 3. — (3) Lucianus vit. Demonact. c. 1-3: Ἐμελεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος τὸ παντάπασιν ἄμοιρος ἔσεσθαι ἀνδρῶν λόγου καὶ μνήμης ἀξίων, ἀλλὰ καὶ σώματος ἀρετὴν ὑπερφυᾶ καὶ γνώμην ἄκρως φιλόσοφον ἐκφανεῖν. Λέγω εἷς τε τὸν Βοιώτιον Σώστρατον ἀναφέρων, ὃν Ἡρακλέα οἱ Ἕλληνες ἐκάλουν καὶ ὤοντο εἶναι καὶ μάλιστα εἰς Δημώνακτα τὸν φιλόσοφον, οὓς καὶ εἶδον αὐτὸς καὶ ἰδὼν ἐθαύμασα, ατέρῳ δὲ τῷ Δημώνακτι καὶ ἐπὶ μήκιστον συνεγενόμην. Περὶ μὲν οὖν Σωστράτου ἐν ἄλλῳ βιβλίῳ γέγραπταί μοι καὶ εδήλωται μέγεθός τε αὐτοῦ καὶ ἰσχύος ὑπερβολὴ καὶ ἡ ὕπαιρος ἐν τῷ Παρνασῷ εὐνὴ καὶ ἡ ἐπίπονος δίαιτα καὶ τροφαὶ ρειοι καὶ ἔργα οὐκ ἀπῳδὰ τοῦ ὀνόματος καὶ ὅσα ἢ λῃστὰς ναιρῶν ἔπραξεν ἢ ὁδοποιῶν τὰ ἄβατα ἢ γεφυρῶν τὰ δύσορα. Περὶ δὲ Δημώνακτος ἤδη δίκαιον λέγειν ἀμφοῖν ἕνεκα, ς ἐκεῖνός τε διὰ μνήμην εἴη τοῖς ἀρίστοις τό γε κατ' ἐμὲ καὶ ἥ γενναιότατοι τῶν νέων καὶ πρὸς φιλοσοφίαν ὁρῶντες ἔχοιεν ὴ πρὸς τὰ ἀρχαῖα μόνα τῶν παραδειγμάτων σφᾶς αὐτοὺς υθμίζειν, ἀλλὰ κἀκ τοῦ ἡμετέρου βίου κανόνα προτίθεσθαι αὶ ζηλοῦν ἐκεῖνον ἄριστον ὧν οἶδα ἐγὼ φιλοσόφων γενόμεον. Ἦν δὲ τὸ μὲν γένος Κύπριος, οὐ τῶν ἀφανῶν ὅσα εἰς ξίωμα πολιτικὸν καὶ κτῆσιν. Οὐ μὴν ἀλλὰ καὶ πάντων τούτων ὑπεράνω γενόμενος καὶ ἀξιώσας ἑαυτὸν τῶν καλλίστων ρὸς φιλοσοφίαν ὥρμησεν οὐκ Ἀγαθοβούλου μὰ Δί' οὐδὲ Δηητρίου πρὸ αὐτοῦ οὐδὲ Ἐπικτήτου ἐπεγειράντων, ἀλλὰ πᾶσι μὲν συνεγένετο τούτοις καὶ ἔτι Τιμοκράτει τῷ Ἡρακλεώτῃ τοφῷ ἀνδρὶ φωνήν τε καὶ γνώμην μάλιστα κεκοσμημένῳ. Ἀλλ' ὁ γὰρ Δημῶναξ οὐχ ὑπὸ τούτων τινός, ὡς ἔφην, παρακληθείς, ἀλλ' οἰκείας πρὸς τὰ καλὰ ὁρμῆς καὶ ἐμφύτου πρὸς φιλοσοφίαν ἔρωτος ἐκ παίδων εὐθὺς κεκινημένος ὑπερεῖδε μὲν τῶν ἀνθρωπείων ἀγαθῶν ἁπάντων, ὅλον δὲ παραδοὺς ἑαυτὸν ἐλευθερίᾳ καὶ παῤῥησίᾳ διετέλεσεν αὐτός τε ὀρθῶ καὶ ὑγιεῖ καὶ ἀνεπιλήπτῳ βίῳ χρώμενος καὶ τοῖς ὁρῶσι καὶ ἀκούουσι παράδειγμα παρέχων τὴν ἑαυτοῦ γνώμην καὶ τὴν ἐν τῷ φιλοσοφεῖν ἀλήθειαν. — (4) Lucianus vit. Demonact. c. 4 — 6: Οὐ μὴν ἀνίπτοις γε ποσί, τὸ τοῦ λόγου, πρὸς ταῦτα ἦξεν, ἀλλὰ καὶ ποιηταῖς σύντροφος ἐγένετο καὶ τῶν πλείστων ἐμέμνητο καὶ λέγειν ἤσκητο καὶ τὰς ἐν φιλοσοφίᾳ προαιρέσεις οὐκ ἐπ' ὀλίγον οὐδὲ κατὰ τὴν παροιμίαν ἄκρῳ τῷ δακτύλῳ ἁψάμενος ἠπίστατο, καὶ τὸ σῶμα δὲ ἐγεγύμναστο καὶ πρὸς καρτερίαν διεπεπόνητο, καὶ τὸ ὅλον ἐμεμελήκει αὐτῷ μηδενὸς ἄλλου προσδεᾶ εἶναι· ὥστε ἐπεὶ καὶ ἔμαθεν οὐκέτι ἑαυτῷ διαρκῶν, ἑκὼν ἀπῆλθε τοῦ βίου πολὺν ὑπὲρ αὐτοῦ λόγον τοῖς ἀρίστοις τῶν Ἑλλήνων καταλιπών. Φιλοσοφίας δὲ εἶδος οὐχ ἓν ἀποτεμόμενος, ἀλλὰ πολλὰ ἐς ταὐτὸ καταμίξας οὐ πάνυ τι ἐξέφαινε τίνι αὐτῶν ἔχαιρεν. Ἐῴκει δὲ τῷ Σωκράτει μᾶλλον ᾠκειῶσθαι, εἰ καὶ τῷ σχήματι καὶ τῇ τοῦ βίου ῥᾳστώνῃ τὸν Σινωπέα ζηλοῦν ἔδοξεν, οὐ παραχαράττων τὰ εἰς τὴν δίαιταν, ὡς θαυμάζοιτο καὶ ἀποβλέποιτο ὑπὸ τῶν ἐντυγχανόντων, ἀλλ' ὁμοδίαιτος ἅπασιν ὢν καὶ πεζὸς καὶ οὐδ' ἐπ' ὀλίγον τύφῳ κάτοχος συνῆν καὶ ξυνεπολιτεύετο. Τὴν μὲν τοῦ Σωκράτους εἰρωνείαν οὐ προσιέμενος, χάριτος δὲ Ἀττικῆς μεστὰς ἀποφαίνων τὰς συνουσίας, ὡς τοὺς προσομιλήσοντας ἀπιέναι μήτε καταφρονήσαντας ὡς ἀγεννοῦς μήτε τὸ σκυθρωπὸν τῶν ἐπιτιμήσεων ἀποφεύγοντας, παντοίους δὲ ὑπ' εὐφροσύνης γενομένους καὶ κοσμιωτέρους παρὰ πολὺ καὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

rum philosophorum præcepta perceperat, ad pertractandam hanc disciplinarum reginam se dedit. Fuit autem, licet habitu et victus tenuitate aliquatenus Sinopensem æmulari videretur, Cynica ejus institutio Socratis aliorumque philosophorum decretis temperata. Quin etiam (5) attica in jocis ejus urbanitas comparebat sermonesque lepore et festivitate conditi erant, ita ut, quod de Pericle scripsit Eupolis, in illius labris Suada sessitaret. Quocirca non modo discipulis, sed omnibus etiam Atheniensibus atque adeo Græciæ universæ placebat (6). Neque tamen obtrectatores ei defuerunt, a quibus nunquam sacrificasse arguebatur. Addebant eum unum ex omnibus non esse Eleusiniis sacris initiatum. Quum igitur Demonax coronatus ac pura veste indutus in concionem prodiisset, partim concinne partim asperius quam pro instituto suo causam dixit. Etenim in hoc imitatus est Socratem, qui ut est apud Ciceronem De or. I, 54 ita in judicio capitis pro se ipse dixit, ut non supplex aut reus, sed magister aut dominus videretur esse judicum. Quippe asperiore proœmio usus : *Coronatum*, inquit, (victimæ instar) *quoniam me videtis, agite, jam me quoque mactate; priore enim illa hostia* (Socrate) *non litastis. Nolite autem mirari, Athenienses, me prius Minervæ non sacrificasse; siquidem illam sacrificiis a me factis indigere non putabam.* Præterea mysteriis se non esse initiatum professus est, quia si bona forent, ea omnibus enuntiasset, si mala, homines nondum initiatos ab hujusmodi orgiis avertisset. Itaque hac cavillatione causam judicesque ludendo effecit, ut multitudo ad sanitatem reverteretur ipseque e periculo evaderet. Athenienses enim quum jam essent ipsum lapidibus percussuri, versa in benevolentiam ira ab illo tempore cœperunt eum colere et observare ac postremo etiam admirari. Cæterum (7) usque ad vitæ finem tanto honore cives cæterique Græci Demonactem prosecuti sunt, ut prodeunti in publicum magistratus assurgerent omnesque silentium obtinerent.

Postremo quum jam esset summa senectute, vir venerabilis invocatus quamcunque libebat domum ingressus ibi cœnabat ac dormiebat; quique in ea habitabant, deum quendam adve-

φαιδροτέρους καὶ πρὸς τὸ μέλλον εὐέλπιδας. — (5) Lucianus vit. Demonact. c. 7-10 : Οὐδεπώποτε γοῦν ὤφθη κεκραγὼς ἢ ὑπερδιατεινόμενος ἢ ἀγαναχτῶν οὐδ' εἰ ἐπιτιμᾶν τῳ δέοι, ἀλλὰ τῶν μὲν ἁμαρτημάτων καθήπτετο, τοῖς δὲ ἁμαρτάνουσι συνεγίγνωσκε, καὶ τὸ παράδειγμα παρὰ τῶν ἰατρῶν ἠξίου λαμβάνειν τὰ μὲν νοσήματα ἰωμένων, ὀργῆ δὲ πρὸς τοὺς νοσοῦντας οὐ χρωμένων· ἡγεῖτο γὰρ ἀνθρώπου μὲν εἶναι τὸ ἁμαρτάνειν, θεοῦ δὲ ἢ ἀνδρὸς ἰσοθέου τὰ πταισθέντα ἐπανορθοῦν. Τοιούτῳ δὴ βίῳ χρώμενος εἰς ἑαυτὸν μὲν οὐδενὸς ἐδεῖτο, φίλοις δὲ συνέπραττε τὰ εἰκότα, καὶ τοὺς μὲν εὐτυχεῖν δοκοῦντας αὐτῶν ὑπεμίμνησκεν ὡς ἐπ' ὀλιγοχρονίοις τοῖς δοκοῦσιν ἀγαθοῖς ἐπαιρομένους, τοὺς δὲ ἢ πενίαν ὀδυρομένους ἢ φυγὴν δυσχεραίνοντας ἢ γῆρας ἢ νόσον αἰτιωμένους σὺν γέλωτι παρεμυθεῖτο οὐχ ὁρῶντας ὅτι μετὰ μικρὸν αὐτοῖς παύσεται μὲν τὰ ἀνιῶντα, λήθη δέ τις ἀγαθῶν καὶ κακῶν καὶ ἐλευθερία μακρὰ πάντας ἐν ὀλίγῳ καταλήψεται. Ἔμελε δὲ αὐτῷ καὶ ἀδελφοὺς στασιάζοντας διαλλάττειν καὶ γυναιξὶ πρὸς τοὺς γεγαμηκότας εἰρήνην πρυτανεύειν· καί που καὶ ὁήμοις ταραττομένοις ἐμμελῶς διελέχθη καὶ τοὺς πλείστους αὐτῶν ἔπεισεν ὑπουργεῖν τῇ πατρίδι τὰ μέτρια. Τοιοῦτός τις ἦν ὁ τρόπος τῆς φιλοσοφίας αὐτοῦ, πρᾶος καὶ ἥμερος καὶ φαιδρός. Μόνον αὐτὸν ἠνία φίλου νόσος ἢ θάνατος, ὡς ἂν καὶ τὸ μέγιστον τῶν ἐν ἀνθρώποις ἀγαθῶν τὴν φιλίαν ἡγούμενον· καὶ διὰ τοῦτο φίλος μὲν ἦν ἅπασι, καὶ οὐκ ἔστιν ὅντινα οὐκ οἰκεῖον ἐνόμιζεν, ἀνθρωπόν γε ὄντα. Πλέον δὲ ἢ ἔλαττον ἔχαιρε συνὼν ἑνίοις αὐτῶν, μόνοις ἐξιστάμενος ὁπόσοι ἂν ἐδόκουν αὐτῷ ὑπὲρ τὴν τῆς θεραπείας ἐλπίδα διαμαρτάνειν. Καὶ πάντα ταῦτα μετὰ Χαρίτων καὶ Ἀφροδίτης αὐτῆς ἔπραττέ τε καὶ ἔλεγεν, ὡς ἀεί, τὸ κωμικὸν ἐκεῖνο, τὴν Πειθὼ τοῖς χείλεσιν αὐτοῦ ἐπικαθῆσθαι. Eupolis apud Diod. Sic. lib. XII cap. 40 : Περικλέης οὐλύμπιος Ἥστραπτ', ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα. Πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν· Οὕτως ἐκήλει καὶ μόνος τῶν ῥητόρων Τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις. — (6) Lucianus vit. Demonact. c. 11 : Τοιγαροῦν καὶ Ἀθηναίων ὅ τε σύμπας δῆμος καὶ οἱ ἐν τέλει ὑπερφυῶς ἐθαύμαζον αὐτὸν καὶ διετέλουν ὥς τινα τῶν κρειττόνων προσβλέποντες. Καίτοι ἐν ἀρχῇ προσέκρουε τοῖς πολλοῖς αὐτῶν καὶ μῖσος οὐ μεῖον [τοῦ Σωκράτους] παρὰ τοῖς πλήθεσιν ἐκτήσατο ἐπί τε τῇ παῤῥησίᾳ καὶ ἐλευθερίᾳ, καί τινες ἐπ' αὐτὸν συνέστησαν Ἄνυτοι καὶ Μέλητοι τὰ αὐτὰ κατηγοροῦντες ἅπερ κἀκείνου οἱ τότε, ὅτι οὔτε θύων ὤφθη πώποτε οὔτε ἐμυήθη μόνος ἁπάντων ταῖς Ἐλευσινίαις· πρὸς ἅπερ ἀνδρείως μάλα στεφανωσάμενος καὶ καθαρὸν ἱμάτιον ἀναλαβὼν καὶ παρελθὼν εἰς τὴν ἐκκλησίαν τὰ μὲν ἐμμελῶς, τὰ δὲ καὶ τραχύτερον ἢ κατὰ τὴν ἑαυτοῦ προαίρεσιν ἀπελογήσατο· πρὸς μὲν γὰρ τὸ μὴ τεθυκέναι πώποτε τῇ Ἀθηνᾷ, Μὴ θαυμάσητε, ἔφη, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ μὴ πρότερον αὐτῇ ἔθυσα, οὐδὲ γὰρ δεῖσθαι αὐτὴν τῶν παρ' ἐμοῦ θυσιῶν ὑπελάμβανον. Πρὸς δὲ θάτερον, τὸ τῶν μυστηρίων, ταύτην ἔφη ἔχειν αἰτίαν τοῦ μὴ κοινωνῆσαι σφίσι τῆς τελετῆς, ὅτι, ἄν τε φαῦλα ᾖ τὰ μυστήρια, οὐ σιωπήσεται πρὸς τοὺς μηδέπω μεμυημένους, ἀλλ' ἀποτρέψει αὐτοὺς τῶν ὀργίων, ἄν τε καλά, πᾶσιν αὐτὰ ἐξαγορεύσειν ὑπὸ φιλανθρωπίας· ὥστε τοὺς Ἀθηναίους ἤδη λίθους ἐπ' αὐτὸν ἐν ταῖν χεροῖν ἐχοντας πράους αὐτῷ καὶ ἥμερος γενέσθαι αὐτίκα καὶ τὸ ἀπ' ἐκείνου ἀρξαμένους τιμᾶν καὶ αἰδεῖσθαι καὶ τὰ τελευταῖα θαυμάζειν, καίτοι εὐθὺς ἐν ἀρχῇ τῶν πρὸς αὐτοὺς λόγων τραχυτέρῳ ἐχρήσατο τῷ προοιμίῳ· Ἄνδρες γάρ, ἔφη, Ἀθηναῖοι, ἐμὲ μὲν ὁρῶντες ἐστεφανωμένον ὑμεῖς ἤδη κἀμὲ καταθύσατε, τὸ γὰρ πρότερον οὐκ ἐκαλλιερήσατε. — (7) Lucianus vit. Demonact. c. 63 : ἐβίω δὲ ἔτη ὀλίγου δέοντα τῶν ἑκατὸν ἄνοσος, ἄλυπος, οὐδένα ἐνοχλήσας τι ἢ αἰτήσας, φίλοις χρήσιμος, ἐχθρὸν οὐδένα οὐδεπώποτε ἐσχηκώς· καὶ τοσοῦτον ἔρωτα ἔσχον πρὸς αὐτὸν Ἀθηναῖοί τε αὐτοὶ καὶ ἅπασα ἡ Ἑλλάς, ὥστε παριόντι ὑπεξανίστασθαι μὲν τοὺς ἄρχοντας, σιωπὴν δὲ γίνεσθαι παρὰ πάντων. Τὸ τελευταῖον δὲ ἤδη ὑπέργηρως ὢν ἄκλητος εἰς ἣν τύχοι παριὼν οἰκίαν ἐδείπνει καὶ ἐκάθευδε, τῶν ἐνοικούντων θεοῦ τινα ἐπιφάνειαν ἡγουμένων τὸ πρᾶγμα καί τινα ἀγαθὸν δαίμονα εἰσεληλυθέναι αὐτοῖς εἰς τὴν οἰκίαν. Παριόντα δὲ αἱ ἀρτοπώλιδες ἀνθεῖλκον πρὸς αὐτὰς ἑκάστη ἀξιοῦσα παρ' αὐτῆς λαμβάνειν τῶν ἄρτων, καὶ τοῦτο εὐτυχίαν ἑαυτῆς ἡ δεδωκυῖα ᾤετο. Καὶ μὴν καὶ οἱ παῖδες ὀπώρας προσέφερον αὐτῷ πατέρα ὀνομάζοντες.

isse arbitrabantur. Tantum vero tum apud cives
m apud alios homines auctoritate valuit et
loquentia, ut si orta seditione ad populum con-
ionaretur, facile mortales ad officium patriæ
ebitum reduceret. Quare (8) turbidos homines
liquando Athenis, postquam in medium pro-
essit, sola præsentia sua coercuit, utque ad sa-
itatem rediisse vidit, nihil locutus abiit. Vitam
elibem egit, quorundam fortasse philosopho-

rum sententiam secutus, qui sapienti non esse ducendam uxorem censuerant.

Quum autem decrepitum senem vires deficere cœpissent, fertur præsentibus amicis illam dixisse clausulam, qua in certaminibus præcones uti solebant : *Finitur certamen pulcherrima tribuens victoribus præmia, tempusque monet, ne differamus amplius.* Abstinens igitur omnibus ex vita migravit hilaris et qualis semper obviis apparuerat. De sepultura idem sensit quod Diogenes. Nam interrogantibus amicis, quomodo sepeliri cuperet, inhumatum se projici velle respondit. At Athenienses magnifico funere eum extulerunt, atque etiam sedem lapideam in qua fessus requiescere solebat, adorabant coronabantque honoris causa, rati lapidem quoque esse sacrum in quo ille consedisset. Denique funeris exsequias nemo fuit qui non prosequeretur, præsertim philosophorum. Hi corpus ejus humeris suis sublatum ad sepulcrum portaverunt.

Quod reliquum est, diu viguisse Demonactis memoriam fidem faciunt dicta ex ejus libris a Stobæo, Joanne Damasceno, Antonio et Maximo excerpta, quæ una cum sententiis a Luciano servatis collecta, recognita et latine versa hic proponam.

(8) Lucianus vit. Demonact. c. 64-67 : στάσεως δέ ποτε
θήνησι γενομένης εἰσῆλθεν εἰς τὴν ἐκκλησίαν, καὶ φανεὶς
όνον σιωπᾶν ἐποίησεν αὐτούς· ὁ δὲ ἰδὼν ἤδη μετεγνωκότας
δὲν εἰπὼν καὶ αὐτὸς ἀπηλλάγη. Ὅτε δὲ συνῆκεν οὐκέθ'
ὸς τε ὢν αὐτῷ ἐπικουρεῖν, εἰπὼν πρὸς τοὺς παρόντας τὸν
αγώνιον τῶν κηρύκων πόδα Λήγει μὲν ἀγὼν τῶν καλλί-
των ἄθλων ταμίας, καιρὸς δὲ καλεῖ μηκέτι μέλλειν, καὶ
άντων ἀποσχόμενος ἀπῆλθε τοῦ βίου φαιδρὸς καὶ οἷος ἀεὶ
ῖς ἐντυγχάνουσιν ἐφαίνετο. Ὀλίγον δὲ πρὸ τῆς τελευτῆς
ομένου τινός, Περὶ ταφῆς τί κελεύεις; Μὴ πολυπραγμο-
εῖτε, ἔφη· ἡ γὰρ ὀδμή με θάψει. Φαμένου δὲ ἐκείνου, Τί
ῦν; οὐκ αἰσχρὸν ὀρνέοις καὶ κυσὶ βορὰν προτεθῆναι τηλικούτου
νδρὸς σῶμα; Καὶ μὴν οὐδὲν ἄτοπον, ἔφη, τοῦτο, εἰ μέλλω
αὶ ἀποθανὼν ζῴοις τισὶ χρήσιμος ἔσεσθαι. Οἱ μέντοι Ἀθη-
αῖοι καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ μεγαλοπρεπῶς καὶ ἐπὶ πολὺ
πένθησαν καὶ τὸν θᾶκον τὸν λίθινον, ἐφ' οὗ εἰώθει ὁπότε κά-
νοι ἀναπαύεσθαι, προσεκύνουν καὶ ἐστεφάνουν ἐς τιμὴν τοῦ
νδρός, ἡγούμενοι ἱερὸν εἶναι καὶ τὸν λίθον, ἐφ' οὗ ἐκαθέζετο.
Ἐπὶ μὲν γὰρ τὴν ἐκφορὰν οὐκ ἔστιν ὅστις οὐκ ἀπήντησε, καὶ
άλιστα τῶν φιλοσόφων· οὗτοι μέντοι ὑποδύντες ἐκόμιζον
αὐτὸν ἄχρι πρὸς τὸν τάφον. Ταῦτα ὀλίγα πάνυ ἐκ πολλῶν
πεμνημόνευσα, καὶ ἔστιν ἀπὸ τούτων τοῖς ἀναγινώσκουσι
ογίζεσθαι, ὁποῖος ἐκεῖνος ἀνὴρ ἐγένετο.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΔΗΜΩΝΑΚΤΟΣ

ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

Γνῶμαι καὶ Ἀποφθέγματα.

1. Τοσοῦτον εἰς ἀρετὴν προσθήσεις, ὅσον ἂν ὑφέλῃς ὧν ἡδονῶν.

(Antonius et Maximus Serm. de vitæ virtute t vitio p. 35.)

2. Αἰσχρὸν μὲν ἐν ἄλλοις ἀποδέχεσθαι τὰς ἀρετάς, ἑαυτοῖς δὲ ἔχειν τὰς κακίας.

(Antonius et Maximus Serm. de vitæ virtute t vitio p. 35.)

3. Τοὺς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ μελοῦντας ὠνείδιζεν, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δὲ ἐνοίκων ἀμελοῦντας.

(Antonius et Maximus Serm. de vitæ virtute t vitio p. 35.)

4. Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτόν, καὶ ἀλλότριος τῶν κακῶν ἔσῃ.

(Maximus Serm. de prudentia et consilio . 94.)

5. Θνητοὶ γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς.

(Stobæus Floril. XXII, 16 Δημώνακτος.)

6. Ἐξεταζόντων τινῶν, εἰ ὁ κόσμος ἔμψυχος, καὶ ὕθις, εἰ σφαιροειδής· Ὑμεῖς, ἔφη, περὶ μὲν τοῦ όσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς ἑαυτῶν ἀκοσμίας οὐ φροντίζετε.

(Stobæus Eclog. physic. et ethic. lib. II cap. , 11 pag. 10 ed. Heeren. Cf. Antonius et Maximus Serm. de curiositate p. 164.)

7. Τινὸς σοφιστοῦ αἰτιωμένου αὐτὸν καὶ λέγοντος· Διὰ τί με κακῶς λέγεις; Ὅτι μὴ καταφρονεῖς, ἔφη, τοῦ κακῶς λέγοντος.

(Antonius et Maximus Serm. de vituperatione et calumnia pag. 259.)

8. Δημῶναξ ἐρωτηθείς, πότε ἤρξατο φιλοσοφεῖν, Ὅτε καταγιγνώσκειν, ἔφη, ἐμαυτοῦ ἠρξάμην.

(Stobæus Floril. XXI, 8.)

9. Τοῖς ὠσὶ πλέον ἢ τῇ γλώττῃ χρῶ.

(Antonius et Maximus Serm. de loquacitate p. 396.)

10. Οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι σιγῶσι.

(Antonius et Maximus Serm. de doctrina et philosophia p. 706. Cf. Excerpta e cod. Flor. Joann. Damasc. in Stob. Flor. vol. IV p. 196 ed. Meineke.)

11. Ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων. Τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται· τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσὶ καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι.

(Antonius Serm. de malis amicis pag. 724.)

12. Μυστήριον ἐν φιλίᾳ ἀκούσας ὕστερον ἐχθρὸς γενόμενος μὴ ἐκφάνῃς· ἀδικεῖς γὰρ οὐ τὸν ἐχθρόν, ἀλλὰ τὴν φιλίαν.

(Antonius Serm. de malis amicis pag. 724.)

13. Μὴ κτῆσαι φίλον, ᾧ μὴ πάντα πιστεύεις.

(Antonius Serm. de malis amicis pag. 724. De structura μὴ κτῆσαι vide Gregorium Corinthium et ejus interpretes p. 15 sqq. ed. Schæfer.)

DEMONACTIS

SENTENTIÆ ET APOPHTHEGMATA.

Sententiæ et Apophthegmata.

1. Tantum ad virtutem adjicies, quantum voluptatibus detraxeris.

2. Turpe est in aliis probare virtutes, intra se autem habere vitia.

3. Homines corpora tantum curantes, sui autem negligentes reprehendebat, quod domos quidem curarent, sed inquilinos negligerent.

4. Alienis exemplis velim te erudias; tum enim nullo malo vexaberis.

5. Mortales quum sitis, nolite diis majora cogitare.

6. Quum alii inquirerent, num mundus esset animans, et rursus, num globosus: *Vos*, inquit Demonax, *de mundo curiose quæritis, at vestram ipsorum vitam flagitiosam non curatis.*

7. Quum sophista quidam ipsum culparet ac diceret: *Cur mihi maledicis?* respondit: *Quia maledicentem non contemnis.*

8. Demonax interrogatus, quando cœpisset philosophari, *Tum*, inquit, *quum me ipsum damnare incepi.*

9. Auribus magis quam lingua utere.

10. Indocti tanquam pisces capti, dum trahuntur, silent.

11. Pauciora mala hominibus ab inimicis quam ab amicis apportantur. Inimicos enim quum metuant, ab iis cavent: amicis vero aperti sunt, unde pericula iis creari atque insidiæ facile strui possunt.

12. Arcanum manente amicitia auditum inimicus postea factus ne evulges; lædis enim non tam inimicum quam amicitiam.

13. Ne pares amicum, cui non omnia committas.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

14. Εἰσί τινες, οἳ τὸν παρόντα βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ ὡς ἕτερον βίον βιωσόμενοι, οὐ τὸν παρόντα.

(Antonius et Maximus Serm. de divitiis, paupertate et avaritia p. 760.)

15. Δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατ' ἀλήθειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον.

(Antonius et Maximus Serm. de fortuna secunda et adversa pag. 820.)

16. Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι κοσμεῖν δεῖ.

(Excerpta e cod. Flor. Joann. Damasc. in Stob. Flor. vol. IV p. 196 ed. Meineke, cap. XIII, 53 Δημώνακτος, Ὑψαίου καὶ Σωκράτους.)

17. Ἐπεὶ γὰρ ὁ Φαβωρῖνος ἀκούσας τινὸς ὡς ἐν γέλωτι ποιοῖτο τὰς ὁμιλίας αὐτοῦ καὶ μάλιστα τῶν ἐν αὐταῖς μελῶν τὸ ἐπικεκλασμένον σφόδρα ὡς ἀγεννὲς καὶ γυναικεῖον καὶ φιλοσοφίᾳ ἥκιστα πρέπον, προσελθὼν ἠρώτα τὸν Δημώνακτα, τίς ὢν χλευάζοι τὰ αὐτοῦ. Ἄνθρωπος, ἔφη, οὐκ εὐαπάτητα ἔχων τὰ ὦτα. Ἐγκειμένου δὲ τοῦ σοφιστοῦ καὶ ἐρωτῶντος, τίνα δὲ καὶ ἐφόδια ἔχων, ὦ Δημῶναξ, ἐκ παιδιᾶς εἰς φιλοσοφίαν ἥκεις; Ὄρχεις, ἔφη.

(Lucianus vit. Demonact. c. 12.)

18. Ἄλλοτε δέ ποτε ὁ αὐτὸς προσελθὼν ἠρώτα τὸν Δημώνακτα, τίνα αἵρεσιν ἀσπάζεται μᾶλλον ἐν φιλοσοφίᾳ· ὁ δὲ, Τίς γάρ σοι εἶπεν ὅτι φιλοσοφῶ; καὶ ἀπιὼν ἤδη παρ' αὐτοῦ μάλα ἡδὺ ἐγέλασε· τοῦ δὲ ἐρωτήσαντος, ἐφ' ὅτῳ γελᾷ, ἐκεῖνος ἔφη, Γελοῖόν μοι εἶναι ἔδοξεν, εἰ σὺ ἀπὸ τοῦ πώγωνος ἀξιοῖς κρίνεσθαι τοὺς φιλοσοφοῦντας αὐτὸς πώγωνα οὐκ ἔχων.

(Lucianus vit. Demonact. c. 13.)

19. Τοῦ δὲ Σιδωνίου ποτὲ σοφιστοῦ Ἀθήνησιν εὐδοκιμοῦντος καὶ λέγοντος ὑπὲρ αὑτοῦ ἔπαινόν τινα τοιοῦτον, ὅτι πάσης φιλοσοφίας πεπείραται (οὐ χεῖρον δὲ αὐτὰ εἰπεῖν ἃ ἔλεγεν)· Ἐὰν Ἀριστοτέλης με καλῇ ἐπὶ τὸ Λύκειον, ἕψομαι· ἂν Πλάτων ἐπὶ τὴν Ἀκαδήμειαν, ἀφίξομαι· ἂν Ζήνων, ἐπὶ τῇ Ποικίλῃ διατρίψω· ἂν Πυθαγόρας καλῇ, σιωπήσομαι. Ἀναστὰς οὖν ἐκ μέσων τῶν ἀκροωμένων, Οὗτος, ἔφη προσειπὼν τὸ ὄνομα, καλεῖ σε Πυθαγόρας.

(Lucianus vit. Demonact. c. 14.)

20. Πύθωνος δέ τινος τῶν ἐν Μακεδονίᾳ εὐπαρύφων νεανίσκου ὡραίου ἐρεσχηλοῦντος αὐτὸν καὶ προτείνοντος ἐρώτημά τι σοφιστικὸν καὶ κελεύοντος εἰπεῖν τοῦ συλλογισμοῦ τὴν λύσιν, Ἕν, ἔφη, οἶδα, τέκνον, ὅτι περαίνει. Ἀγανακτήσαντος δὲ ἐκείνου ἐπὶ τῷ τῆς ἀμφιβολίας σκώμματι καὶ συναπειλήσαντος, Αὐτίκα σοι μάλα τὸν ἄνδρα δείξω, ὁ δὲ σὺν γέλωτι ἠρώτησε, Καὶ γὰρ ἄνδρα ἔχεις;

(Lucianus vit. Demonact. c. 15.)

21. Ἐπεὶ δέ τις ἀθλητὴς καταγελασθεὶς ὑπ' αὐτοῦ, ὅτι ἐσθῆτα ὤφθη ἀνθινὴν ἀμπεχόμενος Ὀλυμπιονίκης ὤν, ἐπάταξεν αὐτὸν εἰς τὴν κεφαλὴν λίθῳ καὶ αἷμα ἐῤῥύη, οἱ μὲν παρόντες ἠγανάκτουν ὡς αὐτὸς ἕκαστος τετυπτημένος καὶ ἐδόων ἐπὶ τὸν ἀνθύπατον ἰέναι, ὁ δὲ Δημῶναξ, Μηδαμῶς, ἔφη, ὦ ἄνδρες, πρὸς τὸν ἀνθύπατον, ἀλλ' ἐπὶ τὸν ἰατρόν.

---

14. Sunt quidam qui non hanc præsentem vitam vivunt, sed magno studio tanquam ad alteram vitam, non ad hanc præsentem degendam se comparant.

15. Militum fuga in bello virum re vera fortem indicat, calamitas vero prudentem.

16. Urbes quidem ornamentis affici, sed animos artibus erudiri oportet.

17. Quum enim ex aliquo Phavorinus audivisset, illum suas disputationes facetiis perstringere, maxime vero membrorum in iis nimis fractas delicias, ut non generosam, at muliebrem mollitiem ac philosophiæ minime convenientem, Demonactem adiit ab eoque quæsivit, quisnam esset, a quo ipsius dicta sugillarentur: Is homo, inquit, cui aures sint ad decipiendum non faciles. Instante vero eodem sophista atque interrogante, Quibus subsidiis, o Demonax, a jocis ad philosophiæ studium te contulisti? Testiculis, inquit.

18. Idem alias Demonactem convenit ab eoque sciscitatus est, quam philosophorum sectam magis sequeretur: Quis vero, inquit, tibi dixit me philosophari? Jamque abiens ab eo dulciter admodum risit. Illo autem percontante, qua de re rideret, Demonax, Ridiculum, inquit, mihi visum est, te, qui ipse barbam non habes, ex barba philosophantes judicari velle.

19. Sidonio etiam qui sophista Athenis olim clarus fuit, dicente in suam laudem, se omnem philosophiam esse expertum — (malum autem non erit ea referre quæ dixit): Si me in Lyceum vocarit Aristoteles, sequar: si in Academiam Plato, veniam: si Zeno, in Pœcile commorabor: si Pythagoras vocarit, tacebo. Surgens igitur e medio auditorum, Heus tu, inquit, nomine eum compellans, vocat te Pythagoras.

20. Præterea Pythone quodam ex prætextatis Macedonibus, juvene formoso eum cavillante et quæstionem sophisticam proponente ac syllogismi solutionem dicere jubente, Unum, inquit, scio, mi fili, te confici. Quumque ille dicterii ambiguitatem indignaretur ac simul minaciter diceret, *Statim tibi virum ostendam*, hic ridens interrogavit: *Nempe virum habes?*

21. Quum etiam athleta quidam ab eo derisus, quod quamvis Olympionices esset, picta veste indutus cerneretur, ipsum lapidis ictu in capite vulnerasset atque inde sanguis manaret, homines quidam qui forte aderant quasi pro se quisque percussi indignabantur, ad Proconsulem pergendum esse vociferantes, sed Demonax, Nequaquam, inquit, viri, ad Proconsulem, sed ad medicum.

(Lucianus vit. Demonact. c. 16.)

22. Ἐπεὶ δέ ποτε καὶ χρυσοῦν δακτύλιον ὁδῷ βαδίζων εὗρε, γραμμάτιον ἐν ἀγορᾷ προθεὶς ἠξίου τὸν ἀποστάντα, ὅστις εἴη τοῦ δακτυλίου δεσπότης, ἥκειν καὶ κομίζοντα ὁλκὴν αὐτοῦ καὶ λίθον καὶ τύπον ἀπολαμβάνειν· ἦκεν οὖν τις μειρακίσκος ὡραῖος αὐτὸς ἀπολωλεκέναι λέγων. Ἐπεὶ δὲ οὐδὲν ὑγιὲς ἔλεγεν, Ἄπιθι, ἔφη, παῖ, καὶ τὸν ἑαυτοῦ δακτύλιον φύλαττε, τοῦτον γὰρ οὐκ ἀπολώλεκας.

(Lucianus vit. Demonact. c. 17.)

23. Τῶν δὲ ἀπὸ τῆς Ῥωμαίων βουλῆς τις Ἀθηναίων υἱὸν αὐτῷ δείξας πάνυ ὡραῖον, θηλυδρίαν δὲ καὶ κεκλασμένον, Προσαγορεύει σε, ἔφη, ὁ ἐμὸς υἱὸς τοσί, καὶ ὁ Δημῶναξ, Καλός, ἔφη, καὶ σοῦ ἄξιος τῇ μητρὶ ὅμοιος.

(Lucianus vit. Demonact. c. 18.)

24. Τὸν δὲ Κυνικὸν ἐν ἄρκτου δέρματι φιλοσοφοῦντα Ὀνώρατον, ὥσπερ ὠνομάζετο, ἀλλ' Ἀρκεσίλαον καλεῖν ἠξίου.

(Lucianus vit. Demonact. c. 19.)

25. Ἐρωτήσαντος δέ τινος, τίς αὐτῷ ὅρος εὐδαιμονίας εἶναι δοκεῖ, Μόνον εὐδαίμονα, ἔφη, τὸν ἐλεύθερον· ἐκείνου δὲ φήσαντος πολλοὺς ἐλευθέρους εἶναι, Ἀλλ' ἐκεῖνον νομίζω τὸν μήτε ἐλπίζοντά τι μήτε δεδιότα· ὁ δέ, Καὶ πῶς ἄν, ἔφη, τοῦτό τις δύναιτο; Πάντες γὰρ ὡς τὸ πολὺ τούτοις δεδουλώμεθα. Καὶ σύ, ἔφη, εἰ κατανοήσεις τὰ τῶν ἀνθρώπων πράγματα, ποίοις ἂν αὐτὰ οὔτε ἐλπίδος οὔτε φόβου ἄξια, παυσόμενον πάντως καὶ τῶν ἀνιαρῶν καὶ τῶν ἡδέων.

(Lucianus vit. Demonact. c. 20.)

26. Περεγρίνου δὲ τοῦ Πρωτέως ἐπιτιμῶντος αὐτῷ, ὅτι ἐγέλα τὰ πολλὰ καὶ τοῖς ἀνθρώποις προσέπαιζε, καὶ λέγοντος, Δημῶναξ, οὐ κυνᾷς; ἀπεκρίνατο, Περεγρῖνε, οὐκ ἀνθρωπίζεις;

(Lucianus vit. Demonact. c. 21.)

27. Καὶ μὴν καὶ φυσικόν τινα περὶ τῶν ἀντιπόδων διαλεγόμενον ἀναστήσας καὶ ἐπὶ φρέαρ ἀγαγὼν καὶ δείξας αὐτῷ τὴν ἐν τῷ ὕδατι σκιὰν ἤρετο, Τοιούτους ἄρα τοὺς ἀντίποδας εἶναι λέγεις;

(Lucianus vit. Demonact. c. 22.)

28. Ἀλλὰ καὶ μάγου τινὸς εἶναι λέγοντος καὶ ἐπῳδὰς ἔχειν ἰσχυράς, ὡς ὑπ' αὐτῶν ἅπαντας ἀναπείθειν καὶ παρέχειν αὐτῷ ὁπόσα βούλεται, Μὴ θαύμαζε, ἔφη· καὶ γὰρ αὐτὸς ὁμότεχνός εἰμί σοι, καὶ εἰ βούλει, ἕπου πρὸς τὴν ἀρτόπωλιν καὶ ὄψει με διὰ μιᾶς ἐπῳδῆς καὶ μικροῦ του φαρμάκου πείθοντα αὐτὴν δοῦναί μοι τῶν ἄρτων, αἰνιττόμενος τὸ νόμισμα ὡς τὰ ἴσα τῇ ἐπῳδῇ δυνάμενον.

(Lucianus vit. Demonact. c, 23.)

29. Ἐπεὶ δὲ Ἡρώδης ὁ πάνυ ἐπένθει τὸν Πολυδεύκην πρὸ ὥρας ἀποθανόντα καὶ ἠξίου ὄχημα ζεύγνυσθαι αὐτῷ καὶ ἵππους παρίστασθαι ὡς ἀναβησομένῳ καὶ δεῖπνον παρασκευάζεσθαι, προσελθών, Παρὰ Πολυδεύκους, ἔφη, κομίζω σοί τινα ἐπιστολήν. Ἡσθέντος δὲ ἐκείνου καὶ οἰηθέντος ὅτι κατὰ τὸ κοινὸν καὶ αὐτὸς συντρέχει τοῖς ἄλλοις τῷ πάθει αὐτοῦ, καὶ εἰπόντος, Τί οὖν, ὦ Δημῶναξ, Πολυδεύκης ἀξιοῖ; Αἰτιᾶταί σε, ἔφη, ὅτι μὴ ἤδη πρὸς αὐτὸν ἄπει.

---

22. Aliquando etiam quum ambulans annulum aureum via invenisset, proposita in foro tabella postulabat ut si annulum amisisset, quicunque tandem illius dominus esset, veniret, et indicato pondere, gemma et imagine eum reciperet. Venit ergo adolescentulus egregia specie, qui se amisisse illum affirmaret. Verum quoniam iste nihil ad ea dicebat, Abi, inquit, o puer, tuumque annulum serva; neque hunc non amisisti.

23. Porro quispiam e Romanis senatoribus quum patri ipsi filium ostendisset, valde formosum, sed effeminatum et deliciis fractum : Salutat te, inquit, hic meus filius. Tum Demonax, Pulcher ille est, inquit, teque dignus et matri similis.

24. Præterea Cynicum in ursi pelle philosophantem non Honoratum, quod illi nomen erat, sed Arcesilaum vocare volebat.

25. Quum quidam interrogasset, quis ipsi felicitatis terminus esse videretur, respondit, solum esse felicem qui nullus foret. Illo autem subjiciente, multos esse liberos, neminem puto, inquit, qui neque sperat neque metuit quidquam. Ille vero, quomodo quis, ait, hoc facere possit? Omnes enim his plerumque servimus. Atqui, inquit, si res humanas consideraveris, eas neque spe neque metu digna esse invenies, ubi tristia et jucunda omnia desierint.

26. Peregrino autem Protei filio ipsum objurgante, quod plerumque rideret et homines illuderet, dicenteque, Demonax, nonne Cynicum agis? Respondit, Peregrine, nonne tu hominem?

27. Quin etiam physicum quendam de antipodibus disserentem postquam excitavit atque ad puteum deduxit demonstratis in aqua umbris percontatus est, Tales igitur antipodas esse affirmas?

28. Insuper quopiam magum se esse profitente carminaque habere efficacia, quibus omnes ad agendum impelleret et præstaret quæcunque vellet, Ne mireris, inquit, nam ipse eandem quam tu artem exerceo, ac si vis, ad panum venditricem me sequere, et videbis me una cantione et exiguo remedio eam adducturum, ut mihi det panem ex iis quos habet, nummum significans, æqualem incantamentis vim obtinentem.

29. Quum vero illustris ille Herodes Pollucem præmatura morte absumtum lugeret velletque currum equis jungi et tanquam ascensuro sibi præsto esse ac cœnam parari, adiens hunc Demonax, A Polluce, inquit, litteras tibi affero. Quum autem ille gavisus esset atque existimaret ipsum qnoque in commune cum suo dolore concurrere, dixissetque, Quid igitur, o Demonax, sibi vult Pol-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Lucianus vit. Demonact. c. 24.)

30. Ὁ δ' αὐτὸς υἱὸν πενθοῦντι καὶ ἐν σκότῳ ἑαυτὸν καθείρξαντι προσελθὼν ἔλεγε μάγος τε εἶναι καὶ δύνασθαι ἀναγαγεῖν τοῦ παιδὸς τὸ εἴδωλον, εἰ μόνον αὐτῷ τρεῖς τινας ἀνθρώπους ὀνομάσειε μηδένα πώποτε πεπενθηκότας. Ἐπὶ πολὺ δὲ ἐκείνου ἐνδοιάσαντος καὶ ἀποροῦντος (οὐ γὰρ εἶχέ τινα, οἶμαι, εἰπεῖν τοιοῦτον), Εἶτ', ἔφη, ὦ γελοῖε, μόνος ἀφόρητα πάσχειν νομίζεις μηδένα ὁρῶν πένθους ἄμοιρον;

(Lucianus vit. Demonact. c. 25. Conf. Philos. Græc. Fragm. vol. I p. 332.)

31. Καὶ μὴν κἀκείνων καταγελᾶν ἠξίου τῶν ἐν ταῖς ὁμιλίαις πάνυ ἀρχαίοις καὶ ξένοις ὀνόμασι χρωμένων· ἑνί γοῦν ἐρωτηθέντι ὑπ' αὐτοῦ λόγον τινὰ καὶ ὑπερattικῶς ἀποκριθέντι, Ἐγὼ μέν σε, ἔφη, ὦ ἑταῖρε, νῦν ἠρώτησα, σὺ δέ μοι ὡς ἐπ' Ἀγαμέμνονος ἀποκρίνῃ.

(Lucianus vit. Demonact. c. 26.)

32. Εἰπόντος δέ τινος τῶν ἑταίρων, Ἀπίωμεν, Δημῶναξ, εἰς τὸ Ἀσκληπιεῖον καὶ προσευξώμεθα ὑπὲρ τοῦ υἱοῦ, Πάνυ, ἔφη, κωφὸν ἡγῇ τὸν Ἀσκληπιόν, εἰ μὴ δύναται κἀντεῦθεν ἡμῶν εὐχομένων ἀκούειν.

(Lucianus vit. Demonact. c. 27.)

33. Ἰδών δέ ποτε δύο τινὰς φιλοσόφους κομιδῇ ἀπαιδεύτως ἐν ζητήσει ἐρίζοντας καὶ τὸν μὲν ἄτοπα ἐρωτῶντα, τὸν δὲ οὐδὲν πρὸς λόγον ἀποκρινόμενον, Οὐ δοκεῖ ὑμῖν, ἔφη, ὦ φίλοι, ὁ μὲν ἕτερος τούτων τράγον ἀμέλγειν, ὁ δὲ αὐτῷ κόσκινον ὑποτιθέναι;

(Lucianus vit. Demonact. 28.)

34. Ἀγαθοκλέους δὲ τοῦ Περιπατητικοῦ μέγα φρονοῦντος ὅτι μόνος αὐτός ἐστι καὶ πρῶτος τῶν διαλεκτικῶν, ἔφη, Καὶ μήν, ὦ Ἀγαθόκλεις, εἰ μὲν πρῶτος, οὐ μόνος, εἰ δὲ μόνος, οὐ πρῶτος.

(Lucianus vit. Demonact. c. 29.)

35. Κεθήγου δὲ τοῦ ὑπατικοῦ, ὁπότε διὰ τῆς Ἑλλάδος εἰς τὴν Ἀσίαν ἀπῄει πρεσβεύσων τῷ πατρί, πολλὰ καταγέλαστα καὶ λέγοντος καὶ ποιοῦντος, ἐπειδή τῶν ἑταίρων τις ὁρῶν ταῦτα ἔλεγεν αὐτὸν μέγα κάθαρμα εἶναι, Μὰ τὸν Δί', ἔφη ὁ Δημῶναξ, οὐδὲ μέγα.

(Lucianus vit. Demonact. c. 30.)

36. Καὶ Ἀπολλώνιον δέ ποτε τὸν φιλόσοφον ἰόντα μετὰ πολλῶν τῶν μαθητῶν ἐξελαύνοντα (ἤδη δὲ ἀπῄει μετάπεμπτος ὡς ἐπὶ παιδείᾳ τῷ βασιλεῖ συνεσόμενος), Προσέρχεται, ἔφη, ὁ Ἀπολλώνιος καὶ οἱ Ἀργοναῦται αὐτοῦ.

(Lucianus vit. Demonact. c. 31.)

37. Ἄλλου δέ ποτε ἐρομένου, εἰ ἀθάνατος αὐτῷ ἡ ψυχὴ δοκεῖ εἶναι, Ἀθάνατος, ἔφη, ἀλλ' ὡς πάντα.

(Lucianus vit. Demonact. c. 32.)

38. Περὶ μέντοι Ἡρώδου ἔλεγεν ἀληθεύειν τὸν Πλάτωνα φάμενον, οὐ μίαν ἡμᾶς ψυχὴν ἔχειν· οὐ γὰρ εἶναι τῆς αὐτῆς ψυχῆς Ῥηγίλλαν καὶ Πολυδεύκην ὡς ζῶντας ἔστιν ἃ καὶ τὰ τοιαῦτα μελετᾶν.

(Lucianus vit. Demonact. c. 33.)

39. Ἐτόλμησε δέ ποτε καὶ Ἀθηναίους ἐρωτῆσαι δημοσίᾳ τῆς προρρήσεως ἀκούσας, διὰ τίνα αἰτίαν ἀποκλείουσι τοὺς βαρβάρους, καὶ ταῦτα τοῦ τὴν τελετὴ

---

lux? Reprehendit te, inquit, quod non jam ad se profecturus sis.

30. Idem filium lugenti atque in tenebris se continenti, postquam eum adiit, magum se esse dixit et filii umbram ab inferis revocare posse, si tres tantum homines ipsi nominaret, qui neminem unquam luctu essent prosecuti. Quum ergo ille diu de ista re dubitaret hæsitaretque, quoniam, opinor, neminem hujusmodi proferre poterat, tum Demonax: O ridicule, ait, solumne te intolerabilibus malis pressum putas, neminem videns luctus expertem?

31. Quin etiam eos deridendos existimabat, qui in sermonibus utebantur admodum vetustis et inusitatis vocabulis. Itaque quum aliquando quempiam aliquid interrogasset atque ille nimis attice respondisset, Ego quidem, inquit, sodalis, nunc te interrogavi, tu vero mihi ut Agamemnonis tempore respondes.

32. Dicente sodalium quopiam, abeamus, Demonax, in Æsculapii fanum pro filio vota facturi, Valde surdum, inquit, Æsculapium esse censes, si non potest nos hinc precantes audire.

33. Quum aliquando duos vidisset philosophos valde ineruditos de quæstione concertantes, alterum absurda rogantem, alterum nihil ad rem respondentem, Nonne videtur vobis, inquit, o amici, horum alter hircum mulgere, alter illi cribrum supponere?

34. Quum Agathocles Peripateticus gloriaretur, se solum et primum esse dialecticum, Atqui, inquit, Agathocles, si primus, non solus; sin autem solus, non primus.

35. Porro quum Cethegus, vir Consularis, quando per Græciam in Asiam proficiscebatur, futurus patris in exercitu vicarius, ridicula multa et diceret et faceret, postea quam sodalium quispiam ea conspicatus illum magnum scelus esse dixit, Per Jovem, inquit Demonax, ne magnum quidem.

36. Quum vero Apollonium philosophum quondam comitante discipulorum caterva equo vectum discedere vidisset, quando arcessitus abibat, ut regis foret præceptor, Accedit, inquit, Apollonius ejusque Argonautæ.

37. Alio vero olim interrogante, num ipsi anima videretur immortalis, Immortalis, inquit, sed ut cætera omnia.

38. De Herode dicebat verum dixisse Platonem, affirmantem non unam nobis esse animam. Neque enim esse ejusdem animæ Regillam uxorem ejus et Pollucem servum, ut vivos epulis excipiat ac talia meditetur.

39. Ausus etiam est aliquando Athenienses publice interrogare, audita sacrorum præfatione, quam ob causam barbaros excluderent, præsertim quum illa sacra Eumolpus barbarus et Thrax instituisset.

αὐτοῖς καταστησαμένου Εὐμόλπου βαρβάρου καὶ Θρᾳκὸς ὄντος.

(Lucianus vit. Demonact. c. 34.)

40. Ἐπεὶ δέ ποτε πλεῖν μέλλοντι αὐτῷ διὰ χειμῶνος ἔφη τις τῶν φίλων, Οὐ δέδοικας μὴ ἀνατραπέντος τοῦ σκάφους ὑπὸ ἰχθύων καταβρωθῇς; κᾆτ' ἀγνώμων ἂν εἴην, ἔφη, ὀκνῶν ὑπὸ ἰχθύων καταδασθῆναι τοσούτους αὐτὸς ἰχθῦς καταφαγών.

(Lucianus vit. Demonact. c. 35.)

41. Ῥήτορι δέ τινι κάκιστα μελετήσαντι συνεβούλευεν ἀσκεῖν καὶ γυμνάζεσθαι· τοῦ δὲ εἰπόντος, Ἀεὶ ἐπ' ἐμαυτοῦ λέγω, Εἰκότως τοίνυν, ἔφη, τοιαῦτα λέγεις μωρῷ ἀκροατῇ χρώμενος.

(Lucianus vit. Demonact. c. 36.)

42. Καὶ μάντιν δέ ποτε ἰδὼν δημοσίᾳ ἐπὶ μισθῷ μαντευόμενον, Οὐχ ὁρῶ, ἔφη, ἐφ' ὅτῳ τὸν μισθὸν ἀπαιτεῖς· εἰ μὲν γὰρ ὡς ἀλλάξαι τι ὀυνάμενος τῶν ἐπικεχλωσμένων, ὀλίγον αἰτεῖς ὁπόσον ἂν αἰτῇς, εἰ δὲ ὡς δέδοκται τῷ θεῷ πάντα ἔσται, τί σου δύναται ἡ μαντική;

(Lucianus vit. Demonact. c. 37.)

43. Πρεσβύτου δέ τινος Ῥωμαίου εὐσωματοῦντος καὶ τὴν ἐνόπλιον αὐτῷ μάχην πρὸς πάτταλον ἐπιδειξαμένου καὶ ἐρομένου, Πῶς σοι, Δημῶναξ, μεμαχῆσθαι ἔδοξα; Καλῶς, ἔφη, ἂν ξύλινον τὸν ἀνταγωνιστὴν ἔχῃς.

(Lucianus vit. Demonact. c. 38. De hoc genere pugnæ vide Vegetium De re milit. I, 11 et II, 22.)

44. Καὶ μὴν καὶ πρὸς τὰς ἀπόρους τῶν ἐρωτήσεων πάνυ εὐστόχως παρεσκεύαστο· ἐρομένου γάρ τινος ἐπὶ χλευασμῷ, Εἰ χιλίας μνᾶς ξύλων καύσαιμι, ὦ Δημῶναξ, πόσαι μναῖ ἂν καπνοῦ γένοιντο; Στῆσον, ἔφη, τὴν σποδόν, καὶ τὸ λοιπὸν πᾶν καπνός ἐστι.

(Lucianus vit. Demonact. c. 39.)

45. Πολυβίου δέ τινος, κομιδῇ ἀπαιδεύτου ἀνθρώπου καὶ σολοίκου, εἰπόντος, Ὁ βασιλεύς με τῇ Ῥωμαίων πολιτείᾳ τετίμηκεν· Εἴθε σε, ἔφη, Ἕλληνα μᾶλλον ἢ Ῥωμαῖον πεποίηκεν.

(Lucianus vit. Demonact. c. 40.)

46. Ἰδών δέ τινα τῶν εὐπαρύφων ἐπὶ τῷ πλάτει τῆς πορφύρας μέγα φρονοῦντα, κύψας αὐτοῦ πρὸς τὸ οὖς καὶ τῆς ἔσθῆτος λαβόμενος καὶ δείξας, Τοῦτο μέντοι, ἔφη, πρὸ σοῦ πρόβατον ἐφόρει καὶ ἦν πρόβατον.

(Lucianus vit. Demonact. c. 41.)

47. Ἐπεὶ μέντοι λουόμενος ὤκνησεν ἐς τὸ ὕδωρ ζέον ἐμβῆναι, καὶ ἠτιάσατό τις ὡς ἀποδειλιάσαντα, Εἰπέ μοι, ἔφη, ὑπὲρ πατρίδος αὐτὸ πείσεσθαι ἔμελλον;

(Lucianus vit. Demonact. c. 42.)

48. Ἐρομένου δέ τινος, Ὁποῖα νομίζεις τὰ ἐν Ἅιδου; Περίμεινον, ἔφη, κἀκεῖθέν σοι ἐπιστελῶ.

(Lucianus vit. Demonact. c. 43.)

49. Ἀδμήτῳ δέ τινι ποιητῇ φαύλῳ λέγοντι γεγραφέναι μονόστιχον ἐπίγραμμα, ὅπερ ἐν ταῖς διαθήκαις κεκέλευκεν ἐπιγραφῆναι αὐτοῦ τῇ στήλῃ (οὐ χεῖρον δὲ καὶ αὐτὸ εἰπεῖν),

Γαῖα λάβ' Ἀδμήτου ἔλυτρον, βῆ δ' εἰς θεὸν αὐτός,

γελάσας εἶπεν, Οὕτω καλόν ἐστιν, ὦ Ἄδμητε, τὸ

---

40. Quum vero aliquando coorta tempestate navigatum illum amicorum aliquis interrogasset, *Nonne metuis ne eversa nave a piscibus devoreris?* respondit: *Atqui demens fuerim, si a piscibus discerpi timeam, quum tot pisces ipse comederim.*

41. Cuidam autem rhetori pessime declamanti suadebat, ut meditaretur seque in arte exerceret. Qui quoniam respondit, semper apud me declamo, Merito ergo, inquit, alia dicis, quum stulto auditore utaris.

42. Sed vatem quoque aliquando intuitus qui publice acta mercede vaticinabatur, Non video, inquit, qua conditione mercedem exigas. Etenim si illam exigis, quasi aliquid de fatorum ordine mutare possis, parum illud est, quantumcunque postulas. Sin autem omnia ut deo visum est eventura sunt, quid potest tua divinatio?

43. Quodam vero sene Romano eoque corpulento armatam adversus palum pugnam ostentante et interrogante, Quomodo, Demonax, tibi pugnasse visus sum? Bene, inquit, si ligneum adversarium habes.

44. Quin etiam ad quæstiones insolubiles omnino apte comparatus erat. Sciscitante enim quopiam per ludibrium, Si mille minas lignorum combussero, Demonax, quot erunt cinerum minæ? Pondera, inquit, cinerem, et reliqua omnia nimus erunt.

45. Polybio quodam, homine valde indocto naturaque et moribus barbaro dicente, Imperator Romanorum civitate me donavit, Utinam, inquit, te Græcum potius quam Romanum fecisset.

46. Quum et prætextatum quendam vidisset, purpuræ latitudine superbientem, admoto illius auri capite prehensaque veste et commonstrata, Sed hoc, inquit, ante te ovis gerebat et ovis erat.

47. Sed quum in balneis lavans in aquam ferventem descendere gravaretur, ac nescio quis eum quasi ignaviæ insimularet, Dic mihi, inquit, num pro patria id passurus fuerim?

48. Interrogante quodam, Qualia apud inferos esse existimas? Præstolare, inquit, indeque tibi per litteras significabo.

49. Admeto autem cuidam malo poetæ dicenti se monostichon epigramma scripsisse, quod ut cippo suo inscriberetur testamento cavisset, cujus meminisse non inutile erit:

Corpus humo tegitur, diis ipse Admetus adest nunc;

sublato risu, Adeo elegans, inquit, o Admete, epigramma est, ut illud jam inscriptum esse vellem.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἐπίγραμμα, ὥστε ἐβουλόμην αὐτὸ ἤδη ἐπιγεγράφθαι.

(Lucianus vit. Demonact. c. 44.)

50. Ἰδών δέ τις ἐπὶ τῶν σκελῶν αὐτοῦ οἷα τοῖς γέρουσιν ἐπιεικῶς γίγνεται, ἤρετο, Τί τοῦτο, ὦ Δημῶναξ; ὁ δὲ μειδιάσας, Χάρων με ἔδακεν, ἔφη.

(Lucianus vit. Demonact. c. 45.)

51. Καὶ μέντοι καὶ Λακεδαιμόνιόν τινα ἰδὼν τὸν αὑτοῦ οἰκέτην μαστιγοῦντα, Παῦσαι, ἔφη, ὁμότιμον σαυτοῦ τὸν δοῦλον ἀποφαίνων.

(Lucianus vit. Demonact. c. 46.)

52. Δανάης δέ τινος πρὸς τὸν ἀδελφὸν δίκην ἐχούσης, Κρίθητι, ἔφη, οὐ γὰρ εἶ Δανάη ἡ Ἀκρισίου θυγάτηρ.

(Lucianus vit. Demonact. c. 47.)

53. Μάλιστα δὲ ἐπολέμει τοῖς οὐ πρὸς ἀλήθειαν ἀλλὰ πρὸς ἐπίδειξιν φιλοσοφοῦσιν· ἕνα γοῦν ἰδὼν Κυνικὸν τρίβωνα μὲν καὶ πήραν ἔχοντα, ἀντὶ δὲ τῆς βακτηρίας ὕπερον, καὶ κεκραγότα καὶ λέγοντα ὅτι Ἀντισθένους καὶ Κράτητος καὶ Διογένους ἐστὶ ζηλωτής, Μὴ ψεύδου, ἔφη, σὺ γὰρ Ὑπερίδου μαθητὴς ὢν τυγχάνεις.

(Lucianus vit. Demonact. c. 48.)

54. Ἐπεὶ μέντοι πολλοὺς τῶν ἀθλητῶν ἑώρα κακομαχοῦντας, καὶ παρὰ τὸν νόμον τὸν ἐναγώνιον ἀντὶ τοῦ παγκρατιάζειν δάκνοντας, Οὐκ ἀπεικότως, ἔφη, τοὺς νῦν ἀθλητὰς οἱ παρομαρτοῦντες λέοντας καλοῦσιν.

(Lucianus vit. Demonact. c. 49.)

55. Ἀστεῖον δὲ κἀκεῖνο αὐτοῦ καὶ δηκτικὸν ἅμα τὸ πρὸς τὸν ἀνθύπατον εἰρημένον· ἦν μὲν γὰρ τῶν πιττουμένων τὰ σκέλη καὶ τὸ σῶμα ὅλον· Κυνικοῦ δέ τινος ἐπὶ λίθον ἀναβάντος καὶ αὐτὸ τοῦτο κατηγοροῦντος αὐτοῦ καὶ εἰς κιναιδίαν διαβάλλοντος, ἀγαναχτήσας καὶ κατασπασθῆναι τὸν Κυνικὸν κελεύσας ἔμελλεν ἢ ξύλοις ξυντρίψειν ἢ καὶ φυγῇ ζημιώσειν· ἀλλ' ὅ γε Δημῶναξ παρατυχὼν παρητεῖτο συγγνώμην ἔχειν αὐτῷ κατά τινα πάτριον τοῖς Κυνικοῖς παῤῥησίαν θρασυνομένῳ. Εἰπόντος δὲ τοῦ ἀνθυπάτου, Νῦν μέν σοι ἀφίημι αὐτόν, ἂν δὲ ὕστερον τοιοῦτόν τι τολμήσῃ, τί παθεῖν ἄξιός ἐστι; Καὶ ὁ Δημῶναξ, Δρωπακισθῆναι τότε αὐτὸν κέλευσον.

(Lucianus vit. Demonact. c. 50.)

56. Ἄλλῳ δέ τινι στρατοπέδων ἅμα καὶ ἔθνους τοῦ μεγίστου τὴν ἀρχὴν ἐμπιστευθέντι ἐκ βασιλέως ἐρομένῳ, πῶς ἄριστα ἄρξει; Ἀόργητος, ἔφη, καὶ ὀλίγα μὲν λαλῶν, πολλὰ δὲ ἀκούων.

(Lucianus vit. Demonact. c. 51.)

57. Ἐρομένῳ δέ τινι εἰ καὶ αὐτὸς πλακοῦντας ἐσθίοι, Οἶει οὖν, ἔφη, τοῖς μωροῖς τὰς μελίττας τιθέναι τὰ κηρία;

(Lucianus vit. Demonac. c. 52.)

58. Πρὸς δὲ τῇ Ποικίλῃ ἀνδριάντα ἰδὼν τὴν χεῖρα ἀποκεκομμένον, ὀψὲ ἔφη Ἀθηναίους εἰκόνι χαλκῇ τετιμηκέναι τὸν Κυναίγειρον.

(Lucianus vit. Demonact. c. 53. De Cynægiro vide Herodotum lib. VI cap. 114.)

59. Καὶ μὴν καὶ Ῥουφῖνον τὸν Κύπριον (λέγω δὲ τὸν χωλὸν τὸν ἐκ τοῦ περιπάτου) ἰδὼν ἐπὶ πολὺ τοῖς περιπάτοις ἐνδιατρίβοντα, Οὐδέν ἐστιν, ἔφη, ἀναισχυντότερον χωλοῦ Περιπατητικοῦ.

(Lucianus vit. Demonact. c. 54.)

---

50. Quum in cruribus ejus animadvertisset aliquis, qualia senibus fere accidunt, interrogavit, Quid hoc rei est, Demonax? Ille vero subridens, Charon, inquit, me momordit.

51. Atque etiam Lacedæmonium intuitus servum suum flagris cædentem, Desine, inquit, servum tuum conditione tibi parem efficere.

52. Quum Danae quædam litem haberet cum fratre, Legibus discepta, inquit, non enim es Danae Acrisii filia.

53. In primis vero impugnabat eos qui non re vera, sed ad ostentationem philosopharentur. Quare viso Cynico qui pallium tritum et peram habebat, pro baculo vero pistillum, ac vociferabatur dicebatque se Antisthenis et Cratetis et Diogenis esse æmulum, Ne mentiaris, inquit; tu enim Hyperidis discipulus es.

54. Sed quum multos athletarum videret dolose pugnantes, ac præter certaminis legem non pancratio sed morsu decertantes, Non immerito, inquit, nostri temporis athletas comitantes socii leones appellant.

55. Urbanum quoque ac simul mordax illud est quod Proconsuli dixit. Erat enim ex iis quibus pice oblita sunt crura totumque corpus. Quum autem Cynicus quidam lapide conscenso in hac ipsa re illum reprehenderet atque impudicitiæ insimularet, indignatus Proconsul Cynicum detrahi jussit, quem aut fustibus contusurus aut exsilio multaturus erat. Verum Demonax forte interveniens eum rogabat, ut homini ignosceret, qui pro solenni Cynicorum libertate audacter dixisset. Respondente autem Proconsule, Nunc quidem tibi istum condono: sed si posthac tale quid ausus fuerit, qua pœna dignus erit? Tum Demonax: Illum jubeto dropace oblini.

56. Alii autem, qui a rege simul militibus et maximæ genti præpositus erat, quærenti qua ratione optime imperare posset, Si non succenseas, inquit, et pauca quidem loquaris, multa vero audias.

57. Sciscitanti cuidam, num et ipse placentis vesceretur, Num existimas, inquit, apes fatuis suos favos fingere?

58. Conspicatus in porticu quæ Pœcile vocatur statuam abscisa manu truncam, sero dixit Athenienses ænea imagine Cynægirum honorasse.

59. Quin etiam quum Rufinum Cyprium, claudum illum dico Peripateticum, vidisset diu philosophantium ambula-

60. Ἐπεὶ δέ ποτε ὁ Ἐπίκτητος ἐπιτιμῶν ἅμα συνεβούλευεν αὐτῷ ἀγαγέσθαι γυναῖκα καὶ παιδοποιήσασθαι, πρέπειν γὰρ καὶ τοῦτο φιλοσόφῳ ἀνδρὶ ἕτερον ἀνθ' αὑτοῦ καταλιπεῖν τῇ φύσει, ἐλεγκτικώτατα πρὸς αὐτὸν ἀπεκρίνατο, Οὐκοῦν, ὦ Ἐπίκτητε, δός μοι μίαν τῶν σαυτοῦ θυγατέρων.

(Lucianus vit. Demonact. c. 55.)

61. Καὶ μὴν καὶ τὸ πρὸς Ἑρμῖνον τὸν Ἀριστοτελικὸν ἄξιον ἀπομνημονεῦσαι· εἰδὼς γὰρ αὐτὸν παγκάκιστον μὲν ὄντα καὶ μυρία κακὰ ἐργαζόμενον, τὸν Ἀριστοτέλην δὲ διὰ στόματος καὶ αὐτοῦ τὰς δέκα κατηγορίας ἔχοντα, Ἑρμῖνε, ἔφη, ἀληθῶς ἄξιος εἶ δέκα κατηγοριῶν.

(Lucianus vit. Demonact. c. 56.)

62. Ἀθηναίων δὲ σκεπτομένων κατὰ ζῆλον τὸν πρὸς Κορινθίους καταστήσασθαι θέαν μονομάχων προελθὼν εἰς αὐτούς, Μὴ πρότερον, ἔφη, ταῦτα, ὦ Ἀθηναῖοι, ψηφίσησθε, ἂν μὴ τοῦ Ἐλέου τὸν βωμὸν καθέλητε.

(Lucianus vit. Demonact. c. 57.)

63. Ἐπεὶ δὲ εἰς Ὀλυμπίαν ποτὲ ἐλθόντι αὐτῷ Ἠλεῖοι εἰκόνα χαλκῆν ἐψηφίσαντο, Μηδαμῶς τοῦτο, ἔφη, ὦ ἄνδρες Ἠλεῖοι, μὴ δόξητε ὀνειδίζειν τοῖς προγόνοις ὑμῶν, ὅτι μήτε Σωκράτους μήτε Διογένους εἰκόνα ἀνατεθείκασιν.

(Lucianus vit. Demonact. c. 58.)

64. Ἤκουσα δὲ αὐτοῦ ποτε καὶ πρὸς τὸν τῶν νόμων ἔμπειρον ταῦτα λέγοντος, ὅτι κινδυνεύουσιν ἄχρηστοι εἶναι οἱ νόμοι, ἄν τε πονηροῖς ἄν τε ἀγαθοῖς γράφωνται· οἱ μὲν γὰρ οὐ δέονται νόμων, οἱ δὲ ὑπὸ νόμων οὐδὲν βελτίους γίνονται.

(Lucianus vit. Demonact. c. 59.)

65. Τῶν δὲ Ὁμήρου στίχων ἕνα ἥδε μάλιστα·

Κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.

(Lucianus vit. Demonact. c. 60. Cf. Iliad. IX, 320.)

66. Ἐπῄνει δὲ καὶ τὸν Θερσίτην ὡς Κυνικόν τινα δημηγόρον.

(Lucianus vit. Demonact. c. 61.)

67. Ἐρωτηθεὶς δέ ποτε, τίς αὐτῷ ἀρέσκοι τῶν φιλοσόφων, ἔφη, Πάντες μὲν θαυμαστοί, ἐγὼ δὲ Σωκράτην μὲν σέβω, θαυμάζω δὲ Διογένην καὶ φιλῶ Ἀρίστιππον.

(Lucianus vit. Demonact. c. 62.)

---

lionibus immorantem, Nihil est, inquit, claudo Peripatetico impudentius.

60. Quum aliquando Epictetus simul reprehendendi studio ipsi suaderet, ut uxorem duceret et liberos procrearet, quia philosophum etiam conveniret suo loco alterum naturæ relinquere, argutissime ei respondit : Da mihi igitur, Epictete, unam tuarum filiarum.

61. Illud etiam memoratu dignum est, quo Herminum Aristotelem notavit. Etenim quum sciret istum hominem nequam esse atque innumera flagitia admittere, Aristotelem vero ejusque decem categorias in ore habere, Hermine, inquit, decem categoriis (*accusationibus*) revera dignus es.

62. Atheniensibus aliquando quod Corinthios imitari vellent de constituendo gladiatorum spectaculo consultantibus, in concionem prodiit Demonax ac, Ne prius, inquit, Athenienses, hæc decernatis, quam Misericordiæ aram subverteritis.

63. Quum Olympiam aliquando venisset ipsique statuam ex ære Elei decrevissent, Nequaquam istud, inquit, facietis, Elei, ne majores vestros reprehendere videamini, quod neque Socrati neque Diogeni statuam posuerunt.

64. Ipsum etiam hæc quondam juris perito dicentem audivi, videri inutiles esse leges, sive malis hominibus scriberentur sive bonis. Etenim hi non egent legibus, illi legibus nihilo meliores fiunt.

65. Unum potissimum Homeri versiculum celebrabat :

Strenuus et segnis fato moriuntur eodem.

66. Laudabat vero etiam Thersiten, tanquam Cynicum quendam concionatorem.

67. Interrogatus aliquando, quis ipsi ex philosophis placeret, Omnes quidem, inquit, admiratione digni sunt, ego autem Socratem colo, Diogenem admiror, Aristippum amo.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

DE ŒNOMAO.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΑΥΞΕΝ ΑΡΙΘ.

Œnomaus (1) Gadarenus, quem Hadriano imperante floruisse accepimus (2), si fides Suidæ, non modo libros de republica ac de Homerica philosophia, sed etiam de institutione cynica, de Cratete, Diogene et cæteris Cynicis confecerat. Huc accedit opus illud de oraculorum vanitate, quod alii (3) *adversus oracula* (κατὰ τῶν χρηστηρίων), alii (4) verius *præstigiatorum investigationem* (γοήτων φώραν) inscriptum fuisse dicunt. Denique ei tribuuntur tragœdiæ (5) non minus impuræ et obscenæ, quam Diogenis vel Philisci (6) fabulæ fuerant. Ut enim antiqua tragœdia personarum dignitatem cum dictionis granditate et argumentorum præstantia copulavit : sic ista Cynicorum poesis turpi ipsorum vitæ et doctrinæ respondebat. Quippe Thyestæ (7) fabula ita usus est Diogenes, ut licere mortalibus etiam humana carne vesci defenderet (8).

Quamquam autem tum vitæ genere, tum sapientiæ professione et scriptorum indole, in quibus cynica acerbitas comparebat (9), Cynici gloriam adeptus est homo Gadarenus : tamen Julianus ex alio potius quam ex Œnomao (10) et Philisco, qualis esset Diogenes in rebus divinis et humanis, disci voluit. Videtur autem vulgi superstitionem potissimum derisisse ideoque longa disputatione oracula insectatus esse et fatum quo Stoici cuncta regi censebant sustulisse. Statuebat enim ea lege nasci homines, ut suum jus omniumque rerum libertatem tenerent. Qua in re a philosophiæ cui se addixerat præceptis atque institutis non discedebat, quia Cynici omnes patriorum deorum contemtores

(1) Suidas v. Οἰνόμαος· Οἰνόμαος Γαδαρεύς, φιλόσοφος κυνικὸς οὐ πολλῷ πρεσβύτερος Πορφυρίου. Ἔγραψε περὶ κυνισμοῦ, Πολιτείαν, περὶ τῆς καθ' Ὁμηρον φιλοσοφίας, περὶ κράτητος, Διογένους καὶ τῶν λοιπῶν. — (2) Syncellus pag. 349. Etenim Suidas v. Οἰνόμαος qui ait illum ætate Paulum antecessisse Porphyrio, in summo videtur errore versari. — (3) Julianus orat. VII, pag. 209 : ἐπιγνώσῃ σαφῶς τῇ τοῦ Κυνὸς αὐτοφωνίᾳ καὶ τῷ κατὰ τῶν χρηστηρίων. Cf. orat. VI pag. 187 et 199. — (4) Eusebius Præp. Evang. lib. V cap. 18, p. 209 : τίθησι γοῦν ὁμοῦ καὶ ἀπελέγχει τὸν δῆμον εὖ μάλα τις τῶν νέων ἀνδρικῷ λόγισμῷ, Γοήτων φώραν ἐν οἰκείῳ συγγράμματι πεποιημένος. Id. lib. V cap. 1, p. 213 : τοιαῦτα τῆς Οἰνομάου παῤῥησίας τὰ τῆς τῶν γοήτων φώρας κυνικῆς οὐκ ἀπηλλαγμένα πικρίας. Id. lib. VI cap. 6, p. 254 : ἄκουε δ' οὖν αὖθις τοῦ τὴν τῶν Γοήτων φώραν τὸ οἰκεῖον ἐπονομάσαντος σύγγραμμα. Adde Socratem hist. eccles. lib. IV cap. 23, p. 165; Theodoret. Græc. affect. cur. VI, p. 561 ed. Paris; Nicephorum X, 36. — (5) Julianus orat. VII, p. 210 C ed. Spanh.: τὰς ἀναφερομένας δὲ εἰς τὸν Διογένη τραγῳδίας, οὔσας μὲν καὶ ὁμολογουμένως Κυνικοῦ τινος συγγράμματα, ἀμφισβητουμένας δὲ κατὰ τοῦτο μόνον, εἴτε τοῦ διδασκάλου τοῦ Διογένους εἰσίν, εἴτε τοῦ μαθητοῦ Φιλίσκου, τίς ἐπελθὼν (οὐκ ἄν) βδελύξαιτο καὶ μίσαι ὑπερβολὴν ἀῤῥητουργίας οὐδὲ ταῖς ἑταίραις ἀπολεῖφθαι; Ταῖς Οἰνομάου δὲ ἐντυχὼν (ἐγράψατο γὰρ καὶ τραγῳδίας τοῖς λόγοις τοῖς ἑαυτοῦ παραπλησίας) ἀῤῥήτων ἀῤῥητερα καὶ κακῶν πέρα, καὶ οὔτε ὅ, τι φῶ περὶ αὐτῶν ἀξίως ἔχω, κἂν τὰ Μαγνήτων κακά, κἂν τὸ Τερμέριον, κἂν πᾶσαν ὅλως αὐτοῖς ἐπιφθέγξωμαι τὴν τραγῳδίαν μετὰ τοῦ σαπροῦ καὶ τῆς κωμῳδίας καὶ τοῦ μίμου· οὕτω πᾶσα μὲν ἰσχρότης, πᾶσα δὲ ἀπόνοια πρὸς ὑπερβολὴν ἐν ἐκείναις τῷ ἀνδρὶ πεφιλοτέχνηται. — (6) Diogenes Laertius lib. VI, 80 septem quæ sub Diogenis Cynici nomine ferebantur tragœdias hoc ordine enumerat : Ἑλένη, Θυέστης, Ἡρακλῆς, Ἀχιλλεύς, Μήδεια, Χρύσιππος, Οἰδίπους. Addit autem : Σωσικράτης δὲ ἐν τῷ πρώτῳ τῆς διαδοχῆς καὶ Σάτυρος ἐν τῷ τετάρτῳ τῶν βίων οὐδὲν εἶναι Διογένους φασί· καί τε τραγῳδάριά φησιν ὁ Σάτυρος Φιλίσκου εἶναι τοῦ Αἰγινήτου, γνωρίμου τοῦ Διογένους. Julianus orat. VI, p. 186 : αἵ τε γὰρ θρυλούμεναι Διογένους τραγῳδίαι Φιλίσκου τινὸς Αἰγινήτου λέγονται εἶναι· καὶ εἰ Διογένους δὲ εἶεν, οὐθὲν ἄτοπόν ἐστι τὸν σοφὸν παίζειν. — (7) Diogenes Laertius lib. VI, 73 : μηδ' ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν· καὶ τῷ ὀρθῷ λόγῳ πάντα ἐν πᾶσι· καὶ διὰ πάντων εἶναι λέγων. Καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέας εἶναι καὶ ἐν τῷ λαχάνῳ ἄρτον· καὶ τῶν σωμάτων τῶν λοιπῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων, καὶ ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων, ὡς δῆλον ἐν τῷ Θυέστῃ ποιεῖ. Theophilus Ad Autolycum lib. III, 4 : πρὸς τούτοις ἀθεωτέρα τις φωνὴ εὑρίσκεται ἡ τοῦ Διογένους διδάσκοντος τὰ τέκνα τοὺς ἑαυτῶν γονεῖς θυσίαν ἄγειν καὶ τούτους κατεσθίειν. — (8) Male Suidas v. Διογένης· Διογένης ἢ Οἰνόμαος, Ἀθηναῖος, τραγικός· γέγονεν ἐπὶ τῆς τῶν λ' καταλύσεως. Δράματα αὐτοῦ Ἀχιλλεύς, Ἑλένη, Ἡρακλῆς, Θυέστης, Μήδεια, Οἰδίπους, Χρύσιππος, Σεμέλη. Confudit hic Diogenem Atheniensem, poetam tragicum, post exactos triginta tyrannos clarum, ex cujus Semele locum affert Athenæus XIV, p. 636. A, et philosophum Sinopensem, cui reliquæ septem tragœdiæ a Diogene Laertio VI, 80 assignantur. Præterea verba ἢ Οἰνόμαος delenda esse arbitramur. Cf. Poetarum tragicorum Græcorum fragm. pag. 103 seq. ed. Didot. et Meinek. Exercit. philol. in Athenæum I pag. 46-48. — (9) Eusebius Præp. Evang. lib. V cap. 21, p. 213 : τοιαῦτα τῆς Οἰνομάου παῤῥησίας τὰ τῆς τῶν Γοήτων φώρας κυνικῆς οὐκ ἀπηλλαγμένα πικρίας. — (10) Julianus orat. VII, p. 212 init. : οὗτος οὖν ὁ Διογένης ὁποῖός τις ἦν τὰ πρὸς τοὺς θεοὺς καὶ τὰ πρὸς τοὺς ἀνθρώπους μὴ διὰ τῶν Οἰνομάου λόγων μηδὲ τῶν Φιλίσκου τραγῳδιῶν, αἷς ἐπιγράψας τὸ Διογένους ὄνομα τῆς θείας πολλά ποτε κα-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

erant (11). Quum vero plura capita ejus voluminis, in quo contra oracula et fatum disputavit Œnomaus, apud Eusebium Præp. evang. lib. V cap. 18 seqq. et lib. VI cap 7 legantur, age nunc omnia illa emendata et conversa hic proponamus.

τεψεύσατο κεφαλῆς, ἀλλὰ δι' ὧν ἔδρασεν ἔργων ὁποῖός τις ἦν γνωριζέσθω. Cf. orat. VI, p. 187. — (11) Julianus orat. VII, p. 209. ed. Spanh.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΗΝ ΑΡΙΘ.

ΟΙΝΟΜΑΟΥ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

ŒNOMAI
FRAGMENTA.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΑΓΓΕΛΙΟΥ ΚΟΥΡΙΛΑ
ΙΩΤΟΥ
ΑΥΞΗΝ

1. Τίθησι γοῦν ὁμοῦ καὶ ἀπελέγχει τὸν χρησμὸν εὖ μάλα τις τῶν νέων ἀνδρικῷ λογισμῷ, Γοήτων φώραν ἐν οἰκείῳ συγγράμματι πεποιημένος. Οὗ καὶ αὐτοῦ μου τῶν φωνῶν ἀλλὰ μὴ τῶν ἐμῶν ἄκουε, πρὸς τὸν χρησμῳδὸν ὧδέ πως ἀποτεινομένου· Τί δ'; οὐχ Ἀθηναῖοι τὸν Ἀνδρόγεων ἀποκτείναντες, καὶ λοιμώξαντες ἐπὶ τούτῳ, εἶπον ἂν μετανοεῖν; Ἢ μὴ λεγόντων, οὔ σε τοσοῦτον ἦν εἰπεῖν, μετανοεῖτε, μᾶλλον, ἤ

> Λοιμοῦ καὶ λιμοῦ τέλος ἔσσεται, ἦνπερ ἑαυτῶν
> σώματ' ἀπὸ κλήρου ἄρρεν καὶ θῆλυ νέμητε
> Μίνωϊ, εἰς ἅλα δῖαν ἀποστέλλοντες, ἀμοιβὴν
> τῶν ἀδίκων ἔργων· οὕτω θεὸς ἵλαος ἔσται.

Εὖ γὰρ τὸ Ἀνδρόγεω μὲν Ἀθήνησιν ἀποθανόντος ὑμᾶς ἀγανακτεῖν, τῶν δὲ τοσούτων καὶ πανταχόθι καὶ πάντοτε καθεύδειν. Καίτοι εἰδὼς ὅτι ἐθαλασσοκράτει τότε ὁ Μίνως, καὶ μέγα ἐδύνατο, καὶ πᾶσα ἡ Ἑλλὰς αὐτὸν ἐθεράπευε, καὶ ἦν καὶ διὰ τοῦτο δικαιότατος, καὶ νομοθέτης ἀγαθός, καὶ Ὁμήρῳ ἐδόκει Διὸς μεγάλου εἶναι ὀαριστής, καὶ ἀποθανὼν ἐν Ἅιδου δικαστής· καὶ σὺ διὰ τοῦθ' ὑπὲρ αὐτοῦ τὰς δίκας ταύτας εἰσεπράττου. Ἀλλὰ παραλείπω οὐδὲν ἧττον γε ταῦτα ὑμῶν, καὶ ὅτι τοὺς φονεῖς ἐάσαντες τοὺς οὐδὲν αἰτίους πέμπειν ἐκελεύετε ἀποθανουμένους, καὶ τοῦτ' ἐπ' ἄνδρα, ὃν ἀναδεικνύναι ἐμέλλετε κοινὸν ἀνθρώπων δικαστήν, ὃς οὐδ' αὐτὸ τοῦτο ἠπίστατο δικάσαι. Καίτοι πόσους ὑμεῖς οἱ θεοὶ ἀντὶ τούτων τῶν κορῶν δίκαιοι πέμπειν ἐστὲ Ἀθηναίοις, οὓς ἀδίκως ὑπὲρ Ἀνδρόγεω ἀπεκτείνατε;

(Eusebius Præpar. evang. lib. V, cap. 18-19, pag. 209 A ed. Viger. [vol. I p. 443 seq. ed. Gaisf.])

2. Ὁ δ' αὐτὸς οὗτος συγγραφεὺς ὁπόσοις ὁ Ἀπόλλων διὰ τῆς τῶν χρησμῶν ἀμφιβολίας θανάτου αἴτιος γέγονε, τὴν ἀμφὶ τοὺς Ἡρακλείδας ἀναλαβὼν ἱστορίαν, εὐθύνει λέγων οὕτως· Ἐπεί δέ πως ἐπεμνήσθην τοῦδε τοῦ λόγου, φέρε, τὰ καθήκοντα διέλθω τοῦ κατὰ τοὺς Ἡρακλείδας διηγήματος. Οὗτοι γάρ ποθ' ὡρμημένοι κατὰ τὸν Ἰσθμὸν εἰσβαλεῖν εἰς Πελοπόννησον ἐσφάλησαν. Ἀριστόμαχος οὖν ὁ Ἀριδαίου, ἐπειδὴ ὁ Ἀριδαῖος ἐτεθνήκει ἐν τῇ εἰσβολῇ, ἔρχεται ἀκουσόμενος παρὰ σοῦ περὶ τῆς ὁδοῦ· ἐπεθύμει δὲ ὥσπερ καὶ ὁ πατήρ. Σὺ δ' αὐτῷ λέγεις,

> Νίκην σοι φαίνουσι θεοὶ δι' ὁδοῖο στενύγρων.

---

1. Quippe hoc responsum simul proponit et acerrima disputatione confutat recentiorum quidam, qui singulari libro Præstigiatorum investigationem complexus est. Audi ergo non meam, sed illius orationem in sortilegum sic quodammodo invehentis. Quid autem? inquit, nonne Athenienses, Androgei interfectores, atque hanc ob causam pestilentia laborantes, sese facinoris commissi pœnitere fatebantur? Aut si ne id quidem, nonne tamen magis te decebat illam iis pœnitentiam injungere, quam hoc responsum dare :

> Tum vos dira fames atque inclementia pestis
> deseret, ac tristes melior deus exuet iras :
> cum vestro e numero scelerisque piacula vestri,
> quæ sors cunque petet, seu mas seu femina cedat,
> corpora pontus aget magni Minois ad urbem.

Mitto enim quod vos interitum unius Androgei Athenis defuncti doletis, tot aliis et ubique et quotidie morientibus dormitatis. Enimvero quia sciebas Minoem per id tempus et maris imperium tenere et magnis opibus præditum esse, et ab universa Græcia coli simulque justissimum et bonarum legum inventorem haberi, atque adeo ab Homero tum magni Jovis socium tum apud inferos judicem nominatum esse : idcirco has tibi pœnas in hominis gratiam exigendas putasti. Verum ista quoque nihilo minus quam vos ipsi prætereo, non solum percussoribus prætermissis innocentes a vobis certum ad exitium esse deditos, sed ad ejusmodi etiam virum allegatos, quem communem hominum judicem capere statueratis, qui tamen ne hanc quidem rem judicare poterat. Sed, dii, quot tandem a vobis juvenes Athenas eorum in locum summitti æquum est, quos ut parentaretis Androgeo nefarie occidistis?

2. Porro, quam multis Apollo responsorum ambiguitate necem intulerit, repetita Heraclidarum historia, idem scriptor hac oratione coarguentis more declarat : Sed quoniam, inquit, hanc semel attigimus disputationem, age, huc quoque spectantem Heraclidarum historiam persequamur. Hi enim quum aliquando per Isthmum in Peloponnesum irrumpere moliti fine excidissent, Aristomachus Aridæi filius, quod pater in eadem irruptione occisus esset, adiit te de suscipiendo itinere consulturus: eadem enim qua pater flagraverat cupiditate ardebat. Tu vero ei respondisti :

Angustum per iter palmam tibi numina monstrant.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Καὶ ὃς κατὰ τὸν Ἰσθμὸν ὥρμησεν ἐπιχειρεῖν, καὶ μάχῃ τελευτᾷ. Τούτου υἱὸς ὁ Τήμενος κακοδαίμων ἦκεν ἐκ κακοδαιμόνων τρίτος· σὺ δ' αὐτῷ παρεγγυᾷς ἃ καὶ Ἀριστομάχῳ τῷ πατρί· καὶ ὅς, ἀλλὰ κἀκεῖνός σοι ἐπιπεισθείς, [a] ἀπέθανεν ἐν τῇ εἰσβολῇ. Καὶ σὺ ἔφης, Οὐ κατὰ γῆν λέγω στενύγρην, ἀλλὰ κατὰ τὴν εὐρυγάστορα. Ἐπειδὴ χαλεπὸν ἦν εἰπεῖν κατὰ τὴν θάλασσαν, κἀκεῖνος ᾔει κατὰ τὴν θάλασσαν, δόξαν ἐνεποίησας [b] ὅτι κατὰ γῆν εἰσίοι. Καὶ κατὰ μέσον [c] στρατοπεδεύεται Ναυπάκτου καὶ Ῥυπαίης [d]. Καὶ διακοντίζει Κάρνον ἱππότην Φυλάνδρου τὸν Αἰτωλόν· εὖ, ἐμοὶ δοκεῖ, ποιῶν· καὶ ἐπειδὴ συνεκύρησε νόσος πλησία, καὶ ἀπέθανεν Ἀριστόδημος, πάλιν ἐπανεχώρουν, καὶ ὁ Τήμενος ἐλθὼν ἀπεμέμφετο τῇ ἀποτυχίᾳ· καὶ ἤκουσεν ὅτι ποινὴν ἀνεμάξατο τοῦ θείου ἀγγέλου, καὶ τὸ ὑπὲρ τῆς εὐχῆς Ἀπόλλωνι Καρνείῳ [e] ποίημα τὸ διὰ τοῦ χρησμοῦ λέγον,

Ἄγγελον ἡμέτερον κτείνας ἀνεμάξαο ποινήν.

Τί οὖν, φησιν ὁ Τήμενος, τί χρὴ ποιεῖν; Καὶ πῶς ἂν ἱλασαίμην ὑμᾶς;

Εὔχευ Καρνείῳ τελέειν σέβας Ἀπόλλωνι.

Ὦ μιαρώτατε καὶ ἀναισχυντότατε μάντι· εἶτ' οὐκ ἠπίστασο ὅτι διαμαρτήσεται τῆς στενύγρης ὁ τὴν στενύγρην ἀκούσας; Ἀλλ' οὐδὲν ἧττον ἐπιστάμενος χρᾷς, ἔπειτα περιορᾷς διαμαρτάνοντα. Ἀλλ' ἀμφίβολος ἡ στενύγρη, ὅπως νικήσαντι μὲν αἴτιος εἶναι δοκῇς νίκης, ἡττηθέντι δὲ μηδὲν αἴτιος εἶναι ἥττης, ἔχῃς δὲ ἀποφυγεῖν ἐπὶ τὴν εὐρυγάστορα. Ἀλλ' ἦκεν ἄνθρωπος ἐπὶ τὴν εὐρυγάστορα, καὶ οὐκ ἔτυχεν. Εὑρηται πάλιν εἰς ἀποφυγὴν Κάρνος ἄγγελος ἀποθανών. Καίτοι πῶς, ὦ κράτιστε, ὁ κηδόμενος οὕτω τοῦ Κάρνου, ἄλλοις μὲν αὐτὸν θεοφορεῖσθαι ἐκέλευες, ἑαυτῷ δὲ οὔ; Καὶ δέον σώζειν ἕνα ὄντα Κάρνον, αὐτόν τε περιεῖδες, καὶ ἐναποθανόντι αὐτῷ Ὁμηρικὴν νόσον ἐνέβαλες εἰς τὸ πλῆθος, καὶ εὐχὰς ἐπὶ τῇ νόσῳ ἀφηγοῦ; Εἰ δ' εὐχόμενος οὐδὲν ἤνυεν, ἄλλο τι ἂν ἐξεύροιτο [f] ἄκος τῷ σῷ σοφίσματι, καὶ οὐδέποτ' ἂν ἐλήξατε, οἱ μὲν ἐρωτῶντες, σὺ δὲ σοφιζόμενος, ἵνα καὶ νικῶσι καὶ ἡττωμένοις ᾖς ἀφώρατος κακουργῶν. Ἱκανὸν γὰρ τὸ πάθος καὶ ἡ ἐπιθυμία παραβουκολῆσαι, ὡς μηδ' εἰ χιλιάκις σφαγεῖεν ἀπιστεῖν σοι ποιῆσαι.

Τούτοις ἄξιον ἐπισυνάψαι τὰ περὶ Κροῖσον. Αὐδίας οὗτος ἐβασίλευσεν, ἄνωθεν ἐκ παλαιῶν εἰς αὐτὸν ἥκουσαν παραλαβὼν τὴν ἀρχήν· εἶτά τι πλέον τῶν προγόνων κατορθώσειν ἐλπίσας τοὺς θεοὺς εὐσεβεῖν διενοήθη, καὶ διὰ πείρας ἐλθὼν ἁπάντων τὸν ἐν Δελφοῖς Ἀπόλλω προκρίνει, κἄπειτα κρατῆρσι καὶ πλίνθοις χρυσαῖς ἀναθημάτων τε μυρίων πλήθει κοσμήσας τὸ ἱερὸν τῶν πανταχοῦ γῆς ἐν ὀλίγῳ χρόνῳ πλουσιώτατον ἀπέφηνεν, οὐδ' ὅσα πρὸς θυσίας ἐξήρκει παραλιπὼν τῇ

Is vero per Isthmum similiter irruptione tentata in prælio cecidit. Tum infelix Temenus, hujus filius, eo proficiscitur, ex infortunatorum stirpe tertius, qui præceptis tuis quæ et Aristomacho patri dederas obsecutus, eadem quoque, dum irrumpere nititur, morte occumbit. Hic tu, Non per terrestris, inquis, itineris, sed per freti late patentis angustias dico. Quoniam molestum erat, per mare nominatim dicere, idque si diceres, futurum videbas uti maritimum iter ille ingrederetur, hanc ei mentem injecisti, ut terrestri itinere sibi proficiscendum putaret. Itaque inter Naupactum et Rhypæam castra metatur, et Carnum equitem, Phylandri filium, genere Ætolum, jaculo trajicit. Nec injuria, ut mihi quidem videtur. Quum autem repentinus statim morbus ingruisset, eoque periisset Aristodemus, illisque propterea reversis, iterum Temenus de infortunio quereretur, responsum tulit, eas ab sese ob necatum nuntium divinum pœnas expetitas esse, simulque carmen audivit, quo votum Apollini Carnio nuncupare conceptis oraculi verbis jubebatur,

Legati has nostri solvis pro sanguine pœnas.

Quid ergo rerum, inquit Temenus, facere me oportet? Aut quomodo vos placabo?

Carnio supplex Phœbo sacra concipe vota.

O vates scelestissime atque impudentissime! Itane? nesciebas, quum angustæ semitæ nomen audiisset, futurum ut in itinere deerraret? Tu id tamen probe sciens hoc oraculum edis, illumque postea deerrare sinis. At ambigua callis angusti vox eo valuit, ut si vinceret, victoriæ auctor haberere; sin vinceretur, causam hujus cladis nullam sustineres, sed posses ad maris late patentis interpretationem confugere. Verum adiit homo mare istud late patens, nec tamen voti compos factus est. Hic rursus alterum invenisti deverticulum, Carni nuntii cædem. At quomodo tamen, deorum optime, tu qui pro Carno adeo sollicitus eras, aliorum causa divino instinctu concitari eum voluisti, noluisti sua? Quomodo, Carnum duntaxat unum servari quum oporteret, eum interire passus es, ac propter ejus interitum et Homericam illam in exercitum pestilentiam immisisti, et certas averruncando morbo preces indixisti? Quibus ille si nihil profecisset, aliud continuo effugium sophismati tuo repertum esset, finemque nullum unquam fecissetis, consulendi quidem illi, tu vero cavillandi, ne seu vincerent seu vincerentur fraudis manifestus fores. Quippe satis omnino virium ad illos fallendos animi perturbatio et cupiditas habuisset, ita ut numquam eos fidem tibi, vel si millies jugulandi essent, non habere pateretur.

His æquum est nos subjungere ea quæ Crœso postea contigerunt. Regnabat is in Lydia, quippe qui a prioribus accepisset imperium, longa annorum serie propagatum. Idem in majoris quam qua illi floruerant felicitatis spem erectus, religiose deos colere statuerat. Itaque explorato omnium numine, Delphicum Apollinem cunctis

λοψυχία. Ἐπειδὴ οὖν τὰ τοιαῦτα προδεδάνειστο ...εῷ, ταῖς τῆς εὐσεβείας εἰκότως ὁ Λυδὸς ἐπιθαρ... μεγαλουργίαις στρατεῦσαι ἐπὶ Πέρσας διανοεῖται, ...σαι τὴν ἀρχὴν εἰς μέγα τῇ τοῦ θεοῦ συμμαχίᾳ ...ηθούμενος. Τί οὖν ὁ θαυμάσιος χρησμῳδός; ...ς ἐκεῖνος ὁ ἐν Δελφοῖς, ὁ Πύθιος, ὁ φίλιος, τὸν ...ν, τὸν εὐσεβῆ, τὸν πρόσφυγα, οὐχ ὅπως τῆς ἀλ...ίας τυχεῖν ἀρχῆς, ἀλλὰ καὶ τῆς οἰκείας ἐκπεσεῖν ...σκευάζει, οὔτι ἑκών, ἔμοιγε δοκεῖ, ἀγνοίᾳ δὲ ...ιον τοῦ ἀποδησομένου· (μὴ γὰρ τὸ μέλλον εἰδὼς ...ς, ἐπεὶ μὴ θεὸς ἦν μηδέ τις ἀνθρώπου κρείττων ...μις, ἐπὶ θάτερα σοφιστικῶς τὸν χρησμὸν ἡρμό...τ) καὶ μονονουχὶ φήσας,

...ροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει,

...ἐκ προγόνων διαδοχῆς εἰς τὸν εὐσεβῆ κατελθοῦ...τῆς Λυδίας ἀρχήν, μεγάλην οὖσαν καὶ πολυχρό... καταστρέφει, τῆς ἄγαν περὶ αὐτὸν σπουδῆς ...ον ἀποδοὺς τῷ θεοφιλεῖ τὸν καρπόν.

Eusebius Præpar. Evang. lib. V cap. 19-20, ... 210 A seq. ed. Viger. [vol. I p. 445 seq. Gaisf.] Scripsi : [a] ἐπιπεισθείς cum Davisio ad ...im. Tyr. XXXV, 7; codd. ἔφη πεισθεὶς. — ...ποίησας, ut habet Vigeri margo; codd. ἐμποιή... — [c] κατὰ μέσον; libri μέσον. — [d] Ναυπάκτου ...Ρυταίης; codd. Ναυάτου καὶ Τυπαίου. — [e] Καρ...; codd. Καρνίῳ. — [f] ἐξεύρητο; libri ἐξεύροιτο.)

Ἐπὶ τούτοις ὁ συγγραφεὺς οἷα οὐκ ἀλόγως δια... γανακτεῖ, ἄκουε. Ἔοικας δὴ ὡς ἀληθῶς τὰ μὲν ὅσα ψάμμου ἄξιά ἐστιν εἰδέναι, καλὸν δὲ μηδὲν εἰδέναι. Τὸ γοῦν ὀσμὴν ἐς φρένας σὰς ἐλθεῖν κραταιρίνοιο χελώνης ἑψομένης, ψάμμου ἄξιον ἐπιστήμη[a] ἐστίν· οὐκ ἀληθὲς μὲν ὂν οὐδ' αὐτό, ἀλλὰ προσεοικός γε ὅμως τῷ ἀλαζόνι καὶ ἀναιδεῖ, καὶ ἐπὶ τοῖς κενοῖς εἰδήμασι τὴν ὀφρὺν ἐπαίροντι, καὶ τὸ Λύδιον ἀνδράποδον τὸν Κροῖσον πείθοντι μὴ καταφρονεῖν αὐτοῦ. Ὃς μετ' ὀλίγον ἐπὶ τῇ πείρᾳ ἤμελλεν ἐρωτᾶν σε, εἰ στρατεύοι ἐπὶ Πέρσας, καὶ σύμβουλον ποιεῖσθαι ὑπὲρ τῆς αὐτοῦ μανίας καὶ πλεονεξίας. Ὦ οὐκ ὤκνησας εἰπεῖν, ὅτι

Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

Ἐκεῖνο μέντοι εὖ, ὅτι σοι οὐδὲν ἔμελεν, εἴ τι ἄτοπον πείσεται ὑπ' ἀμφιβόλου χρησμοῦ ἐπαρθεὶς ἐπ' ἀλλοτρίαν ἀρχήν, οὐδ' εἰ πικροί τινες ἄνθρωποι καὶ κακοήθεις, δέον ἐπαινεῖν σε ἐπὶ τῷ ἐκτραχηλίσαι μαινόμενον ἄνθρωπον, καὶ προσεγκαλοῖεν, ὡς οὐδὲ ἰσόρροπον φωνὴν ἀφέντι[b], ἵν' ὀκνήσειεν καὶ βουλεύσαιτο ὁ Λυδός· ἀλλὰ καταλῦσαι καθ' ἕνα τρόπον ἐστὶ νοεῖσθαι πρὸς τῶν Ἑλλήνων, οὐ τὸ [c] τῆς οἰκείας ἀρχῆς ἐκπεσεῖν, ἀλλὰ τὸ [d] τὴν ἀλλοτρίαν περιποιήσασθαι. Ὁ μὲν γὰρ ἡμίμηδος ἢ ἡμιπέρσης Κῦρος, ἢ ὁ μητρόθεν μὲν ἐκ τυραννικοῦ πατρόθεν δὲ ἐξ ἰδιωτικοῦ γένους ἡμίονος ὢν ἐν τῷ αἰνίγματι, παρεμφαίνει μὲν τὴν ἔκτυφον μοῦσαν, ἀλλὰ καὶ τὴν ἄμαντιν μαντικήν, εἴπερ οὐκ ἦδη μὴ οὐ συνήσοντα τοῦ αἰνίγματος ὁ μαν-

---

posuit, sicque paulo post aureis cum pateris, tum ...ibus, nec non infinita donariorum multitudine tem... ejus exornavit, ut brevi tempore omnium orbis ...e fanorum ditissimum effecerit, ne omissis quidem ...usque eo magnificentiæ progressus est) quæ ad sacri... rite perpetranda sufficerent. Tot igitur tantisque ...tibus numinis in gratiam ante factis, Lydus imperator ...d immerito tam egregiis pietatis suæ monumentis fre..., expeditionem adversus Persas suscipere molitur, ea ...te, ut imperium suum numinis auxilio ampliaret. Quid ...r mirabilis ille vates? Ille ipse qui Delphis colebatur, ...hius deus, amicitiæ præses, supplicem suum, homi...em religiosum, suumque clientem, non modo alieno ...erio non auget, sed suo etiam exuit atque evertit; ... consulto, ut mea fert opinio, sed potius rerum futu...um ignorantia : (neque enim præscius futuri deus, ...ote qui ne deus quidem esset neque alia vis ulla ho...ne major, responsum unquam suum veteratorie in di...sas partes detorsisset :) unoque hoc fere versiculo,

...Crœsus Halyn superans magnam pervertet opum vim,

...ltum illud tamque diuturnum Lydiæ regnum, quod a ...ioribus ad religiosum hominem hereditario jure deve...rat, funditus evertit, ejusmodi fructu regis deo grati ...imium erga se studium pietatemque compensans.

3. Id autem quam ægre merito tulerit scriptor, audi : Videris, inquit ille, re vera quæcunque arenæ instar habent omnia perspicere, at boni nihil nosse. Quippe nidorem durioris coctæque testudinis ad sensus tuos pervenire, notitia est non pluris quam arenæ pretio æstimanda : et quamquam ne vera quidem illa fuit, tamen tum superbo congruebat et impudenti, tum ob istam inanium rerum cognitionem supercilium allevanti et Crœsum Lydium illud mancipium, ne se despiceret, monenti. Is enim in hunc modum explorata sortium tuarum veritate paulo post ex te quæsiturus erat, num adversus Persas expeditionem susciperet, teque adeo in furoris cupiditatisque suæ causa consiliarium adhibiturus. Cui tu non gravatus es respondere :

Crœsus Halyn superans magnam pervertet opum vim.

Illud quidem bene, quod talia non curabas, sive malo premeretur vir ad invadendum alienum imperium ambigue impulsus oraculo; sive acerbi quidam homines et malitiosi, quum tibi ob furiosum hominem consilio tuo præcipitem actum laus ab iis prædicatioque deberetur, hoc insuper tibi exprobrarent, quod ne ancipitem quidem vocem emisisses, ut Lydus ille dubitaret ac deliberaret : sed tuum illud καταλῦσαι, hoc est evertere, uno duntaxat modo a Græcis accipiatur, nec regno suo expelli, sed alienum tractum subigere significet. Nam Cyrus ille qui-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τις. Εἰ δ' οὐχ ὑπὸ ἀγνοίας ἀλλ' ὑπὸ τρυφῆς καὶ πονηρίας ἔπαιζε, βαβαὶ οἷα τὰ θεῖα παίγνιά ἐστιν. Εἰ δ' οὐδὲ τοῦτο, ἀλλ' ὅτι ἐχρῆν οὕτω γενέσθαι, ἀνιερώτατος μὲν οὗτος λόγων σοφιστικῶν· τί δ' ὅμως, εἰ οὕτως ἐχρῆν γενέσθαι, σὺ ὁ δύστηνος ἐν Δελφοῖς καθέζῃ τὰ κενὰ καὶ μάταια ᾄδων; τί δέ σου ὄφελος ἡμῖν; τί δὲ μαινόμεθα οἱ πανταχόθεν τῆς γῆς ἐπὶ σὲ διώκοντες; τί δέ σοι κνίσης δεῖ [c];

(Eusebius Præpar. Evang. lib. V cap. 20-21, pag. 212 B seq. ed. Viger. [vol. I pag. 450 seq. ed. Gaisford.] Scripsi : [a] ἐπιστήμη ἐστίν; codd. ἐπίστημά ἐστιν. — [b] ἀφέντι cum Vigero; codd. ἀφέντα. — [c] οὐ τὸ τῆς; libri οὕτω, τῆς. — [d] ἀλλὰ τὸ; codd. ἄλλοτε. — [e] τί δέ σοι κνίσης δεῖ; codd. τί δὲ σὺ κνηφίας;)

4. Τοιαῦτα τῆς Οἰνομάου παῤῥησίας τὰ τῆς τῶν Γοήτων φώρας, κυνικῆς οὐκ ἀπηλλαγμένα πικρίας. Οὐδὲ γὰρ δαίμονος, μὴ ὅτι θεοῦ, τοὺς παρὰ τοῖς Παν-έλλησι θαυμαζομένους χρησμοὺς εἶναι βούλεται, γοήτων δ' ἀνδρῶν πλάνας καὶ σοφίσματα ἐπὶ ἀπάτῃ τῶν πολλῶν ἐσκευωρημένα· ὧν ἐπείπερ ἅπαξ ἐμνήσθημεν, οὐδὲν ἂν γένοιτο ἐμποδὼν τοῦ καὶ ἑτέρων ἐλέγχων ἐπακοῦσαι. Καὶ πρώτου γε δι' οὗ φησιν ὁ αὐτὸς ἑαυτὸν ὑπὸ τοῦ Κλαρίου Ἀπόλλωνος ἠπατῆσθαι, γράφων ὧδε· Ἀλλὰ δὴ ἔδει τι καὶ ἡμᾶς τῆς κωμῳδίας μετασχεῖν, καὶ μὴ σεμνύνεσθαι ὡς οὐκ ἐμπεσόντας εἰς τὴν κοινὴν παραπληξίαν, καὶ τὴν ἐμπορίαν εἰπεῖν, ἣν καὶ αὐτοὶ περὶ σοφίας ἐνεπορευσάμεθα ἐκ τῆς Ἀσίας, ὦ Κλάριε, παρὰ σοῦ·

Ἔστιν ἐν Τρηχῖνος αἴῃ κῆπος Ἡρακλήϊος
πάντ' ἔχων θάλλοντα, πᾶσι δρεπόμενος πανημαδόν,
οὐδ' ὀλιζοῦται, βέβριθε δ' ὕδασιν διηνεκές.

Εἶτ' ἐγὼ ἀκούσας ὁ βάκηλος καὶ αὐτὸς ὑπὸ τοῦ Ἡρακλέους ἐφυσήθην, καὶ τοῦ Ἡρακληΐου κήπου θάλλοντος Ἡσιόδειόν τινα ὀνειροπολῶν ἰδρῶτα διὰ τὴν Τρηχῖνα, καὶ ῥηϊδίην αὖθις ζωὴν διὰ τὸν θάλλοντα κῆπον. Εἶτά μοι ἐπερομένῳ, εἴ μοι συναίρονται οἱ θεοί, εἴς τις ἐκ τῶν πολλῶν λέγει, ἐπομνύμενος αὐτοὺς τοὺς συναιρομένους θεούς, ἢ μὴν παρὰ σοῦ ἀκηκοέναι αὐτὸ τοῦτο Καλλιστράτῳ δεδομένον Ποντικῷ τινι ἐμπόρῳ. Ἐγὼ οὖν ὡς ἤκουσα, πῶς, οἴει, ἠγανάκτησα, ὡς δὴ τῆς ἀρετῆς ὑπ' αὐτοῦ ἀποστερούμενος; Ἀλλὰ καίπερ ὅμως δυσφορῶν ἀνεσκοπούμην τὸν ἔμπορον, εἴ τι κἀκεῖνος ἐθάλφθη ὑπὸ τοῦ Ἡρακλέους· ἐφαίνετο δὴ οὖν κἀκεῖνος πόνον τινὰ πονεῖν, καὶ κέρδους ἐφίεσθαι, καὶ βίον τινὰ ἡδὺν ἐκ τοῦ κέρδους προσδοκᾶν. Ὡς δ' ἐφαίνετο ὁ ἔμπορος ἐξισούμενος, οὐκέτι τὸν χρησμὸν ἐδεχόμην, οὐδὲ τὸν Ἡρακλέα, ἀλλ' ἀπηξίουν τῶν αὐτῶν κοινωνεῖν, εἴς τε τοὺς παρόντας πόνους αὐτῶν ἀποβλέπων, καὶ τὰς ἐν ἐλπίδι φάτνας. Ἀλλ' οὐδ' ὁ ληστὴς ἄμοιρος ἐφαίνετο τοῦ χρησμοῦ, οὐδ' ὁ στρατιώτης, οὐδ' ἐρῶν ἀνήρ, οὐδ' ἐρῶσα γυνή, οὐδὲ κόλαξ,

---

dem Semimedus aut Semipersa sive is qui in hoc ænigmate muli nomine adumbratus materno genere tyrannorum progenies, paterno vir privatus erat, non modo tumidam indicat Musam, sed etiam divinationem futura non prævidentem, si quidem vates vim ænigmatis ab isto percipi non posse ignorabat. Sin autem non rerum ignoratione, sed petulantia et malitia ductus sic ludebat, papæ! quales dii ludos faciunt! Denique, si ne id quidem, sed tantum, quod ita rem evenire oportuerit, profana sine dubio hæc cavillatio est; sin autem rem ita evenire oportebat, quid tu Delphis tamen, infortunate, sessitas, vana atque inutilia oracula fundens? Quid porro tu nobis prodes? Quid vero insanimus nos qui e toto terrarum orbe ad te confugimus? Quid denique tibi sacrificiorum nidore opus est?

4. Talia Œnomaus summa libertate in Præstigiatorum investigatione dicit, quæ sane aliquid cynicæ acerbitatis habent : utpote qui ne dæmonis quidem, nedum dei, quæ Græci omnes tantopere suspiciunt oracula esse velit, sed fallacium hominum fraudes potius et astutias, ad vulgus in errorem adducendum malitiose institutas. Et quoniam semel illorum meminimus, nihil obstat quin aliorum insuper refutationem audiamus, atque in primis istius oraculi, quo se ipsum idem Œnomaus ab Apolline Clario deceptum fuisse his verbis testatur : Sed nimirum, inquit, nos etiam in comœdiæ partem vocari oportebat, ne communi dementia caruisse nos gloriaremur, atque adeo illas exponere merces, quas ipsi quoque tanquam ad sapientiæ mercaturam profecti ex Asia a te, Clarie, reportavimus.

Hortulus Herculis est felix Trachinio in arvo,
perpetuo florent ubi cuncta illæsa nec unquam,
dum crebro juvenes properant decerpere flores,
arent irriguumque bibunt violaria fontem.

Ego igitur, ut audivi, stultus et ipse ab Hercule vana spe inflatus sum, ac propter Trachinis nomen Hesiodeum aliquem Herculei horti passim florentis sudorem, facilem vero vitam ob virentis horti mentionem animo somniavi. Deinde quærenti porro, essentne dii mihi opitulaturi, unus e vulgo etiam jurejurando auxilium deos laturos esse firmavit, quia certo comperisset, idem beneficium a te in Callistratum, mercatorem Ponticum, esse collatum. Quod ego postquam rescivi, quam me id ægre tulisse existimas, quasi ab eo virtutis possessione spoliatus forem? Sed quamvis gravius commoverer, tamen quærere cœpi, numquid etiam mercator iste ab Hercule deceptus esset; quem et ipsum labores quosdam exantlare et lucri cupiditate incensum suaviorem aliquam ex eo lucro vitam sperare animadverti. Quare quum dei judicio mercatorem mihi æquari viderem, et oraculum et Herculem deinceps valere jussi, indignum esse ratus, similem istorum subire fortunam, quorum labores quidem præsentes, men-

ρήτωρ, οὐδὲ συκοφάντης. Ἑκάστῳ γὰρ ὡς
μεῖ, ἡγεῖσθαι μὲν τὸν πόνον, προσδοκᾶσθαι δὲ
ὐφροσύνην.

usebius Præpar. Evang. lib. V cap. 21-22,
213 B seq. ed. Viger. [vol. I pag. 452
ed. Gaisford.] Scripsi autem versu tertio
Holstenio ad Porphyrii Vit. Pyth. c. 26
ν διηνεκές, quum membranarum scriptura
σσιν διηνεκέσσιν numerorum legi repugna-

Ταῦτα ἐκθέμενος εὐθὺς ἐπισυνάπτει, ὡς καὶ δεύ-
ἐρωτήσας καὶ τρίτον οὐδὲν εἰδότας ἔγνω τοὺς
ασίους, μόνῳ δὲ τῷ τῆς ἀσαφείας σκότῳ τὴν
ἄγνοιαν ἐπικρύπτοντας. Λέγει δ' οὖν· Ἐπεὶ δέ
ὰ τῆς ἐμπορίας ἤδη πρὸ ὁδοῦ ἦν, ἀνδρὸς δὲ ἔδει
εναγωγήσαντος ἐπὶ τὴν σοφίαν, ἄπορος δὲ ἐφαί-
οὗτος, σοῦ [a] ἐδεόμην καὶ τούτου γενέσθαι ἐνδεί-

Ἐν τε τοῖσιν εὐπελέεσσιν ἠδ' Ἀχαιοῖσιν χρέος
ἴσεται, τὸ δ' ἐκτεχμαρθὲν οὐδὲ μικρὸν ἔσσεται [b].

ής; Εἰ δ' ἀγαλματοποιός τις ἢ ζωγράφος ἐπεθύ-
γενέσθαι, καὶ διδασκάλους ἐζήτουν, ἆρά μοι ἤρ-
ἀκοῦσαι «Ἐν τε τοῖσιν εὐπελέεσσιν», ἀλλ' οὐκ ἂν
εσθαι εἶπον τὸν λέγοντα; Ἀλλὰ τοῦτο μὲν ἴσως
ίκανὸς εἶ διανοῆσαι, ἀσάφειαν γὰρ ἔχει πολλὴν τὰ
ώπεια ἤθη· ὅπου δέ μοι ἐκ Κολοφῶνος ἄμεινον
ύεσθαι, οὐκέθ' οὕτως ἀφανὲς τῷ θεῷ,

Ἐκ τανυστρόφοιο λᾶας σφενδόνης ἰεὶς ἀνήρ,
χῆνας ἐναρίζων βολαῖσιν, ἀσπέτους, ποιηβόρους.

Τοὺς δὲ ἀσπέτους, ποιηβόρους χῆνας, τίς μοι μηνύσει
ὅ, τι ποτὲ λέγουσι; τίς δὲ τὴν τανύστροφον σφενδό-
νην; ὁ Ἀμφίλοχος, ἢ ὁ Δωδωναῖος, ἢ σὺ ἐν Δελφοῖς,
εἰ γενοίμην; Οὐκ ἀπάγξῃ που ἀπελθὼν τῇ τανυστρόφῳ
σφενδόνῃ μετὰ τοῦ ἀδιανοήτου ποιήματος;

Ἀλλὰ γὰρ τούτων ὧδε ἐληλεγμένων, ὥρα συνιδεῖν
αὖθις ἄνωθεν, ὅπως τοὺς παλαιτάτους χρησμοὺς τοὺς
ἐν Δελφοῖς ὁ αὐτὸς ἀπελέγχει, τοὺς δὴ μάλιστα ἐν
ταῖς Ἑλληνικαῖς ἱστορίαις θαυμαζομένους.

Πολὺς ἦν ὁ Περσῶν στρατὸς ὡπλισμένος κατὰ
Ἀθηναίων, οὐδ' ἦν τις αὐτοῖς ἄλλη σωτηρίας ἐλπίς, ἢ
μόνος ὁ θεός. Οἳ δὴ τοῦτον ὅστις ἦν οὐκ εἰδότες, τὸν
πάτριον ἀρωγὸν ἐπεκαλοῦντο· ὁ ἐν Δελφοῖς Ἀπόλλων
οὗτος ἦν. Τί οὖν ὁ θαυμαστὸς οὗτος; ἆρά γε τῶν
οἰκείων ὑπερεμάχει; ἆρα λοιβῆς καὶ κνίσης ἐμέ-
μνητο, καὶ ὧν αὐτῷ συνήθως ἐτέλουν τὰς ἑκατόμβας
ἐπιθύοντες; Οὐ μὲν οὖν. Ἀλλὰ τί φησιν; Φεύγειν,
καὶ φεύγειν ξύλινον τεῖχος παρασκευασαμένους· οὕτω
τὸ ναυτικὸν δηλῶν· δι' οὗ μόνου φησὶν αὐτοὺς σωθήσε-
σθαι τῆς πόλεως ἐμπρησθείσης. Ὦ μεγάλης θεοῦ
βοηθείας. Εἶτα πολιορκίαν οὐ μόνον τῶν ἄλλων κατὰ
τὴν πόλιν οἰκοδομημάτων, ἀλλὰ καὶ αὐτῶν τῶν τοῖς
θεοῖς ἀφιερωμένων προλέγειν δῆθεν προσποιεῖται.
Τοῦτο δὲ καὶ δίχα χρησμοῦ τοῖς πᾶσιν ἐκ τῆς τῶν
πολεμίων ἐφόδου προσδοκᾶν ἦν.

(Eusebius Præpar. Evang. lib. V cap. 22-23,

vero nisi speratas non viderem. At neque Iatro,
e miles, neque amator, neque amatrix, neque adu-
, neque rhetor, neque delator esse videbatur, ad quem
pertineret istud oraculum. Nam ut quisque cupidi-
frangitur, ita vel sibi laboriosum aliquid existimat,
aliquid voluptatis exspectat.

Quibus ille expositis statim docet, quemadmodum
m ac tertio consultos a se vates egregios nihil scire,
orationis tantum ambiguæ obscuritate ignorantiam
n tegere compererit. Sunt ergo hæc ejus verba : Sed
m jam ad illam mercaturam mihi proficiscendum atque
s esset homine, qui me velut hospitem ad sapientiam
eret, is autem difficilis inventu videretur, a te pete-
h, ut ejusmodi quoque aliquem indicares. Tu vero ait :

pud homines faciles et Achivos beneficium
ollocabit; prædicta autem ne parva quidem erunt.

d dicis? Si statuarius aut pictor fieri cuperem earum-
artium magistros quærerem, satisne mihi foret, tuum
d *Apud homines faciles* audire, an potius qui sic
i responderet, eum furere dicerem? Verum id con-
tura assequi fortasse ob nimiam morum humanorum
curitatem non poteras; quo me quidem Colophone
ficisci satius esset, hoc non amplius adeo latebat
m,

Vir procul vibrata funda lapides excutiens, [tes.
anseres crebris ictibus interfice, multos, herba vescen-

Multos autem illos et herba vescentes anseres, quos isti tandem intelligant, quis mihi explicabit? Quis fundam procul vibratam? Utrum Amphilochus, an Jupiter Dodonæus, an tu ipse Delphis, si illuc me conferam? Quin tu abis in malam crucem, ut funda gulam tibi frangas cum tuo isto inexplicabili carmine?

Sed enim horum refutatione præmissa, vetustissima Delphici Apollinis oracula, quæque Græcis præsertim historiis mirum in modum celebrantur, e superiore memoria repetamus, eaque quo pacto ab eodem redarguantur, videamus.

Persarum ingens adversus Athenienses exercitus in armis erat. Hi quum nullam sibi spem salutis nisi in uno deo reliquam esse viderent, quem ipsi non satis noverant, auxiliatorem patrium invocabant. Nimirum is Apollo Delphicus erat. Quid ergo deus hic præclarus? Isne pro suorum salute dimicavit? An libationum et nidoris cæterorumque meminit, quæ suum in honorem immolandis more majorum hecatombis, ab iis fiebant? Minime vero. Quid ergo jubet? fugere : sed ita fugere, ut ligneo muro (ita videlicet classem vocabat) se munirent : atque hanc unam, incensa jam urbe, expediendæ salutis

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

pag. 215 A seq. ed. Viger. [vol. I pag. 455 seq. ed. Gaisford.] Scripsi : [a] σοῦ ἐδεόμην ; codd. σὲ ἐδεόμην. — [b] οὐδὲ μικρὸν ἔσσεται ; libri οὐδὲ μὴν σκομφύζεται.)

6. Εἰκότα οὖτα παιῶν ὁ συγγραφεὺς διαπαίζει πάλιν τὴν Ἑλληνικὴν ἀπάτην ἐξελέγχων ἐν τούτοις· Ἀλλὰ τὰ μὲν τοιαῦτα ἴσως ἐθελοκάκου τινός ἐστιν· ἐκεῖνα δὲ δεῖ μᾶλλον εἰς τὴν κρίσιν προάγειν, τὰ πρὸς Ἀθηναίους. Καὶ δὴ λεγέσθω τὰ πρὸς Ἀθηναίους·

Ὦ μέλεοι, τί κάθησθε ; λιπὼν φεῦγ' ἔσχατα γαίης[a].
Οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδος, οὔτε τὸ σῶμα,
οὐ χέρες, οὐδὲ πόδες νέατοι· κατὰ γάρ μιν ἐρείπ-
[ψει [b]
πῦρ τε καὶ ὀξὺς Ἄρης, Συριηγενὲς ἅρμα διώκων·
πολλὰ δὲ τῇδ' ἀπολεῖ πυργώματα καὶ κατερείψει[c]·
πολλοὺς δ' ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι[d],
δείμασι παλλόμενοι.

Ἰδοὺ δή σοι τὸ πρὸς Ἀθηναίους λόγιον· ἦ πού τι μαντικὸν ἔνεστι ; Οὐ γὰρ οὕτως ἐθάῤῥεις αὐτῷ, νὴ Δία, φαίη τις ἄν. Εἰ δὲ προσθείης ἃ δεομένων βοηθεῖν αὐτοῖς ἐπιλέγεται, γνωσθήσεται. Ἰδοὺ δὴ προσκείσθω,

Οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι
λισσομένη πολλοῖσι λόγοις. . . . . .

Σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω, ἀδάμαντι πελάσσας[e],
τῶν ἄλλων γὰρ ἁλισκομένων. . . . . .
τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ' ὀνήσειν
μηδὲ σύ γ' ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα,
νῶτον ἐπιστρέψας· ἔτι τοί ποτε κἀντίος ἔσται.
Ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα· γυναικῶν,
ἤ που σκιδναμένης [f] Δημήτερος, ἢ συνιούσης [g].

Ἄξιός τε σοι ὁ Ζεὺς τοῦ Διός, ὦ υἱὲ τοῦ Διός· ἀλλὰ καὶ ἡ Ἀθηνᾶ τῆς Ἀθηνᾶς, ὦ τῆς Ἀθηνᾶς ἀδελφέ· ἥ τε σπουδὴ αὕτη καὶ ἡ ἀντισπουδία ἐπιπρέπει τῷ πατρὶ καὶ τῇ θυγατρί, μᾶλλον δὲ τοῖς θεοῖς· ὅ τε Ὀλύμπιος οὗτος ὁ τὴν μίαν ταύτην ἐξελεῖν πόλιν ἀσθενῶν, εἰ μὴ ἀπὸ Σούσων ἐπάγοι αὐτῇ τὸν ἄπειρον ἐκεῖνον στρατόν, μέγας τις ἄρα ἦν, καὶ τὴν τοῦ παντὸς κυρίαν ἔχων, καὶ πιθανὸς ἅμα, ἐκ μὲν τῆς Ἀσίας εἰς τὴν Εὐρώπην κινῶν ἔθνη τοσαῦτα, ἐν δὲ τῇ Εὐρώπῃ μίαν πόλιν ἀνατρέψαι ἀδύνατος ὤν. Καὶ σὺ δέ, ὁ τολμηρὸς ἅμα καὶ ἐπὶ τῷ μηδενὶ ῥιψοκίνδυνος οὐκ οἰμώζεις ; (εἶπον ἂν ἄνθρωποι, ὑπὲρ ὧν ἡ Παλλὰς οὐ δύναται Δί' Ὀλύμπιον ἐξιλάσασθαι·) ἢ οὐ τοῖς ἀνθρώποις ἐμήνιεν ὁ Ζεύς, ἀλλὰ τοῖς λίθοις καὶ τοῖς ξύλοις· κἄπειτα σὺ μὲν τοὺς ἀνθρώπους ἔσωζες, ὁ δὲ τὰ οἰκοδομήματα ἐνεπίμπρα ἐπακτῷ πυρί ; Οὐ γὰρ ἦν αὐτῷ κεραυνὸς τηνικαῦτα. Ἢ μήτι μᾶλλον ἡμεῖς τολμηροί τε ἐσμὲν καὶ ῥιψοκίνδυνοι, οὐκ ἐπιτρέποντες ὑμῖν

---

rationem esse dicebat. O magnum dei auxilium. Deinde non aliorum solum urbis ædificiorum, sed eorum quoque, quæ diis sacra erant, obsessionem prædicere scilicet se simulat. At vero hoc vel sine ullo oraculo omnibus ex ipsa hostium impressione suspicari licebat.

6. Itaque jure profecto ille scriptor hanc rursus Græcorum fraudem redarguens his verbis illudit : At ista forsitan malevoli prævaricatoris fuerint; ideoque potius conveniat de responso Atheniensibus dato quærere. Est illud autem hujusmodi :

O miseri, quid adestis ? ad extima cedite terræ.
Non urbi firmum remanet caput, ac neque corpus,
nec palmas, imosve pedes sua robora firmant.
Namque illam flammæ, Syriosque in prœlia currus
sternet agens Mavors, atque altas funditus arces
eruet, ac superum templis incendia mittet,
qui nunc fortassis magno terrore subacti
expresso sudore fluunt.

Ecce oraculum quod Atheniensibus dedit ; num quod in eo vel tenuissimum est divinationis vestigium ? Quippe, Tu enim, inquiet quispiam, per Jovem hoc oraculo non confidebas. At si quæ auxilium ejus implorantibus subjecit, addideris, tum quale demum illud sit, intelligetur. Addamus ergo :

Jam magnum placare Jovem Jove nata Minerva
haud precibus votisque potest.
Hoc tibi sed rursum ipso adamante perennius ajo :
nam captis reliquis
Juppiter e ligno muris Tritonida donat',
qui soli invicti tibi sint natisque saluti :
ne vero maneas peditesque equitesque, sed ante
terga dato ; namque incurret mox obvius hostis.
Divina o Salamis, perdes tu pignora matrum,
sit licet aut dispersa Ceres, aut prompta coire.

Jovem hercle tu nobis Jove dignum, o Jovis fili ; dignam Minerva Minervam fingis, o Minervæ frater : et ista voluntatum studiorumque pugna patrem ac filiam, imo deos omnino decet. Quin etiam Olympius iste tuus, qui nisi adductum Susis ingentem illum exercitum admoveret, urbem unam expugnare non posset, magnus videlicet deus est ac totius orbis rector. Idem etiam locuples auctor habendus, traductis ex Asia in Europam tot gentibus, quum ad evertendam unicam Europæ urbem vires ei deessent. Tu vero, audacissime, (inquiant homines illi, quibus Jovem Olympium exorare Minerva non potest ;) qui ubi causæ nihil est, usque adeo præceps in obeundis periculis esse soles, hunc casum non deploras ? An vero lapidibus lignisque Jupiter, non hominibus irascebatur, ut homines tu quidem a morte eriperes, ipse autem ædificia adventicio incendio deleret ? Nec fulmen ei tum suppetebat. Nisi forte audaciores ipsi sumus nimiumque sine causa præ-

ω φληναφεῖν. Πῶς δέ, ὦ μάντι, ὅτι μὲν ἡ θείη
λαμὶς ἀπολεῖ τέκνα γυναικῶν ἤδεις, πότερα δὲ
δναμένης Δημήτερος ἢ συνιούσης οὐκέτ' ἤδεις; Πῶς
οὐδὲ τοῦτο ἤδεις, ὅτι τὰ τέκνα τῶν γυναικῶν εἴποι
ἄν τις εἶναι καὶ τὰ οἰκεῖα, εἴποι δ' ἂν καὶ τὰ
κέμια, αἰσθόμενος τοῦ κακοτεχνήματος; Περιμέ-
ν δὲ δεῖ τὸ ἀποβησόμενον· ἐν γὰρ δεῖ τι τούτων
βήσεσθαι. Ἡ γάρ τοι Σαλαμὶς ἡ θείη οὐδὲ ἡτ-
μένων ἀφήρμοσεν ἄν, ὡς εἰς οἶκτον οὕτως ἐπιφω-
μένη· ἥ τε μέλλουσα τῶν νηῶν μάχη, ἤτοι που
δναμένης Δημήτερος ἢ συνιούσης, καταπέπλασται
ποιητικῇ σεμνολογίᾳ, ἵνα γένηται μάντευμα ἀφώρα-
τῷ σοφισμῷ, καὶ μὴ εὐθὺς καταφανὲς ᾖ, ὅτι ἐν
μῶνι μάχη ναυτικὴ οὐ συνίσταται. Ἤδη δὲ οὐδὲ
τραγῳδία ἀφανής, οὐδὲ οἱ θεοὶ ἐπεισκυκλούμενοι,
μὲν ἱκετεύων, ὁ δὲ οὐ κατακαμπτόμενος· χρήσιμοι
μέλλοντι, καὶ τῇ τοῦ πολέμου παραδόξῳ ῥοπῇ, ὁ
σωζομένοις, ὁ δ' ἀπολλυμένοις. Εἴτε γὰρ σώζοιντο,
αἱ τῆς Παλλάδος λιταὶ προμεμήνυνται, ἱκαναὶ
αι κάμψαι τὴν τοῦ Διὸς ὀργήν· εἴτε καὶ μή, οὐδὲ
το τῷ μάντει ἀκατασκεύαστον· οὐ γὰρ δύναται
λλὰς τὸν Δία ἐξιλάσασθαι· πρός τε τὰς ἡμικάκους
ας ὁ τεχνίτης ἐκέρασε τὸ λόγιον, ὡς δὴ τοῦ Διὸς
μὲν τὴν ἑαυτοῦ πρόθεσιν ἐκτελέσαντος, τῇ δὲ τὴν
σιν τῆς θυγατρὸς οὐ περιφρονήσαντος. Τά τε
ργώματα ὅτι πολλὰ ἀπολεῖται, εἰ μετὰ ναρθήκων
λὰ μὴ μετὰ σιδήρου καὶ πυρὸς ἐπήεσαν, τάχα ἂν
ψεῦδος ἦν, ὁπότε καὶ μετὰ ναρθήκων ἔπραξαν ἄν τι
πάντως οἱ τοσοῦτοι. Ἀλλ'-ἐγώ, φησίν, ἐξεῦρον τὸ
ξύλινον τεῖχος, τὸ μόνον ἀπόρθητον. Συμβούλευμα
σοῦ γε, ἀλλ' οὐ μάντευμα, οὐκ ἀπεοικὸς τῷ

Φεύγειν, μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸν εἶναι.

Ὁ γοῦν ἐπιλυσάμενος ἐκεῖνο τὸ αἴνιγμα οὐ χείρων
ἦν σου κατιδεῖν, ὅτι ἡ τῶν Ἀθηναίων πόλις πρόφασις
ἦν τῷ Πέρσῃ τῆς ὁδοῦ, καὶ ἡ πᾶσα ἔλασις ἐπὶ ταύτην
πρώτην τε καὶ ἐξοχωτάτην ἐγένετο. Ἐπεὶ καὶ ὁ
ἅμαντις αὐτὸς ἐγὼ τοῦτ' αἰσθόμενος καὶ τὸν Ἀθηναῖον
ἄν, οὐ μόνον τὸν Αυδόν, ἐκέλευον φεύγειν νῶτα ἐπι-
στρέψαντα. Ἔτι γάρ ποτε κἀντίος ἔσται· πολλὴ γὰρ
ἱππόσυνη καὶ πεζὸς ἐπέρχεται. Ὅτι δὲ ναυσίν, ἀλλ'
οὐ κατ' ἤπειρον· καὶ γὰρ ἦν γελοῖον ἔχοντας ναυτικόν,
καὶ ἐπὶ θαλάσσης κατοικοῦντας, μὴ οὐ πασσυδὶ σκευω-
ρησαμένους, καὶ τροφὰς ὅσας εἶχον συνεμβαλλομένους
σώζεσθαι, παραδόντας τοῖς βουλομένοις τὴν γῆν.

(Eusebius Præpar. Evang. lib. V cap. 23-24, pag. 215 D seq. ed. Viger. [vol. I pag. 458 seq. ed. Gaisford.] Scripsi : [a] λιπὼν φεῦγ' ἔσχατα γαίης ex Herodot. VII, 140; codd. φύγετ' ἔσχατα γαίης. — [b] ἐρείψει cum Vigero; libri ἔρριψε. — [c] κατερείψει; codd. καταρίψει vel καταῤῥίψει. — [d] Schol. ad Apollon. Rhod. IV, 1285 : ὅταν μέλλῃ τι συμβαίνειν χαλεπόν, εἴωθε τὰ ἀγάλματα ἱδροῦν.— [e] i. e.

tes, qui ne vos quidem sic nugari patiamur. At quodo tamen, o vates, futurum esse sciebas, ut mulieh fœtus divina Salamis perderet, sed utrum id semenan messis tempore futurum esset ignorabas? Imo ne hoc quidem sciebas, fœtus illos mulierum, uti suos proprios, ita etiam hostium liberos; a quolibet qui ificationem animadverteret, intelligi omnino posse? mirum exitus exspectandus est; prorsus enim alterum eveniat oportet. Nam ista quidem divina Salamis, i vincerentur, semper utique cum oracuo congrueret, asi ad miserationem commovendam ejusmodi carmine ellaretur : navalis autem pugna sub sementis messisve mpus futura, poetici sermonis gravitate ficta est, ne culi vanitas his argutiis tecta deprehendi posset, neve tim omnibus liqueret, prœlium navale hiberno tempe committi non solere. Jam vero ne ipsius quidem gœdiæ finis aut invectorum deorum ratio obscura est, rum alter supplex alter minus exorabilis esse fingitur, uterque ad tempus futurum et inopinatam belli inclionem accommodatus, alter si salvi forent, alter si irent. Nam si ab interitu retraherentur, en illæ Mivæ preces prænuntiatæ erant, quæ ad permulcendam vis iram satis haberent virium : sin minus, ne hoc dem vati non provisum; nec enim Jovem, inquit, rare Minerva potest. Ita suum istud oraculum ad stis lætæque sortis exitum bonus artifex accommodavit, ut partim Jupiter propositum peregisse, partim filiæ preces minime aversatus esse videretur. Nam arces quidem plurimas disjectum iri, dummodo ferulis, non autem ferro ignique armati urbem invaderent, fortasse falsum erat, quum tanta multitudo solis etiam ferulis instructa omnino efficere aliquid posset. At ligneum, inquit, murum eumque solum inexpugnabilem inveni. Consilium das, Apollo, non oraculum, et consilium quidem alteri huic non absimile :

I, fuge et ignavus posito sis Lyde pudore.

Quin etiam qui tuum istud ænigma solvit, is nihilo sane minus quam tu videbat, Atheniensium urbem Persis profectionis causam fuisse: omnemque illam expeditionem adversus hanc, quæ et primaria et nobilissima foret, susceptam esse. Namque ego ipse, qui neutiquam rerum futurarum interpres sum, ubi rem sensissem, non Lydo tantummodo, sed etiam Atheniensi, ut terga hosti daret, omnino auctor essem. Etenim hostis tibi adhuc obvius aliquando erit, siquidem multi equites peditesque adveniunt. Mari vero, non terra fugam suaderem. Ridiculum enim foret, homines classe instructos et maris accolas, non collectis celeriter vasis et quidquid commeatus suppeteret in naves imposito, salutem suam expedire, terra, quibus ea placeret, libenter relicta.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

quod firmum adamantis instar erit futurum. Refertur enim participium ad Apollinem. — [f] dum sementem faciunt. — [g] dum metunt.)

7. Ταῦτα μὲν οὖν τὰ πρὸς Ἀθηναίους· ἀσθενῆ δὲ σφόδρα καὶ καταγέλαστα τὰ πρὸς Λακεδαιμονίους. Ἤτοι γὰρ πᾶσά φησιν ἡ πόλις πολιορκηθήσεται, ἢ ἀπολωλότα τὸν βασιλέα πενθήσει. Τοῦτο δ' ἐξ ἅπαντος εἰκὸς ἦν παντί τῳ στοχάζεσθαι, τὸ ἤτοι τόδε ἢ τόδε συμβήσεσθαι. Ἀλλ' οὐ δήπου θεοῦ ἦν μάντευμα ὧδέ πως ἀμφιβάλλειν ἀγνοίᾳ τοῦ μέλλοντος, βοηθεῖν δέον, καὶ σωτῆρα τῶν Ἑλλήνων ἐν καιρῷ παραφαίνεσθαι, καὶ μᾶλλον τὴν κατὰ τῶν ἐχθρῶν καὶ βαρβάρων νίκην τοῖς Ἕλλησιν, ὡς ἂν οἰκείοις φίλοις προξενεῖν. Εἰ δὲ μὴ τοῦτο δυνατὸς ἦν, κἂν τὸ μὴ παθεῖν αὐτούς, μηδ' ἁλῶναι παρέχειν. Ὁ δὲ οὐδὲ τοῦτο, ἀλλ' οὐδ' ὅπως αὐτοῖς τὰ τῆς ἥττης περιστήσεται, γινώσκει. Διὸ καὶ πρὸς ταῦτα οἷά φησιν ὁ ἔλεγχος, ἄκουε· Ἀλλ' οὐ δεῖ Λακεδαιμονίοις, φήσεις, ταυτὸν παραινεῖν. Ἀληθῆ λέγεις. Οὐ γὰρ ἠπίστασο, ὦ σοφιστά, οἳ χωρήσει τὰ τῆς Σπάρτης ὥσπερ τὰ τῆς Ἀττικῆς. Ἐδεδοίκεις οὖν μὴ σὺ μὲν κελεύσῃς αὐτοὺς φεύγειν, κἄπειτα οἱ μὲν φεύγοιεν, οἱ δὲ μὴ ἐπέλθοιεν. Ἐπεὶ οὖν ἔδει τι λέγειν, οὕτως εἶπας τοῖς Λακεδαιμονίοις·

Ὑμῖν, ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ ἐριαυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
πέρσεται· ἢ τὸ μὲν οὐκί[a], ἀφ' Ἡρακλέος δὲ γενέθλης
πενθήσει βασιλῆ[b] φθίμενον Λακεδαίμονος οὖρος.

Πάλιν ὁ ἀμαντευτότατος σύνδεσμος. Ἀλλ' ἐῶμεν αὐτόν, ὡς μὴ δὶς περὶ τοῦ αὐτοῦ σοι ἐπιπηδῶντες ἐπαχθεῖς ἅμα καὶ ἄποροι δοκῶμεν εἶναι, τὰ δὲ λοιπὰ ἐπισκοπῶμεν. Εἰς σὲ μὲν ἀπέβλεπον ἅπαντες ἐν τηλικούτῳ κινδύνῳ· σὺ δ' αὐτοῖς καὶ τῶν μελλόντων μηνυτὴς καὶ τῶν ποιητέων ἦσθα σύμβουλος. Καὶ σὲ μὲν ἐκεῖνοι πιστόν, σὺ δ' αὐτοὺς ἐπέπεισο ἠλιθίους εἶναι· καὶ ὁ καθεστὼς καιρὸς ὅτι ἱκανὸς ἦν ἄγειν καὶ τραχηλίζειν τοὺς ἀβελτέρους οὐ μόνον εἰς Δελφικὰ καὶ Δωδωνεῖα σοφιστήρια, ἀλλ' ἤδη καὶ ἐπὶ τὰ ὀρνιθομαντεῖα, καὶ ἀλευρομαντεῖα, καὶ τοὺς ἐγγαστριμύθους. Πιστοὶ δὲ οὐ μόνον οἱ θεοὶ τηνικαῦτα, ἀλλ' ἤδη καὶ αἱ γαλαῖ, καὶ αἱ κορῶναι, καὶ τὰ καθύπνια παραπταίσματα. Οὔκουν ἄδηλον ὅτι οὔτ' ἂν ἀμφότερα μᾶλλον ἐδέξαντο, ἢ τὸ ἕτερον, οὔτ' ἂν τὸ μεῖζον ἀντὶ τοῦ μείονος, μεῖον δὲ εἶναι ἕνα ἀντὶ πάντων πεσεῖν τὸν βασιλέα. Μετὰ μὲν δὴ τῆς πόλεως πιπτούσης οὐδεμία οὐδ' αὐτῷ ἀποφυγή· εἰ δ' αὐτὸς ἄλλῃ πῃ τάττοιτο, τάχα ἄν τι καὶ παράδοξον γένοιτο. Λείπεται δὴ τοὺς ταῦτα λογιζομένους τὸν μὲν βασιλέα πέμψαι προσπολεμήσοντα, αὐτοὺς δὲ οἴκοι μένοντας ἔξω κινδύνων καραδοκεῖν. Τῷ μὲν οὖν μετ' ὀλίγων ἐναντίῳ ἰσταμένῳ πρὸς τὸν ἄπειραν ὄχλον ὀλεθρος προφαγής, ἡ δὲ Σπάρτη ἀνοχὰς εἶχε τοῦ φόβου καὶ παραδόξους ἐλπίδας. Μηδὲν δὲ ἧττον ἀφώρατον εἶναι τὸ σόφισμα, καὶ διαφυγούσης καὶ ἁλούσης. Τί δήποτε; Ὅτι οὐκ εἴρητο μὰ Δία, εἰ ὁ βασιλεὺς ἀπο-

---

7. Hæc igitur sunt, quæ Atheniensibus Apollo respondit; quæ vero Lacedæmoniis, admodum infirma et ridicula. Quippe civitas, inquit, universa aut obsidione cingetur, aut regem exstinctum lugebit. At omnibus omnino probabili conjectura augurari licebat, alterutrum utique eventurum esse. Nec certe ob rerum futurarum ignorationem ita quodammodo ambigere dei erat oraculum edentis, quum auxiliari oporteret et allata opportune Græcis salute his potius, tanquam domesticis amicis, victoriæ ex hostibus ac barbaris referendæ auctorem esse. Quodsi hoc non poterat, id saltem, ne quid ipsi paterentur, neve in hostium potestatem venirent, efficere debebat. Verum ille ne hoc quidem, imo nec cujusmodi iis futurus sit adversi prœlii exitus, intelligit. Quamobrem etiam, quæ hujus oraculi refutatio sit, accipe. At non decuit, inquies, Lacedæmoniis idem suadere. Vera prædicas. Non enim sciebas, o sophista, idemne Spartæ quod Atticæ periculum immineret. Itaque verebaris, ne quum eos fugere jussisses, fugerent illi quidem, Persæ vero nequaquam ipsos invaderent. Quoniam igitur aliquid respondendum erat, sic Lacedæmoniis respondisti:

Nobilis o Spartæ cives, aut inclyta vobis
urbs Persarum armis penitus subversa jacebit:
aut si eadem steterit, magno regem Hercule natum
tristia defunctum plangent Lacedæmonis arva.

En rursus non prædicta eventorum colligatio; quam tamen omittamus licet, ne si bis in eadem re exponenda tibi insultatum a nobis fuerit, non solum graves tibi ac molesti, sed etiam dementes ac stupidi esse videamur. Consideremus ergo reliqua. Te unum omnes tanto in periculo intuebantur; tuque eis et futurorum interpres et rerum gerendarum auctor fuisti. Ac te quidem illi fide dignum, tu vero eos stolidos esse putabas, præsertim quum etiam ejusmodi rerum status esset, quo homines stulti non modo in Delphicas vel Dodonæas argutiarum officinas, sed jam ad auguria quoque et prædictiones ex farina et ad vates ventriloquos præcipites agi possent. Quippe non dii tantummodo per id tempus luculenti auctores existimantur, sed feles quoque, cornices et vanæ somniorum species fidem habent. Neque vero dubium erat, eos nec utrumque potius quam alterutrum, nec pro leviori gravius subituros esse; simulque levius hoc demum fore, si rex pro omnibus unus caderet. Jam vero illud etiam facile succurrebat, in communi totius urbis excidio effugium regi patere nullum; idem autem si alio quopiam amandaretur, fortasse aliquid præter opinionem eventurum. Reliquum igitur est, ut hæc secum ipsi reputantes regem, qui bellum hostibus inferat, mittant, domi vero interea manentes, procul a discrimine rei totius exitum opperiantur. Regi porro cum paucis infinitam hostium multitudinem excipienti certam mortem imminere liquebat: quum inte-

νοι, ἡ πόλις σωθήσεται, ἀλλ' ὅτι ἢ μόνος ἀπολεῖται
ἡ σύμπασα πόλις· τοῦτο δὲ ἐν ἑκατέρῳ ἀνεύθυνον,
ι μόνου αὐτοῦ ἀπολουμένου καὶ μὴ μόνου. Οὗτος
τύφου καὶ ἀφροσύνης καρπός.

(Eusebius Præpar. Evang. lib. V cap. 24-25, g. 218 D seq. ed. Viger. [vol. I pag. 463 J. ed. Gaisford.] Scripsi : [a] οὐκί ut apud Herodotum VII, 220; codd. οὐχί. — [b] βασιλῆ; codd. σιλέα.)

8. Ἀλλὰ ταῦτα μὲν ταύτῃ. Οὐκ ἄξιον δὲ παρελθεῖν
ἃ ἅπερ Κνιδίοις ἔχρησε πάλιν εὐχομένοις καὶ τὴν
ρὰ τοῦ θεοῦ συμμαχίαν αἰτοῦσιν. Ἔπαθον δὲ καὶ
Κνίδιοι τούτῳ προσεοικὸς Ἁρπάγου ἐπ' αὐτοὺς
ρατεύσαντος. Τὸν γὰρ Ἰσθμὸν τὸν αὐτόθι διακό-
ειν ἐπιχειροῦντες καὶ τὴν πόλιν νησοποιεῖν, τὰ μὲν
ῶτα τοῦ ἔργου εἶχοντο· ἐπεὶ δὲ αὐτοῖς ἀπήντα ἡ
γασία, ἀπαγορεύοντες ἤδη ἐχρῶντο. Σὺ δὲ αὐτοῖς
τας,

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μηδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, αἴκ' ἐβούλετο.

αὶ οἱ βλάκες ἐπείσθησαν, καὶ ἀποτραπόμενοι παρέ-
καν ἑαυτοὺς τῷ Ἁρπάγῳ. Τὸ δὲ ῥᾳδιούργημα.
πεὶ γὰρ οὐκ ἦν βέβαιος ἀποφυγὴ ὀρύξασι, τούτου
ν ἔπαυσας· ὡς δὲ μὴ κελεύων ἔργου ἔχεσθαι, ἐπαγ-
λλῃ τὴν ἀποφυγήν. Τοῦτο δὲ οὐ τὸ λῴϊον εἶναι μὴ
ὀρύξασι προσετίθεις, ἀλλ' ὅτι οὐ δοκεῖ τῷ Διὶ αὐτὴν
νῆσον εἶναι. Ἐν μὲν οὖν τῇ ἀποτροπῇ ἀμφότερα
ἰσόῤῥοπά, ἐν δὲ τῇ προτροπῇ τὸ διαφεύξεσθαι προεῖχεν·
ὅθεν [b] δὴ ἀσφαλὲς ἦν τῷ σοφιστῇ τὸ ἀνατρέπειν. Οὕ-
τως τε οὐδὲν εἰπὼν ὧν ἕνεκα ἦσαν ἀφιγμένοι, ἀπέ-
πεμψας οἰομένους ἀκηκοέναι τι.

(Eusebius Præpar. Evang. lib. V cap. 25-26, pag. 220 C seq. ed. Viger. [vol. I pag. 467 seq. ed. Gaisford.] Scripsi : [a] Ἰσθμὸν δὲ μὴ; codd. Ἰσθμὸν μὴ. — [b] ὅθεν; codd. οὗ.)

9. Ταῦτα δὲ ἡγοῦμαι τὸ ἀδρανὲς τῶν τε χρώντων
καὶ τῶν χρωμένων ἀπελέγχειν αὐτάρκως, καὶ ὅτι
μηδὲν ἀληθὲς ἢ ἔνθεόν ἐστιν εὑρεῖν ἐν τοῖς δηλουμέ-
νοις. Τὸ δὲ κακότροπον τοῦ ἤθους εἴτε τῶν πονηρῶν
δαιμόνων εἴτε τῶν τὰ μαντεῖα καθυποκρινομένων ἀν-
θρώπων ἴδοις ἄν, εἰ μάθοις ὡς καὶ εἰς τὸν κατ' ἀλλήλων
πόλεμον τοὺς χρωμένους αὐτοῖς ἠρέθιζον, εἰρήνης καὶ
φιλίας δέον αὐτοὺς εἶναι βραβευτάς. Τοτὲ μὲν οὖν
Λακεδαιμονίους ὡς ἂν οἰκείους καὶ φίλους ὁ ἐν Δελφοῖς
πάλιν κατὰ Μεσσηνίων παροξύνει, τοτὲ δ' αὖ Μεσση-
νίοις κατὰ Λακεδαιμονίων χρᾷ, εἰ πάλιν οὗτοι δι' ἀν-
θρωποθυσίας ἱλάσοιντο τοὺς δαίμονας. Ἄκουε δὲ καὶ
τὰ περὶ τούτων. Ἐπικρινεῖ δὲ τὰ τοιαῦτα ἡ σοφία
παροῦσα τῇ μαντικῇ, καὶ οὐκ ἐπιτρέψει αὐτῇ ὡς
ἔτυχε διαλέγεσθαι, ἅτε δὴ τῶν πάντων ἀναψαμένη τὰ
πείσματα, καὶ ἐπιθεμένη τὰ πρεσβεῖα· οὐδ' ἐφήσει

n inducias metu vacuas a Spartanis optima quæque spe-
ntibus agitarentur. Sed sive caperetur urbs, sive pe-
ulum effugeret, tamen nihilominus tectam manere
villationem. Cur tandem? Quia nequaquam, per Jovem,
kerat vates, si rex periret, salvam fore civitatem, sed
ntum, aut unum regem, aut universam civitatem esse
rituram. Id vero impune in utramque partem, sive
us ipse periret, sive non solus, accipi posset. Atque
c demum est arrogantiæ ac dementiæ fructus.

8. Sed hæc hactenus. Cæterum non decet prætermit-
re etiam illud responsum, quod rursus Cnidiis precan-
us deique auxilium implorantibus reddidit. Accidit
lem, inquit ille, et Cnidiis simile quid, quum Harpagus
peditionem adversus eos suscepisset. Isthmum enim
um, qui erat inibi, tollere ac rescindere, atque urbem
sulam efficere moliti, primum quidem opus aggredie-
ntur : sed postquam gravem laborem ferebant, animo
acti jam oraculum consuluerunt. Tu vero iis respon-
sti :

Isthmoque nec munito nec fosso est opus;
nam si Jovi placeret, esset insula.

bi porro stolidi homines fidem habuere atque a pro-
sito deterriti Harpago sese dediderunt. At hæc vetera-
ria respondendi ratio est. Nam quod ne suffosso
idem isthmo eos tutum receptum habituros esse vide-
as, affectum opus inhibuisti : idemque simul, utpote
nequaquam ejus inchoandi auctor, effugiendi spem aliquam illis ostendis. Neque tamen, si a suffodiendo se abstinuerint, lætiorem exitum polliceris, sed hoc tantum mones, non placere Jovi urbem insulam fieri. Quippe apparebat, si dehortarere, parem in utramque partem responsi vim fore; si autem hortarere, salutem prædictam posse videri. Quare dehortari modo tutum esse sophista putabat. Atque hoc modo nihil eorum, quorum causa advenerant, locutus miseros dimisisti, qui sese tamen aliquid audivisse opinabantur.

9. His equidem existimo tam respondentium quam consulentium imbecillitatem omniaque illa oracula neque vera esse neque divina abunde coargui. Jam vero nequitiam sive malorum dæmonum sive hominum, qui divinorum personam suscipiebant, ex eo facile intelligas, quod qui pacis et amicitiæ conciliatores esse debuissent, illi eos sæpissime, a quibus consulebantur, ad mutua bella incitarent. Et quidem modo Lacedæmonios, quasi domesticos et amicos Apollo Delphicus in Messenios incitat, modo idem Messeniis adversus Lacedæmonios, dummodo humana victima dæmones iterum placaverint, læta omnia pollicetur. Audi etiam quæ ad hanc rem pertinent. At hæc omnia videlicet ea quæ divinationi præsto est sapientia decernet, nec eam temere quidquid occurrerit effutire sinet, utpote quæ rerum omnium suspensas ex se habeat rationes, ac suum quibusque pretium statuat. Neque vero Pythium illum, ob ejus vanitatem, aut istis,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ματαίῳ ὄντι τῷ Πυθίῳ χρᾶν οὔτε τούτοις, οὔτε Λακεδαιμονίοις περὶ Μεσσηνίων καὶ τῆς γῆς, ἧς εἶχον Μεσσήνιοι ἀπάτῃ νικήσαντες Λακεδαιμονίους [a],

Οὔ σε μάχης μόνον ἔργ' ἐφέπειν χερὶ Φοῖβος ἄνωγεν,
ἀλλ' ἀπάτῃ μὲν ἔχει γαῖαν Μεσσηνίδα λαός·
ταῖς δ' αὐταῖς τέχναις τις ἁλώσεται, αἴσπερ ὑπῆρξεν.

Εἰρήνης μᾶλλον μεμνῆσθαι κελεύει καὶ ὀλιγοδείας καὶ αὐταρκείας. Οἱ δέ που τοῖς Λυκούργου νόμοις κατακοσμούμενοι ἦκον ὑπὸ ἀπληστίας καὶ δόξης κενῆς ἐρησόμενοι, ὡς μὴ δοκοῖεν Μεσσηνίων μάχῃ λείπεσθαι, ἐν νόμοις καρτερικοῖς τεθράφθαι δοκοῦντες. Εἰ δέ γε οἱ ἐν καρτερικοῖς ἦσαν νόμοις οὕτω τεθραμμένοι, ἐκαρτέρουν ἂν ἐπὶ τοῖς ὀλίγοις, καὶ οὐδὲν ἂν μάχης αὐτοῖς ἔδει, οὐδὲ ὅπλων καὶ τῆς λοιπῆς ἀποπληξίας. Ταῦτα Λακεδαιμονίοις κατὰ Μεσσηνίων· πάλιν δ' αὖ Μεσσηνίοις κατὰ Λακεδαιμονίων ταῦτα· σὺ γὰρ καὶ Μεσσηνίοις κατὰ Λακεδαιμονίων, οὐ μόνον Λακεδαιμονίοις κατὰ Μεσσηνίων χρησμῳδεῖς [b].

Παρθένον Αἰπυτίδα κλῆρος καλεῖ, ἤντινα δοίης
δαίμοσι νερτερίοις, καί κεν σώσειας Ἰθώμην.

Τὰ γὰρ παρευρήματα οὐ δέχομαι, ὅτι οὐκ ἦν καθαρὸν ἐκ γένους Αἰπύτου τὸ ἱερεῖον, ὅθεν ἀτέλεστα Μεσσηνίοις εἶναι. Τοιοῦτος γὰρ εἶ, οἷος ταράττειν.

(Eusebius Præpar. Evang. lib. V cap. 26-27, pag. 220 D seq. ed Viger. [vol. I pag. 468 seq. ed. Gaisford.] [a] Vid. Pausan. lib. IV, 12. — [b] Cf. Pausan. lib. IV, 9.)

10 Τὰ μὲν δὴ τῆς παλαιᾶς ἱστορίας τοιαῦτα. Μυρία δ' ἐστὶ καὶ καθ' ἡμᾶς τούτοις συνιδεῖν ὅμοια, ἐκ παλαιοῦ χρόνου καὶ εἰς ἡμᾶς αὐτοὺς τῶν κατὰ χρόνους ἀρχόντων τοτὲ μὲν εἰς ἀπράκτους πολέμους διὰ τῆς τῶν χρησμῶν συμβουλίας ὁρμώντων, τοτὲ δὲ σφαλλομένων ἐκ τῆς τῶν χρησθέντων ἀσηλίας, ἄλλοτε δὲ ἀποπλανωμένων ἐκ τῆς αὐτόθεν τῶν λογίων ἀπάτης. Τί δεῖ δὲ λέγειν, ὡς ποτε ἐν ταῖς μεγίσταις συμφοραῖς, ἤτοι τῶν πρὸς τοὺς ἐχθροὺς παρατάξεων, ἢ τῶν ἐν ταῖς σωματικαῖς ἀῤῥωστίαις κινδύνων, τῆς τῶν νενομισμένων θεῶν ἐπικουρίας ἢ θεραπείας οὐδὲν ὤναντο. Τοιαῦτα δὲ ἀεὶ καὶ διὰ παντὸς αὐτοῖς τὰ ἀπὸ τῶν χρησμῶν ἐκπίπτει, οἷα καὶ τὰ τῆς παλαιᾶς ἱστορίας συνίστησιν. Ἀλλ' ἐπεὶ τῶν μάλιστα παρὰ τοῖς Ἕλλησι θρυλουμένων τοῦ Πυθίου χρησμῶν εἷς τις ἦν καὶ ὁ πρὸς Λυκοῦργον, ᾧ προσιόντι ἡ Πυθία ἐπεφώνησε τὸ βοώμενον ἐκεῖνο,

Ἥκεις, ὦ Λυκόργε [a], ἐμὸν ποτὶ πίονα νηόν,
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι·
δίζω ἤ σε θεὸν μαντεύσομαι, ἢ ἄνθρωπον·
ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι· ὦ Λυκόργε,
ἧκεις εὐνομίην διζήμενος· αὐτὰρ ἐγώ τοι
δώσω,

καὶ τὰ τούτοις συνεπιλεγόμενα· φέρε καὶ πρὸς ταῦτα

---

aut Lacedæmoniis de Messeniis eaque regione, quam illi Lacedæmoniis fraude victis occuparant, responsum dare patietur,

Non belli tantum suadet certamina Phœbus
magna tibi, capta est astu Messenia tellus;
sed qui fraude alios cepit, capietur eadem.

Pacis eos potius et temperantiæ meminisse, ac sua sorte contentos esse jubet. Enimvero homines quum Lycurgi legibus fere ad æquitatem instituti essent, inexplebilis cupiditatis et inanis gloriæ stimulo acti oraculum consuluerunt, ne qui ex legum præscripto tolerantiæ innutriti forent, Messeniis pugna cessisse viderentur. Si vero ex legum præscripto tolerantiæ ita innutriti essent, paucis fuissent contenti, quippe qui neque dimicatione neque armis neque reliqua insania egerent. Cœterum illa tu Lacedæmoniis contra Messenios respondisti: at Messeniis contra Lacedæmonios hæc. Nam utrisque vicissim adversus utrosque responsa reddis:

Ægytidis poscunt manes Libitinaque mortem
virginis; hac cæsa caram servabis Ithomen.

Nam quod dicis, non puram ac sinceram ex Ægyti genere victimam, ac propterea litatum a Messeniis non esse: apage ista commenta. Talis quippe es, qui turbare soleas.

10. Atque hujusmodi sunt veteris historiæ exempla. Cæterum sexcenta his similia inde ab antiqua ætate usque ad nostram memoriam proferri possunt: quum tot subinde imperatores modo ad inania bella oraculis auctoribus raperentur, modo responsorum obscuritate fallerentur, modo etiam nativa quadam inducti oraculorum fraude a proposito aberrarent. Quid vero attinet referre, quoties vel gravissimis, quod infaustum cum hostibus prœlium commisissent, calamitatibus afflicti, vel morbis periculosissimis laborantes, ab iis qui vulgo dii habebantur neque adjuti neque curati sint? Et quidem talia semper ac perpetuo responsa iis data sunt, qualia in priscis annalibus traduntur. Sed quoniam ex iis Apollinis Pythii oraculis, quæ a Græcis maxime jactantur, unum etiam illud est, quod Lycurgo ipsam consulenti Pythiam edidisse ferunt, omnium sermone celebratissimum,

Ad mea venisti præpinguia templa, Lycurge,
grate Jovi et cunctis qui tecta tuentur Olympi.
Ambigo, tene deum jam nunc hominemne salutem;
sed multo magis esse deum te credo, Lycurge.
Æqua tuis nos jura rogas; damus illa libenter,

et quæ sequuntur: age, quid tandem de isto quoque Œnomaus noster senserit, quum oraculorum vanitatem coargueret, videamus. Sic igitur ipse scribit: Sed enim

τίνα ποτὲ συνεῖδεν ὁ προδηλωθεὶς ἔλεγχος ἐποπτεύσωμεν. Γράφει δὲ ὧδε· Ἀλλὰ σὺ τὸν Λυκοῦργον προκαθηγεμόνα καὶ σκοπὸν ἐλθόντα ποτὲ ὡς σέ, ἥκειν ἔφης ἐκ κοίλης Λακεδαίμονος Ζηνὶ φίλον, καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσι, δίζεσθαί τε εἰ θεὸν αὐτὸν μαντεύσῃ, ἢ ἄνθρωπον· ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπεσθαι[b] ὅτι ἦλθεν εὐνομίην αἰτήσων. Καὶ πῶς, εἰ θεός, οὐκ ἠπίστατο νόμον πολιτικὸν ὁ φίλος τοῦ Διὸς καὶ πάντων τῶν Ὀλυμπίων; Ἀλλ' ἐπεί τοι καὶ οὐ δίχα θεοῦ ἴσως τὰ τοιαῦτα εὑρίσκεται, ἃ δέδεικται τῷ θειοτάτῳ ἀνθρώπων ὑπὸ τῆς θεοῦ φωνῆς, φέρε, ἴδωμεν τὴν θείαν φωνήν, καὶ ἃ ἐδίδαξας τὸν Λυκοῦργον·

Ἥκεις εὐνομίην διζήμενος, αὐτὰρ ἐγώ τοι
δώσω.

Δός, εἰποιμι ἂν ἐγώ· οὐδεμίαν γάρ πω δόσιν οὐδενὶ ἐπηγγείλω τοιαύτην.

Ἕως ἂν μαντείαισιν ὑποσχέσιάς τε[c] καὶ ὅρκους,
καὶ δίκας ἀλλήλοισι καὶ ἀλλοδαποῖσι διδῶτε,
ἁγνῶς καὶ καθαρῶς πρεσβηγενέας τιμῶντες,
Τυνδαρίδας δ' ἐποπιζόμενοι, Μενέλαν τε καὶ ἄλλους
ἀθανάτους ἥρωας, οἳ ἐν Λακεδαίμονι δίῃ,
οὕτω τοί χ' ὑμῶν περιφείδοιτ' εὐρύοπα Ζεύς.

Ἄπολλον, διδασκαλίας καὶ παρεγγυήσεως θείας· καὶ οὐ μακρὸς ἕνεκα τούτων ὁ στόλος, οὐδὲ ὅπως εἰς Δελφοὺς ἐκ Πελοποννήσου, ἀλλ' οὐδ' εἰς Ὑπερβορέους αὐτούς, ὅθεν ἀφῖχθαι λέγουσι κατὰ χρησμὸν Ἀστερίας ἄλλης μάντεως

Οἰκητὰς Δήλοιο θυώδεος ἠδ' ἱερῆας.

Δοκεῖ δέ μοι ὁ Λυκοῦργος οὗτος οὐκ ἐσχηκέναι τιτθήν, οὐδὲ σὺν θώκῳ πρεσβυτέρων οὐδέποτε κεκαθικέναι, παρ' ὧν καὶ παρ' ἧς εἶχε καλλίω τούτων ἀκοῦσαι καὶ σοφώτερα. Τάχα δέ πού τι προσθήσεις, ἐάν σε λιπαρῇ ὁ Λυκοῦργος εἰπεῖν τι σαφές. Εἰ οἱ μὲν εὖ ἡγοῖντο, σὲ δ' ἔποιντο, ἔτι φήσω τοῦ αὐτοῦ εἶναι συνθώκου[d] τοῦτο, καὶ ἀξιώσω τὸν Λυκοῦργον μὴ ἀποκαμεῖν εἴ τι δύναιτο πολιτικὸν παρὰ σοῦ δίδαγμα ἀναλαβὼν ἀπιέναι εἰς τὴν Σπάρτην.

Εἰσὶν ὁδοὶ δύο πλεῖστον ἀπ' ἀλλήλων ἀπέχουσαι
ἡ μὲν ἐλευθερίας εἰς τίμιον οἶκον ἄγουσα,
ἡ δ' ἐπὶ δουλείας φευκτὸν δόμον ἡμερίοισι·
καὶ τὴν μὲν διά τ' ἀνδροσύνης ἱερῆς θ' ὁμονοίας
ἔστι περᾶν, ἣν δὴ λαοῖς ἡγεῖσθε κέλευθον·
τὴν δὲ διὰ στυγερῆς ἔριδος καὶ ἀνάλκιδος ἄτης
εἰσαφικάνουσι...

τὴν δὲ πεφυλάχθαι. Μάλιστα ἀνδρείους εἶναι κελεύεις· τοῦτο μὲν καὶ παρὰ τῶν δειλῶν πολλάκις ἠκούσαμεν· ἀλλὰ καὶ δμόφρονας· τοῦτο οὐ παρὰ τῶν σοφῶν μόνων, ἀλλ' ἤδη καὶ παρ' αὐτῶν τῶν στασιαζόντων. Ὥστε τούτου μὲν τοῦ παρεγγυήματος ἀφίεμέν σε. Καίτοι

Lycurgum, inquit, quum ad te aliquando viæ quasi dux et explorator adiisset cava Lacedæmone, Jovi et reliquis majorum gentium diis carum venire dicebas, teque ambigere, deumne ipsum an hominem judicares : quin etiam addebas, te malle deum habere, quod æquas abs te leges petiturus venisset. Atqui si deus erat, juris civilis imperitus esse qui poterat, præsertim quum Jovi ac diis superis omnibus adeo carus esset? Sed quoniam excogitari fortasse sine deo non possunt, quæ ipsius deæ voce homini divinissimo declarata sunt, age divinam hanc ejus vocem quæque Lycurgum docueris attendamus :

Æquea tuis nos jura rogas; damus illa libenter.

Utinam vero, inquam, dederis : nemini enim antea donum ejusmodi ullum promisisti.

Dum vos (quod responsa jubent) promissa fidemque
nomine firmatam superûm, et communia juris
civibus externisque simul defendere vincla
cura premet, castisque gravem celebrare senectam
obsequiis; dum Tyndaridæ, Menelaus et omnis
heroum pia turba suo gaudebit honore :
providus illæsam servabit Juppiter urbem.

O doctrinam, Apollo, cohortationemque divinam! Non longum sane iter ista tua præcepta postulabant, nec propterea Delphos ex Peloponneso, imo ne ad Hyperboreos quidem ipsos confugiendum fuit, unde alterius cujusdam vatis Asteriæ jussu et oraculo advenisse quondam memorant

Fragrantis Dei cives sacrosque ministros.

Hic autem Lycurgus mihi videtur neque nutricem habuisse, neque in seniorum consessu unquam versatus esse : nam et ab istis et ab illa tum meliora hisce, tum majoris sapientiæ plena didicisset. Fortasse vero addes aliquid, opinor, si a te precatus fuerit Lycurgus, ut planius quidpiam dicas. Equidem, si aliis bene imperantibus alii obediant, hoc eidem adhuc consessori contingere affirmabo, ac tamen a Lycurgo petam, ne despondeat animum, si quam abs te reipublicæ constituendæ rationem accipere Spartamque secum ferre potuerit.

Semita se longo duplex discrimine findit,
altera honoratas fert libertatis ad ædes,
altera servitii tectum illætabile pandit :
illam vis animi et sacro concordia gressu
trajiciet, quam tu populis monstrare memento;
hanc lis dira aperit tristique ignavia vultu,

quam diligenter caveri jubes. Tu fortitudinem maxime popularibus commendas : eam rem persæpe nobis tradere ipsi etiam meticulosi solent. Concordiam addis : ea vero

μάντις ὤν, οὐκ ἔγνως ἡμᾶς πολλάκις καὶ παρὰ πολλῶν εἰληφότας αὐτό, οὔτε τῆς δάφνης ἐμφαγόντων, οὔτε τὸ Κασταλίας ὕδωρ πιόντων, οὐδ' ἐπὶ σοφίᾳ τὴν ὀφρὺν ποτε ἀνασπασάντων; Λέγ' οὖν περὶ ἀνδρείας, λέγε περὶ ἐλευθερίας, λέγε περὶ ὁμοφροσύνης, τίνα τρόπον ἐγγίνεται ταῦτα πόλει, καὶ μὴ ἡμᾶς τοὺς οὐκ εἰδότας κέλευε ἡγεῖσθαι τοῖς λαοῖς τῆς κελεύθου ταύτης, ἀλλ' αὐτὸς ἡγοῦ. Καλὴ μὲν γάρ, ἀλλ' ἄπορος ἡμῖν καὶ φοβερά. Τούτοις προστίθησι λέγων,

Σὺ δὲ καὶ περὶ γάμου ἕτοιμος λέγειν,

Ἄργεος ἱπποβότου πῶλον λάβε κυανοχαίτην.

Περὶ δὲ παίδων,

Ἠετίων, οὔτις σε τίει πολύτιτον ἐόντα [c]·
Λάβδα κύει, τέξει δ' ὁλοοίτροχον.

Περὶ δὲ ἀποικίας,

Στέλλ' ἐπὶ χρυσείους ἄνδρας πολυεθνέα λαόν,
ὤμοις μὲν χαλκὸν προφέρων, χερσὶν δὲ σίδηρον.

Περὶ δὲ κενῆς δόξης,

Γαίης μὲν πάσης τὸ Πελασγικὸν οὖδας ἄμεινον [f]·
ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες,
ἄνδρες θ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.

Καί μοι δοκεῖς οὐδὲν τῶν τερατοσκόπων καλουμένων κρειττων εἶναι, ἀλλ' οὐδὲ τῶν ἄλλων ἀγυρτῶν καὶ σοφιστῶν. Ἀλλὰ τῶν μὲν οὐδὲν ἔγωγε ἐθαύμασα, εἰ μισθοῦ τραχηλίζουσι· σοῦ δὲ τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων, εἰ μισθοῦ τραχηλίζονται. Εἶθ' ὁ μὲν Σωκράτης ἐκεῖνος οὐδέτερον ἀπεκρίνατο πρὸς τὸν ἐρωτήσαντα, πότερον γαμήσει ἢ μή, ἀλλ' ὅτι μετανοήσει ἀμφότερα· πρὸς δὲ τὸν ἐπιθυμοῦντα παίδων, οὐκ εὖ ἔφη αὐτὸν ποιήσειν, ὃς ἐάσας ἐπιχειρεῖν ὅπως, εἰ οἱ παῖδες γένοιντο, ἄριστα αὐτοῖς χρῷτο, τούτου μὲν οὐδένα λόγον ἐποιήσατο, αὐτὸ δὲ μόνον ἐσκοπεῖτο, πῶς ἂν αὐτῷ γένοιντο. Ἑτέρου δὲ ἀποδημεῖν ἐγνωκότος διὰ τὸ κακῶς ἔχειν αὐτὸν οἴκοι, οὐκ ἔφη ὀρθῶς αὐτὸν βουλεύεσθαι· τὴν μὲν γὰρ πατρίδα αὐτόθι ἀπολιπὼν ἄπεισι, τὴν δὲ ἀμαθίαν μεθ' ἑαυτοῦ ἄγων, ἥτις αὐτὸν καὶ τοῖς ἐκεῖ δυσαρεστεῖν ποιήσει καθάπερ καὶ τοῖς ἐνθάδε. Καὶ οὐχ ὁπότε ἠρωτᾶτο μόνον, ἀλλὰ καὶ αὐτόκλητος ἐπὶ τὰς τοιάσδε συνουσίας ἰών.

Εἴκοσι τὰς πρὸ κυνός, καὶ εἴκοσι τὰς μετέπειτα [g],
οἴκῳ ἐνὶ σκιερῷ Διονύσῳ χρῆσθαι ἰατρῷ.

Ἀθηναίοις ὑπὸ καύματος ἐνοχλουμένοις, ἰατρικόν, ἀλλ' οὐ μαντικόν.

Ἐργῖνε Κλυμένοιο πάϊ Πρεσβωνιάδαο [h],
ὄψ' ἦλθες γενεὴν διζήμενος· ἀλλὰ καὶ ἔμπης

---

non solum a sapientibus, sed etiam a seditiosis civibus inculcatur. Quare hoc quidem præceptum tibi condonamus. Quamquam vatem te prædicas, tamen ne id quidem intelligis, quam sæpe multi nobis istud ipsum ingesserint, qui tamen neque laurum comederant neque Castaliam aquam biberant, neque sapientiæ nomine supercilium unquam sustulerant? Dissere igitur de fortitudine, de libertate, de concordia, quemadmodum ista civitatibus præsidia comparentur, neve nos jube populis duces ejus esse viæ quam ignoramus, sed ipse præi. Nam recta illa quidem, sed invia nobis ac formidolosa est. Quibus deinceps hæc subjungit : Tu vero etiam de nuptiis præcipere paratus es,

Cæruleum pullum Argos equis tibi nobile mittat.

Item de liberis,

Eetion, te nemo (licet sis tantus) honorat,
conceptum pariet saxum grave Labda aliquando.

Tum de colonia,

Auratam ad gentem multos transmitte colonos,
æs humeris, manibus ferrum importare memento.

Rursus de vana gloria,

Nobilitate omnes terra anteit una Pelasgûm,
Thraces equi, clara mulier Lacedæmone nata,
virque bibens, Arethusa, tuo de gurgite lymphas.

Ac mihi quidem nihilo tu portentorum interpretibus aut reliquorum circulatorum ac sophistarum turba melior videris. Quamquam hoc hominum genus alios etiam pretio in fraudem impellere, minus equidem miror : at te qui deus es, hominesque cæteros pretio ab iis præcipites agi, id vero vehementer admiror. Cæterum eodem plane modo Socrates ille quærenti, utrum uxorem ducturus esset necne, neutram in partem respondit, sed tantum, utrumlibet feceris, inquit, te pœnitebit. Alterum liberorum cupidum recte ac prudenter facturum negavit, dum neglectis rationibus iis, quibus optime liberos, si quando susciperet, educare posset, eaque prorsus cogitatione missa, unum id spectaret, quemadmodum liberos susciperet. Alium qui quod male domi se haberet solum vertere statuerat sanum consilium cepisse negavit, quod cum suo loco patriam relinqueret, tum suam secum efferret stultitiam, quæ eam vim habitura esset, ut non magis aliis quam suis displiceret. Neque vero tantummodo ubi consuleretur, sed etiam ultro ac sponte hujusmodi congressus expetens egregia nobis fudit oracula.

Viginti ante dies, totidem postquam exstitit ardens
sirius, umbrosa medicus sit Bacchus in æde.

Sic enim Atheniensibus æstu vehementiore laborantibus cecinit, medicum utique, non vatem agens.

O Presboniadæ Clymeni sate sanguine princeps,
tardius, Ergine, huc sobolem petiturus adisti :

ἱστοβοῆϊ γέροντι νέαν ποτίβαλλε κορώνην.

Γέροντι νέαν συνοικεῖν, εἰ παίδων ἐπιθυμεῖ, οὐ μάντεως οὐδὲ τοῦτο, ἀλλὰ φύσιν ἐπισταμένου. Ἀλλ' ἡ ἐπιθυμία τοὺς βλάκας ἐξίστησι. Διόπερ σοι καὶ νάρθηκα παραινῶ ἐπ' αὐτοὺς λαμβάνειν, εἰ μὴ πείθοις μανθάνειν ἀντὶ τῶν καταπτύστων ἐρωτημάτων ἄξιόν τι τοῦ θείου φοιτητηρίου· ἢ Ἀντιόχῳ τῷ Παρίῳ ἀποβαλόντι τὴν οὐσίαν ἐν πολιτικῇ φλυαρίᾳ, καὶ ὑπὸ λύπης ἥκοντι πρὸς σὲ λέγειν,

Ἀντίοχ', εἰς Θάσον ἐλθέ, καὶ οἴκει εὐκλέα νῆσον·

ὃς ἐκείνως ἂν μᾶλλον ὤνατο, ἀκούσας,

Ἀντίοχ', εἰς νοῦν ἐλθέ, καὶ ἐν πενίᾳ μὴ ὀδύρου.

ἢ τοῖς ἥκουσι Κρητῶν·

Φαιστοῦ καὶ Τάρρας ναέται, Δίου τε πολύρρου,
Πυθῶον κέλομαι τελέειν Φοίβοιο καθαρμὸν
εὐαγέοντας, ὅπως Κρήτην καταναιετάητε,
ὄλβον μὴ πατρίοισι νόμοις, καὶ Ζῆνα σέβοντες·

οἷς ἀκοῦσαι ἐκεῖνο κρεῖττον ἦν,.

Λήρου καὶ μανίας ναέται, πολλοῦ θ' ἅμα τύφου,
οἰκεῖον τελέειν κέλομαι λήριοιο καθαρμὸν
εὐαγέοντες, ὅπως σοφίαν καταναιετάητε,
ὄλβον μὴ πατρίοισι νόμοις, θείοις δὲ σέβοντες·

ὡς μὴ μᾶλλον τῆς Κρήτης σὺ καθαρμοῦ προσδέῃ, Ὀρφικούς τινας ἢ Ἐπιμενίδε ους καθαρμοὺς φανταζόμενος.

Διὰ τί δέ, ὦ σοφώτατε, Χαρίλαος καὶ Ἀρχέλαος οἱ Λακεδαιμονίων βασιλεῖς,

Εἴ κεν ἐπικτήτου μοίρης λάχος Ἀπόλλωνι
ἥμισυ δάσσωνται, πολὺ λώϊον ἔσσεται αὐτοῖς;

Ποίῳ δὲ καὶ ἄλλῳ λέγεις Ἀπόλλωνι; Οὐ γὰρ δὴ αὐτῷ σοι, ὦ ἀναίσχυντε μάντι, ὡς μή τίς σοι αὐτῷ ἐπιπλήξειεν, ἅτε κακῶς οὕτω συνδιαιρουμένῳ τοῖς λησταῖς. Ταῦτα μὲν οὖν ὧδε ἐχέτω.

(Eusebius Præpar. Evang. lib. V cap. 27. 28, 29. 30. 31. 32, pag. 222 B seqq. ed. Viger. [vol. I pag. 471 seqq. ed. Gaisford.] Scripsi : [a] Λυκόοργε, ut apud Herodot. I, 65 pro vulg. Λυκόεργε. — [b] ἔλπεσθαι cum Vigero; codd. ἔλπομαι. — [c] ὑποσχέσιάς τε cum eodem; libri ὑποσχέσεις τε. — [d] συνθώκου τοῦτο cum Valckenar. ad Herodot. VI, 63; libri σὺν θώκου τοῦτο. — [e] cf. Herodot. V, 92, 2. — [f] cf. Theodoret. Græc. affect. lib. X et Tzetzes Chil. lib. IX, hist. 291. — [g] cf. Athenæus lib. I, p. 22 E. — [h] cf. Pausan. lib. IX, cap. 17, 2.)

11. Φέρε δέ, τούτοις προσθῶμεν καὶ δι' ὧν αὖθις ὁ Ἀπόλλων θαυμάζει τὸν Ἀρχίλοχον, ἄνδρα παντοίαις κατὰ γυναικῶν αἰσχρορρημοσύναις καὶ ἀῤῥητολογίαις, ἃς οὐδ' ἀκοῦσαί τις σώφρων ἀνὴρ ὑπομείνειεν, ἐν τοῖς οἰκείοις ποιήμασι κεχρημένον· καὶ τὸν Εὐριπίδην τῆς

---

sed veteri temone novam conjunge coronam.

At si quis dicat prolis cupido seni juniorem uxorem esse ducendam, id ne vatis quidem est, sed cujusvis naturæ vim non ignorantis. Verum cupiditas stolidos homines transversos agit. Quare suadeo tibi, ut fernla etiam cædas vecordes istos, nisi se, putidis hisce quæstionibus abjectis, ad rogandum aliquid divina schola dignum adduci patiantur; aut ut Antiocho Pario, qui civiles in nugas facultates impendisset ac dilapidasset, te vehementi cum ægritudine adeunti respondeas,

I Thason Antioche, hæc tibi sit clara insula sedes;

qui majori sane cum fructu ex te audiisset,

Antioche ad mentem redeas, nec te improba frangat pauperies.

Aut Cretensium legatis :

Qui Phæstum ac Tarrham incolitis Diumque marinis
fluctibus obsessum, Pythoa piacula Phœbi
sunt ritu servanda suo, sancteque cavendum,
ne Creta in patria, patriis Ditique Jovique
legibus antiquos deinceps reddatis honores;

quibus magis expediebat tale oraculum edi :

Quos nummi cæcusque furor fastusque superbus
occupat, insanæ curare piacula mentis
vos jubeo, ut sanctos melior sapientia cives
accipiat, nec jam patriæ qua moribus itur,
legibus at sacris opibus studeatis et auro.

Ac vide sis, ne tu potius quam Creta lustratione indigeas, qui Orphicas nescio quas aut Epimenideas lustrationes imaginaris. Cur autem, sapientissime deus, Charilaum et Archelaum Lacedæmoniorum reges,

si partem in quæstus ab utroque vocetur Apollo
dimidiam, longe sors lætior inde sequetur?

Quem tu porro alium Apollinem dicis? Nec enim istud profecto provisum a te est, vates impudentissime, ne quis tibi nefariam cum latronibus prædæ societatem exprobraret. Sed hæc hactenus.

11. Addamus vero ea, quibus rursus Apollo Archilochi nomen celebrat, hominis ejusmodi, qui opera sua omni adversus mulieres verborum obscœnitate ac turpitudine impleverit, quam ne audire quidem homo pudicus sustineat, nec non Euripidis, qui cum a Socratis institutis ac philosophia descivit, tum in scena passim hodieque tragœdorum ore jactatur. Homeri præterea, quem nobilis ille Plato ex republica expellit, non modo quod ad nullam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μὲν Σωκράτους διατριβῆς καὶ φιλοσοφίας ἐκπεσόντα, εἰσέτι δὲ καὶ νῦν ἐπὶ τῆς θυμέλης τραγῳδούμενον· καὶ Ὅμηρον ἐπὶ τούτοις, ὃν ὁ γενναῖος Πλάτων ἐξωθεῖ τῆς ἑαυτοῦ πολιτείας, ὡς κατ' οὐδὲν ὠφέλιμον, ἀλλὰ καὶ τὰ ἔσχατα τοὺς νέους λυμαινομένων λόγων ποιητὴν γεγενημένον. Ἐφ' οἷς πάλιν ὁ προδηλωθεὶς τὸν χρησμῳδὸν θεὸν ὧδέ πως σκώπτει·

Ἀθάνατός σοι παῖς καὶ ἀοίδιμος, ὦ Τελεσίκλεις [a],
ἔσσετ' ἐν ἀνθρώποις.

Ὁ δὲ παῖς ἦν Ἀρχίλοχος.

Ἔσται σοι κοῦρος Μνησαρχίδη, ὄντινα πάντες
ἄνθρωποι τίσουσι, καὶ ἐς κλέος ἐσθλὸν ὀρούσει,
καὶ στεφέων ἱερῶν [b] γλυκερὴν χάριν ἀμφιβαλεῖται.

Ὁ δὲ κοῦρος ἦν Εὐριπίδης. Ὅμηρος δέ,

Σοὶ ζωὴ δοιὰς μοίρας λάχεν, ἡ μὲν ἀμαυρῶν
ἠελίων δισσῶν [c], ἡ δ' ἀθανάτοις ἰσόμοιρος [d],
ζῶν καὶ ἀποφθίμενος.

Καὶ διὰ ταῦτα ἤκουεν,

Ὄλβιε καὶ δύσδαιμον [e], ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι.

Λέγει δὲ οὐκ ἄνθρωπος, ἀλλά τις διατεινάμενός ποτε, ὅτι αὐτὸν οὐ χρὴ

Ἀνθρώπων θεὸν ὄντα δυηπαθέων ἀλεγίζειν.

Ἄγε οὖν, ὦ θεέ, μὴ περίδῃς μηδ' ἡμᾶς. Ἐπιθυμοῦμεν γάρ, εἰ μή τι ἀδικοῦμεν, οἱ μὲν κλέους ἐσθλοῦ, οἱ δὲ στεφάνων ἱερῶν, οἱ δὲ πρὸς θεοὺς ἰσομοιρίας, οἱ δὲ αὐτῆς ἀθανασίας. - Τί ποτ' οὖν ἦν τοῦτο, δι' ὅ σοι Ἀρχίλοχος ἔδοξεν ἄξιος εἶναι τοῦ οὐρανοῦ; Μὴ φθονήσῃς, ὦ φιλανθρωπότατε θεῶν, μηδ' ἄλλοις ἀνθρώποις τῆς ἄνω ὁδοῦ. Τί πράττειν κελεύεις ἡμᾶς; Ἢ δηλαδὴ τὰ Ἀρχιλόχου, εἰ μέλλοιμεν ἄξιοι φανεῖσθαι τῆς ὑμετέρας ἑστίας; Λοιδορῆσαι μὲν πικρῶς τὰς οὐκ ἐθελούσας ἡμῖν γαμεῖσθαι, ἅψασθαι δὲ καὶ τῶν κιναίδων, ἐπειδὴ τῶν ἄλλων πονηρῶν πολὺ πονηρότεροί εἰσι· οὐχὶ δίχα μέτρου, αὕτη γὰρ διάλεκτος καὶ θεῶν, ὥσπερ οὖν καὶ θείων ἀνδρῶν, ὥσπερ Ἀρχιλόχου. Καὶ οὐδὲν ἴσως θαυμαστόν. Διὰ γὰρ τὴν ἐν τούτοις ὑπεροχήν, εὖ μὲν οἶκος οἰκεῖται, εὖ δὲ ἰδιώτης βίος, πόλεις δὲ δημοφρόνως, καὶ ἔθνη εὐνόμως συνεστᾶσιν. Οὐκ ἀπεικότως ἄρα σοι καὶ Μουσῶν θεράπων [f] ἔδοξεν εἶναι, καὶ ὁ φονεὺς αὐτοῦ οὐκ ἄξιος εἶναι τῆς πρὸς ὑμᾶς τοὺς θεοὺς εἰσόδου, οὐδὲ τῆς παρ' ὑμῶν φωνῆς, ἄνδρα φωνάεντα ἀποκτείνας. Οὔκουν ἄδικος ἡ πρὸς τὸν Ἀρχίαν [g] ἀπειλή, οὐδ' ἄκαιρος ἡ Πυθία τιμωροῦσα Ἀρχιλόχῳ τῷ πάλαι νεκρῷ, καὶ κελεύουσα [h] ἐξιέναι τοῦ ναοῦ τὸν ἐναγῆ· Μουσάων γὰρ ἀπέκτεινε θεράποντα. Οὔκουν ἔμοιγ' ἐφάνης, ἐπαμύνων τῷ ποιητῇ, ἀπρεπὴς εἶναι· ἐμεμνήμην γὰρ καὶ τοῦ ἑτέρου ποιητοῦ, καὶ τῶν ἱερῶν τοῦ Εὐριπίδου στεφάνων· καίτοι ἀπορῶν, καὶ ἀκοῦσαι ἐπιθυμῶν, οὐχ ὅτι ἐστεφανοῦντο, ἀλλὰ πῶς ἦν τὰ στέφη ταῦτα ἱερά· οὐδ' ὅτι αὐτὸς εἰς κλέος ὄρουσεν [i], ἀλλὰ πῶς ἐσθλὸν ἦν τοῦτο. Ἐκροταλίζετο μὲν γὰρ ἐν τοῖς ὄχλοις, οἶδα· καὶ τυράννοις ἤρεσκε, καὶ τοῦτο οἶδα· καὶ ἔργον ἐπετήδευεν,

---

rem utilis foret, sed etiam quod ea composuisset carmina, quæ pernicies et pestis adolescentium viderentur. Itaque fatidicum illum deum Œnomaus hac rursus ratione traducit:

Immortalis erit tibi filius, o Telesicles,
æternumque cani dignus.

Filius iste Archilochus erat.

Te, Mnesarche manet summo decorandus honore,
filius, ac meritæ summa ad fastigia laudis
conscendens lætas sacro ex certamine palmas
auferet.

Ille autem filius Euripides erat. Homerus vero is, quem sic alloquitur:

Est tibi sors vitæ duplex: geminum altera solem
obscurum dabit, immortalibus altera jungit.
Vivens exstinctusque simul.

Atque hanc ob causam ex eodem audivit:

Felix infelixque simul, qui natus utrisque es.

Cæterum non jam homo, sed alius quispiam constanter asseverat, ipsum qui deus sit miseros homines negligere debere.

Cave igitur, deus, ne vel nos contemnas. Expetimus enim, modo ne quid peccemus, alii summam gloriam, alii coronas sacras, alii deorum conversationem, alii denique ipsam immortalitatem. Quid igitur tandem illud erat, quamobrem Archilochum cœlo dignum putares? Noli, deorum humanissime, ne cæteris quidem hominibus hoc in cœlum iter invidere. Quid nos facere jubes? An quidem dubium est, quin nos Archilochi vestigiis insistere velis, si tuis digni penatibus videri cupiamus. Acerbis nempe probris vexandæ nobis mulieres, quæ conjugium nostrum repudiarint: mordendi quoque pueri meritorii, quum longe improbos omnes flagitiis superent. Verum id utique carminibus faciendum erit, quod ea sit tum deorum tum divinorum hominum, qualis Archilochus fuit, dictio propria et peculiaris. Neque id fortasse mirum. Nam et familiarum salus et privatæ vitæ incolumitas et rerum publicarum concordia et bonis legibus constituta populorum integritas hujus potissimum artis excellentia continetur. Itaque nec illum sine causa pro Musarum cultore habuisti, et ejus interfectorem vestro, hoc est divino, congressu

ῷ οὐχ ὅπως αὐτὸς ἐθαυμάζετο ὁ ἐραστής, ἀλλ' ἡ καὶ ἡ τῶν Ἀθηναίων πόλις, ὅτι μόνη τραγῳδοὺς ἤνεγκεν. Εἰ μὲν οὖν ὁ κρότος ἱκανὸς κριτὴς καὶ ἡ ἐν ἀκροπόλει τράπεζα, οὐδὲν ἔτι λέγω, βλέπων ἐν ἀκροπόλει δειπνοῦντα τὸν Εὐριπίδην, καὶ τὸν Ἀθηναίων δῆμα καὶ τὸν Μακεδόνων ὅλον ἐπιψοφοῦντα· εἰ δὲ καὶ παρὰ τούτων ἐστί τις καὶ θεῶν ψῆφος, καὶ αὕτη πιστή, καὶ οὐχ ἧττων τῆς τῶν τυράννων, οὐδὲ τῆς τῶν ὄχλων, ἄγε, φράσον ἡμῖν, ἐπὶ τίνι τῶν καλῶν ἠνέγκατε μεῖς οἱ θεοὶ τὴν ὑπὲρ τοῦ Εὐριπίδου ψῆφον, ἵνα σπεύσωμεν καὶ διώξωμεν τὸν οὐρανὸν κατὰ πόδας τῶν μετέρων ἐπαίνων. Οὐ γὰρ δὴ οὐκ εἰσι καὶ νῦν ἕτοιμοι κωμῳδεῖσθαι καὶ Σαβαῖοι καὶ Λυκάμβαι, πρὸς γέ τὸ τραγῳδεῖσθαι οὐκ ἂν οὐδὲ νῦν ἐνσταίη οὔτε ὁ Θυέστης, οὔτε ὁ Οἰδίπους, οὔτε ὁ Φινεὺς ἐκεῖνος· οὐδ' ἄν, οἶμαι, φθονήσαιεν οὐδενὶ ἐπιθυμοῦντι φιλίας τῆς τῶν θεῶν· ἀλλὰ καὶ αὐτοὶ ἄν μοι δοκοῦσιν ἐκεῖνοι, εἰ ᾔσθοντο ὅτι ἔσοιτό τις Εὐριπίδης, ἀνὴρ ἐπὶ τῷ διασκευάσαι αὐτοὺς γενόμενος θεοφιλής, ἀμελῆσαι ἂν τῶν κακῶν ἐκείνων, καὶ οὐκ ἐπὶ τὸ κρεῖττονα [k] φρονεῖν, ἀλλ' ἐπὶ τὸ μετροποιεῖν τραπέσθαι· καὶ τῶν ἔμπροσθεν ἀνθρώπων εἰ τὰ ὀνόματα ὄγκου πλήρη ἤκουον, χρῆσθαι τούτοις εἰς τὴν πρὸς τὸν οὐρανὸν ὁδοιπορίαν, ἵν' ἐλθόντες καθέζοιντο ἐν τῷ Ὀλύμπῳ μετὰ τῶν ποιητῶν [l], ἐν τῇ τοῦ Διὸς αὐλῇ. Ταῦτα γὰρ λέγει ὁ ἐν Δελφοῖς ποιητής. Φέρε καὶ τὴν Ὁμήρου τοῦ ὀλβίου ἴδωμεν ἐρώτησιν, ἣν τὸν θεὸν ἐρωτᾷ· ἦ που γάρ τις οὐρανία ἦν, καὶ ἱκανὴ τὸν θεὸν ἐκκαλέσασθαι· οὐ γὰρ ἂν οὕτω ῥᾳδίως ὁ θεὸς ὄλβιον μὲν ἐπεφώνησεν, ἐπὶ δὲ τῷ ὀλβίῳ ῥῆσιν ἀπένειμε·

Πατρίδα δίζηαι· μητρὶς δέ τοι, οὐ πατρίς ἐστι [m].
Μίνωος δ' ἀπὸ γῆς, οὔτε σχεδόν, οὔτ' ἀπὸ τηλοῦ,
ἐν τῇ σοι μοῖρ' ἐστὶ τελευτῆσαι βιότοιο,
εὖτ' ἂν ἀπὸ γλώσσης παίδων (μὴ) γνῷς (ἐπακούσας)
ἀξύνετον πολλοῖσι λόγοις εἰρημένον (ὕμνον).

Δεινὸν γάρ, ὦ σοφώτατε ἀνδρῶν, μᾶλλον δὲ θεῶν, εἰ μήτε ὅπου τῆς γῆς ἐξέθορε τῆς μητρὸς εἰδείη ὄλβιος, μήτε ὅπου καταμύσας κείσεται. Ἐγὼ δὲ καὶ ᾠμην ἴσον εἶναι, Ὅμηρόν τε ὄντα περὶ τούτων προσιέναι τῷ θεῷ, καὶ ἕνα τῶν κανθάρων, καὶ τὸν θεὸν μὴ μᾶλλον ἂν Ὁμήρῳ ἀφηγήσασθαι περὶ τοιούτων ἀγνωμάτων ἢ κανθάρῳ. Οἷον εἰ καὶ κάνθαρός τις γεννηθεὶς οὐκ ἐνεβίωσεν οὐδ' ἐνεγήρασεν ἐν ἐκείνῃ τῇ κοπρίᾳ, ἀλλ' ἐχθρῷ ἀνέμῳ περιέτυχε, καὶ κανθαρίῳ δαίμονι σκληρῷ, ὃς αὐτὸν μετέωρον ἄρας βίᾳ ἀπήνεγκεν ἐπί τινα ἄλλην

---

t voce prorsus indignum putasti, qui virum usque adeo vocalem interfecerat. Ergo nec injustæ fuerunt, quibus Archiam insequebatur, minæ, nec importuna Pythia, quæ ut Archilochum jam pridem mortuum ulcisceretur, et templo excedere nefarium hominem juberet; siquidem Musarum cultorem occiderat. Ergo neque mihi absurde facere visus es, dum te poetæ vindicem præstitisti. Nam et alterius poetæ et sacrarum Euripidis coronarum mihi in mentem venit, licet dubitanti et audire cupienti, non eum coronatum esse, sed cur sacræ ejus coronæ dicantur: neque acquisitam ab eo gloriam esse, sed cur illa gloria summa appelletur. Nimirum homini turba plaudebat, quam rem compertam habeo; tyrannis idem placebat, quod minime ignoro, atque etiam artem factitabat, quæ ejusmodi erat, ut non modo amator ejus, verum Athenæ quoque ipsæ in magna essent admiratione, utpote quæ solæ tragœdos tulissent. Si igitur vel iste plausus vel exstructa in arce mensa idonei sunt in hoc genere arbitri, nihil dico amplius; scio enim tum in arce cœnasse Euripidem, tum simul Atheniensium et Macedonum plausu exceptum esse. Sin autem aliquod præterea deorum suffragium accesserit, quod fide dignum nec tyrannorum saltem aut multitudinis opinione levius esse debeat, agedum expone nobis, qua virtute Euripides honorificentissima deorum de se judicia consecutus sit, ut magnis in cœlum passibus per impressa vestris quasi laudibus vestigia contendamus. Nam neque ullos amplius hoc tempore vel Sabæos vel Lycambas habemus, comœdiæ salibus dicteriisque pungendos, neque ad tragœdiæ gravitatem nobis aut Thyestes occurrit, aut Œdipus, aut ille Phineus. Quin etiam ne illi quidem, opinor, mortalium ulli deorum amicitiam expetenti invidissent: imo si quendam olim Euripidem futurum suspicari licuisset, qui exornatis rebus divinis deorum benevolentiam sibi conciliaret, suis ipsi sceleribus abstinuissent, nec ad saniora sese consilia, sed ad scribendos versus contulissent. Ita si quæ forte hominum superioris ævi nomina superbiæ fastusque plena audiissent, iis quoque celebrandis viam sibi in cœlum munire voluissent, ut eo demum delati cum poetis in Olympo atque in ipsa Jovis aula considerent. Namque hæc Delphicus vates aliquando cecinit. Jam qua de re etiam Homerus ille beatus deum consulat, videamus. Cœlestis profecto res fuit atque ad evocandum numen idonea: alioqui nunquam deus eum tam facile beatum prædicasset, eique tanquam beato hoc responsum reddidisset,

De patria quæris: matris tibi, non patris exstat:
non prope, non itidem procul a Minoide terra,
in qua fata volunt te vitæ attingere finem,
quando quod pueri perplexo carmine dictum
extulerint lingua, tu conjectare nequibis.

Indignum scilicet videbatur, o virorum, imo deorum sapientissime, ubi terrarum beatus iste materna ex alvo exsiluisset, aut ubi demum futurum esset, ut clausis morte oculis jaceret, ignorare. Mihi vero, quemadmodum Homerus ea de re oraculum consulens, scarabeo persimilis, sic deus Homero non aliter in harum rerum ignoratione, quam scarabeo cuidam respondere visus est. Perinde nimirum, ac si scarabeus nequaquam eodem in

γῆν, καὶ ἄλλην κοπρίαν, κἄπειτα ἐλθὼν εἰς Δελφοὺς ἀνηρώτα, ἥτις ἄρα ποτὲ αὐτῷ ἦν ἡ πατρῴα κοπρία, καὶ ἥτις αὐτὸν γῆ δέξεται ἀποθανόντα. Ταῦτα μὲν οὖν περὶ τῶν ποιητῶν.

(Eusebius Præp. Evang. lib. V cap. 32-33, pag. 227 D seqq. ed. Viger. [vol. I pag. 480 seqq. ed. Gaisford.] Pauca hic notanda: [a] cf. Theodoret. Græc. affect. lib. X, pag. 141, 20 et Valerius Maximus VI, 3. Suidas: Ἀρχίλοχον ποιητὴν γενναῖον τἆλλα, εἴ τις αὐτοῦ τὸ αἰσχροεπὲς καὶ τὸ κακόῤῥημον ἀφέλοι κτλ. — [b] στεφέων ἱερῶν] Suidas: νίκας δὲ εἵλετο πέντε, τὰς μὲν τέσσαρας περιών, τὴν δὲ μίαν μετὰ τελευτήν, ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ. — [c] ἀμαυρῶν ἠελίων δισσῶν] intellige oculorum lumina; nam utroque oculo captus fuisse fertur Homerus. — [d] Vid. Plutarch. de vit. Hom. I c. 4. — [e] Theodoretus l. c.: τὸ μὲν διὰ τὴν ἐπιγενομένην τυφλότητα, τὸ δὲ διὰ τὴν ποίησιν. — [f] Μουσῶν θεράπων] Suidas v. Ἀρχίλοχος. — [g] Archilochi interfectorem Suidas et alii non Archiam, ut Oenomaus, sed Callondam vocant, cognomine Coracem. Plutarchus de sera numinis vindicta c. 17, p. 560 E: ὁ γὰρ ἀποκτείνας ἐν τῇ μάχῃ Ἀρχίλοχον ἐκαλεῖτο Καλλώνδης, ὡς ἔοικεν· ἦν δ' αὐτῷ Κόραξ ἐπωνύμιον. Ἐκβληθεὶς δὲ τὸ πρῶτον ὑπὸ τῆς Πυθίας, ὡς ἱερὸν ἄνδρα τῶν Μουσῶν ἀνῃρηκώς, εἶτα χρησάμενος λιταῖς τισι καὶ προστροπαῖς μετὰ δικαιολογίας, ἐκελεύσθη πορευθεὶς ἐπὶ τὴν τοῦ Τέττιγος οἴκησιν ἱλάσασθαι τὴν τοῦ Ἀρχιλόχου ψυχήν. — [h] Versus erat: Μουσάων θεράποντα κατέκτανες, ἔξιθι νηοῦ. — [i] Scripsi αὐτὸς εἰς κλέος ὄρουσεν cum Vigero; codd. αὐτοῦ κλέος ὄρουσεν. — [k] τὸ κρείττονα φρονεῖν cum eodem; libri τὰ κρείττονα φρονεῖν. — [l] ποιητῶν cum eodem; codd. πυκτῶν. — [m] Pausanias lib. X cap. 24: θεάσαιο δ' ἂν καὶ εἰκόνα Ὁμήρου χαλκῆν ἐπὶ στήλῃ, καὶ ἐπιλέξει τὸ μάντευμα ὃ γενέσθαι τῷ Ὁμήρῳ λέγουσιν· Ὄλβιε καὶ δύσδαιμον, ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι, πατρίδα δίζηαι, μητρὶς δέ τοι, οὐ πατρίς ἐστιν. Ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα δέξεται, ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι. Vide et Plutarch. vit. Homer. c. 4, vol. XIV p. 477 ed. Hutten.)

12. Ἐπεὶ δὲ οὐ μόνους ποιητὰς ἤδη δὲ καὶ πύκτας καὶ ἀθλητὰς ὁ θαυμάσιος θεὸς διὰ τῶν οἰκείων χρησμῶν ἐξεθέωσεν, εἰκότως μοι δοκεῖ καὶ ταῦτα ἀπελέγχειν ὁ δεδηλωμένος τούτοις τοῖς ῥήμασιν·

Ὦ εἰδὼς ψάμμου τ' ἀριθμόν, καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ ξυνιείς, καὶ μὴ λαλέοντος ἀκούων.

Εἴθε ὤφελες τὰ μὲν τοιαῦτα πάντα ἀγνοεῖν, ἐκεῖνο δὲ εἰδέναι, ὅτι ἡ πυκτικὴ τῆς λακτιστικῆς οὐδὲν διαφέρει, ἵν' ἢ καὶ τοὺς ὄνους ἀπηθανάτους, ἢ μηδὲ Κλεομήδην πύκτην [a] Ἀστυπαλαιέα, λέγων οὕτως·

Ὕστατος Ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς,
ὃν θυσίαις τιμᾶθ' ὡς οὐκ ἔτι θνητὸν ἐόντα.

Διὰ τί γάρ, ὦ πάτριε τῶν Ἑλλήνων ἐξηγητά, ὥς σε καλεῖ Πλάτων [b], ἐθέωσας τὸν ἄνδρα τοῦτον; Ἢ ὅτι Ὀλυμπίασι πληγῇ μιᾷ πατάξας τὸν ἀνταγωνιστὴν ἀνέῳξε τὴν πλευρὰν αὐτοῦ, καὶ ἐμβαλὼν τὴν χεῖρα ἐλάβετο τοῦ πνεύμονος; Ἄπολλον, ἀξιοθέου ἔργου· ἢ οὐ μόνον, ἀλλὰ καὶ ὅτι προστιμηθεὶς τεσσάρων ταλάντων ζημίαν ἐπὶ τούτῳ οὐχ ὑπέστη, ἀλλ' ὑπ' ἀχθηδόνος καὶ βαρυθυμίας ἐνήρεισε τὸν θυμὸν τοῖς ἐν τῷ διδασκαλείῳ παισί, τὸν κίονα ὑφελκύσας, ὃς ἀνεῖχε τὴν στέγην; Ἆρ', ὦ θεοποιέ, διὰ ταῦθ' ὑμῖν ὁ Κλεομήδης τιμητέος ἐστίν; Ἢ κἀκεῖνο προσθήσεις, τὸ ἕτερον δεῖγμα τῆς ἐκείνου ἀνδρείας ἅμα καὶ θεοφιλίας, ὅτι δὴ ἐμβὰς εἰς ἱερὸν κιβώτιον, καὶ τὸ πῶμα ἐπαγόμενος, ἄληπτος ἐγένετο τοῖς διώκουσι, πειρωμένοις αὐτὸν ἐξελκύσαι; Ὦ Κλεόμηδες, ἆρα ἥρως οὐκ ἔτι θνητός; οἷα τὰ μηχανήματα ὑπὲρ ἀθανασίας ἐξεῦρες. Ἤσθοντο γοῦν εὐθέως οἱ θεοὶ τῆς ἀγαθουργίας, καὶ ἀνηρείψαντό σε· ὥσπερ οἱ τοῦ Ὁμήρου τὸν Γανυμήδην· ἀλλὰ τὸν μὲν ἐπὶ τῷ κάλλει, σὲ δὲ ἐπὶ τῇ ἰσχύϊ, καὶ τῆς ἰσχύος τῇ χρήσει τῇ ἀγαθῇ. Εἴθε οὖν, ὦ μάντι, ὡς ἔφην, ἐάσας τὴν ψάμμον καὶ τὴν ἅλμην, ἀντ' αὐτῶν ἐξέμαθες, ὁπόσου ἄξιόν ἐστιν ἡ πυκτική, ἵνα καὶ τοὺς πύκτας ὄνους θεοὺς ἐνόμιζες, καὶ τοὺς ὀνάγρους τῶν θεῶν τοὺς ἀρίστους· καὶ ἦν ἄν τι οἰκεῖον λόγιον ἐπ' ἀποθανόντι ὀνάγρῳ μᾶλλον, ἢ ἐπὶ τῷ σῷ πύκτῃ,

Ἔξοχος ἀθανάτων ὄνος ἄγριος, οὐ Κλεομήδης,

---

stercore, unde natus primum esset, aut viveret aut consenesceret, sed infesti venti aut dæmonis alicujus scarabeis perniciosi impetu, allam in regionem atque aliud in stercus sublimis raperetur: isque postea ex Delphico oraculo quæreret, quodnam patrium sibi stercus fuisset et quæ terra mortuum exceptura esset. Hæc igitur de poetis dicta sufficiant.

12. Quoniam vero non poetas solum, sed pugiles etiam atque athletas in deorum numero suis oraculis mirabilis ille deus reposuit, jure mihi videtur hæc quoque ejus verba Oenomaus hunc in modum redarguere:

Qui pelagi fines numerumque jacentis arenæ
et muti sensus cognosti, audisque silentem.

Utinam vero istiusmodi omnia ignorares, hoc unum scires, nihil inter pugilatum et calcitratum interesse, ut vel asinos etiam redderes immortales, vel ne Cleomedem quidem, pugilem Astypalæensem, de quo sic cecinisti:

Ultimus heroum Cleomedes Astypalensis,
divinum a vobis ferat immortalis honorem.

Cur enim, o indigena Græcarum religionum interpres (sic

ὸν θυσίαις τιμᾶθ' ὡς οὐκ ἔτι θνητὸν ἐόντα.

ἦ γὰρ δὴ θαυμάσῃς, εἰ καὶ ὄναγρος ἐπιδικάσεται
ανασίας, ἱκανῶς τὰ θεῖα παρεσκευασμένος· καὶ
ρύσας μὴ ἀνασχέσθαι ἀλλ' ἀπειλῆσαι καὶ αὐτὸν τὸν
λεομήδην παταξας εἰς τὸ βάραθρον ἐμβαλεῖν, καὶ
κ ἐπιτρέψειν αὐτῷ εἰς τὸν οὐρανὸν ἀναβῆναι. Εἶναι
ρ αὐτοῦ ἀξιώτερος αὐτῶν τῶν θείων δώρων, ἅτε
ήτε αὐτῷ μόνῳ ἕτοιμος ὢν μάχεσθαι, κἂν εἰ σιδηροῖς
ῷτο τοῖς ἱμᾶσιν, ἀλλὰ καὶ τῷ Θασίῳ πύκτῃ ἅμα
φοτέροις, ὑπὲρ οὗ τοῦ ἀνδριάντος ἐχαλέπηναν οἱ
οί, καὶ τὴν Θασίων γῆν ἄφορον εἰργάσαντο. Πι-
εύομεν δὲ καὶ περὶ τούτου οὐκ ἀνθρώπῳ, ἀλλὰ θεῷ
ὐ αὐτῷ. Ἐξ ὧν ἐγὼ καὶ πάνυ κατενόησα, ὅτι θεῖόν
ἄρα ἦν ἐπιτήδευμα ἡ πυκτική, τοὺς δὲ πολλοὺς καὶ
ρμένους εἶναι σοφοὺς ἐλελήθει· ἵν' ἀφέμενοι τοῦ καλοῦ
γαθοῦ εἶναι ἤσκουν τὰ τοῦ Θασίου πύκτου· ᾧ ἀθα-
σίαν μέν, ὥσπερ Κλεομήδει, οὐκ ἔδωκαν, ἐφίλησαν
μεγάλως οἱ θεοί. Οὕτω καὶ ὁ χάλκεος αὐτοῦ ἀν-
ιὰς ἔδειξέ τι ὑπὲρ τὰς τῶν ἄλλων ἀνθρώπων εἰκόνας,
ικατενεχθεὶς τῷ μαστιγοῦντι ἐχθρῷ, κατά τινα, ὡς
ικε, δαιμονίαν μέριμναν. Ἀλλ' οἱ ἄφρονες Θάσιοι,
ὶ θείων ἄπειροι πραγμάτων, ἠγανάκτησάν τε καὶ
γος ἐπεκάλεσαν τῷ ἀνδριάντι, καὶ δίκην εἰσεπρά-
ντο, καὶ καταδῦσαι ἐτόλμησαν εἰς τὴν θάλασσαν.

Οὐ μὴν διέφυγόν γε οἱ Θάσιοι, ἀλλ' οἱ θεοὶ ἔδειξαν
ἥλικον κακὸν ὑπ' αὐτῶν ἐτολμήθη, λιμὸν ἐπιπέμψαντες
τὸν τῆς θείας δίκης διάκονον, ὃς ἐδίδαξε μόλις αὐτοὺς
τὰ τῶν θεῶν βουλεύματα, ὅ τε φιλανθρωπότατος θεῶν
σὺ τῷ οἰκείῳ τρόπῳ τὴν βοήθειαν αὐτοῖς ἔπεμψας,
λέγων,

Εἰς πάτρην φυγάδας κατάγων Δήμητραν ἀμήσεις.

Ἀλλ' οἱ ἀβέλτεροι πάλιν τοὺς φεύγοντας ἀνθρώπους
ᾤοντο ὅτι δεῖ αὐτοὺς κατακαλεῖν· κακῶς εἰδότες. Τί
γὰρ δὴ καὶ μέλει τοῖς ἀφιλανθρωποτάτοις θεοῖς ἀνθρώ-
πων κατακαλουμένων, ὅσονπερ ἀνδριάντων. Ἀμέλει
οὐδὲν ἂν ἐπὶ τούτῳ ὠφελήθη [c] ἡ γῆ ὥστε παύσασθαι
νοσοῦσα, εἰ μὴ τῶν σοφῶν καὶ ἐπισταμένων τις τὸν
θεῖον νοῦν συνῆκε φυγάδα εἶναι τὸν καταπεπονθομένον
ἀνδριάντα. Καὶ ἦν οὕτως. Ἅμα γὰρ ἀνεστάθη,
καὶ εὐθὺς ἡ μὲν γῆ ἀνέθαλλεν, οἱ δὲ ἐκόμων Δήμητρι
λοιπόν. Πῶς οὖν οὐ τεκμήρια ταῦτά εἰσιν ἐναργῆ
τῆς θεοπρεποῦς ἀθλητικῆς, ὅτι ἐστὶ θεοτίμητος; Καὶ
γὰρ καὶ ἐπὶ πεντάθλου ἀνδριάντι ὑβρισμένῳ ἐμήνισαν
οἱ θεοί, καὶ Λοκροὶ ἐπείνησαν διὰ τοῦτο, ὥσπερ Θά-
σιοι, ἕως αὐτοὺς ἰάσατο λόγιον σὸν ἔχον οὕτως·

Ἐν τιμῇ τὸν ἄτιμον ἔχων, τότε γαῖαν ἀρώσεις.

Οὐδὲ γὰρ Λοκροὶ ἤσθοντο θείας διανοίας πρότερον,

---

jam te Plato vocat), hominem tu istum consecrasti? An
od in Olympico certamine adversarium uno ictu non
lum afflixerit, sed etiam patefacio latere pulmonem ejus
missa manu abstraxerit? Dignum sane deo facinus, o
pollo! An præterea quod irrogatam sibi ea de causa
natuor talentorum mulctam sufferre noluerit, sed vi
œroris iracundiæque commotus furorem suum in pue-
rum qui tum in ludo litterario versabantur capita ef-
derit, revulsa columna, quæ tectum sustinebat? Num,
eorum creator, Cleomedem propterea divinis honoribus
ficiendum putasti? an alterum etiam hoc adjunges ejusdem
m fortitudinis tum divinæ amicitiæ documentum: quod
pum sacram in arcam insiluisset, adducto deinde oper-
lo, comprehendi ab insequentibus, in eo extrahendo
ustra laborantibus, nulla vi potuerit? O Cleomedes, tune
eros es ac de mortalium numero eximendus? Quibus tibi
rtibus immortalitatem peperisti! Sensere quippe dii statim
ulchri facinoris excellentiam, teque ut quondam Homeri
umina Ganymedem in cœlum rapuere: nisi quod illum
ropter pulchritudinem, te ob robur et bonum roboris
sum sustulerunt. Utinam ergo, o vates, quemadmodum
nte dicebam, arena marique prætermissis, quod pretium
ugilatui statuendum sit, didicisses, ut et pugiles haberes
inos deos, et onagros deorum fortissimos. Foret etiam
m demortuo onagro, quam tuo pugili convenientius
raculum:

Maximus hic onager superûm, non jam Cleomedes,
divinum a vobis ferat immortalis honorem.

Noli enim mirari, quod, si tale quid fieret, onager rebus opibusque divinis satis instructus immortalitatem sibi suo quasi jure vindicaret: quodque ubi de vestro consilio aliquid audivisset, injuriæ impatiens futurum minaretur, ut Cleomedem ipsum calcibus contusum in voraginem dejiceret, nec illum unquam in cœlum ascendere pateretur: esse enim se divinis illis muneribus digniorem contenderet, quam istum, quoniam non cum eo solum, tametsi ferreis cæstibus uteretur, verum simul cum altero quoque pugile Thasio pugnare vellet, illo, inquam, cujus statua graviter commoti superi Thasiorum olim agrum sterilitate affecerunt. Fidem autem facit non homo nescio quis, sed idem, de quo loquimur, deus. Ex quibus prorsus intelligo, divinam vitæ rationem esse pugilatum, id quod plerosque eorum qui videntur sibi esse sapientes latebat, ut omissis recti honestique studiis Thasii pugilis artem exercerent, cui immortalitatem quidem ut Cleomedi superi non dederunt, sed tamen mirifice eum dilexerunt. Adeo singulare quiddam, supra cæterorum hominum imagines, æneum ejus simulacrum ostendit, quando non sine divino, ut videbatur, consilio in inimicum, a quo flagris cædebatur, delapsum est. At Thasii tum dementes, tum rerum divinarum ignari casum ægre ferre, piaculi simulacrum arcessere, pœnas expetere, denique in mare projicere ausi sunt. Non tamen periculum effugerunt Thasii, sed dii ostensuri, quanto scelere sese obstrinxissent, famem divinæ justitiæ ministram in eorum regionem immiserunt. Quamquam vix hæc eos, quæ essent deorum consilia, docuit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ἢ σε αὐτοῖς τούτου πρόξενον γενέσθαι. Ἀλλ' Εὐθυκλέα τὸν πένταθλον ἐνέβαλον εἰς εἱρκτήν, αἰτιασάμενοί αὐτὸν ἐπὶ τῇ πατρίδι εἰληφέναι δῶρα· καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ ἀποθανόντος καὶ οὗτοι εἰς τὰς εἰκόνας ἐξύβριζον, ἕως οἱ θεοὶ οὐκ ἀνασχόμενοι τῶν γιγνομένων ἐπαφῆκαν αὐτοῖς τὸν κράτιστον λιμόν· καὶ ὑπὸ [d] τοῦ λιμοῦ διώλοντο ἄν, εἰ μὴ ἡ παρὰ σοῦ ἦλθε βοήθεια, λέγουσα ὅτι δεῖ αὐτοὺς τιμᾶν ἄνδρας πεφατνευμένους, οὓς οἱ θεοὶ φιλοῦσιν οὐχ ἧττον, ἢ οὓς οἱ ἀλφιτοποιοὶ πιαίνουσι βοῦς, δι' ὧν ὑμᾶς οἱ ἄνθρωποι ἐνίοτε θύοντες πείθουσιν· οὐχ ἧττον ἴσως ἀλλὰ καὶ πολὺ μᾶλλον παχέων βοῶν οἱ παχεῖς ἄνθρωποι εὐφραίνουσιν ὑμᾶς οὕτως, ὥστε ἐνίοτε ὅλῃ πόλει καὶ ὅλῳ ἔθνει ὀργίζεσθαι, ἑνὸς ἢ δυοῖν ἀδικούντων ταῦτα τὰ θρέμματα. Ὡς δὴ ὄφελες, ὦ μάντι, ἀλείπτης ἡμῖν ἀντὶ μάντεως γενέσθαι, ἢ καὶ μάντις ἅμα καὶ ἀλείπτης, ἵν' ἦν ὥσπερ [e] χρηστήριον Δελφικόν, οὕτω καὶ γυμναστήριον. Καὶ γὰρ οὐδ' ἀλλότριον ἦν ἀγῶνος Πυθικοῦ Πυθικὸν εἶναι καὶ τὸ γυμναστήριον.

(Eusebius Præpar. Evang. lib. V, cap. 34, pag. 230 seqq. ed. Viger. [vol. I p. 486 seqq. ed. Gaisford.] De lectionis varietate aliisque rebus quædam monenda : [a] Cf. Plutarchus in Romulo p. 35; Pausanias lib. VI cap. 9; Origenes contra Celsum III p. 134; Theodoretus VIII de Græc. affect. p. 115. — [b] Plato de Republ. IV p. 427. — [c] scripsi οὐδὲν ἂν ἐπὶ τούτῳ ὠφελήθη] codd. οὐδὲν ἐπὶ τούτῳ ὠφελήθη. — [d] καὶ ὑπὸ] libri κἂν ὑπὸ. — [e] ἵν' ἦν ὥσπερ; codd. ἵν' ἦ ὥσπερ. Cæterum in margine codicis Parisiensis 451 legitur : πεφατνευμένους λέγει τοὺς ἀθλητὰς διὰ τὴν σωμασκίαν καὶ ἀναγκοφαγίαν.)

13. Τούτοις ἐπισυνάψω καὶ ἃ φησιν ἀπελέγχων ὡς καὶ τοὺς τυράννους κολακεύειν εἰώθασιν οἱ περὶ ὧν ὁ λόγος.

Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἐσκαταβαίνει,
Κύψελος Αἰακίδης [a], βασιλεὺς κλεινοῖο Κορίνθου.

Οὐκοῦν καὶ οἱ τύραννοι, οὐ μόνον οἱ τῶν τυράννων ἐπίβουλοι,

Κύψελος, ὃς δὴ πολλὰ Κορίνθῳ πήματα τεύξει,

καὶ Μελάνιππος, ὁ πολλὰ ἀγαθὰ τῇ Γελώων πόλει τεύξας. Πῶς δ' εἰ Κύψελος ὄλβιος, ὦ κακόδαιμον, οὐ καὶ Φάλαρις ὄλβιος, ὁμότροπος ὢν Κυψέλῳ; Ὥστ' ἂν ἐκείνως ἄμεινον εἶναι ὑμῖν,

Εὐδαίμων Φάλαρις, καὶ Μελάνιππος ἔφυ,
θείας ἀγητῆρες ἐν ἀνθρώποις διχονοίας.

Ἤκουσα δέ σου καὶ διαλελυμένον χρησμὸν περὶ τοῦ Φαλάριδος, ἐπαινοῦντα καὶ τιμῶντα, ὅτι λαβὼν ἐπιβουλεύοντας ἠκίσατο μέν, καρτεροῦντας δὲ ἀγάμενος ἀφῆκε· Λοξίας καὶ Ζεὺς πατὴρ ἀναβολὴν ἐψηφίσαντο θανάτου Φαλάριδι, ἀνθ' ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη. Ἀλλ' εὖγε καὶ μόλις ἡμῖν τὰ περὶ τοῦ θανάτου ἔδειξας καὶ τῆς ζωῆς, ὅτι κάλλιστόν τι ἐστὶν ἡ ζωή. Ἐπὶ τούτοις ἅπασι καὶ τόδε προσκείσθω·

Ἀλλά κε Μηθύμνης ναέταις πολὺ λώϊον ἔσται,
φαλληνὸν τιμῶσι Διωνύσοιο [b] κάρηνον.

Itaque tu, qui deorum humanissimus haberis, tuo more consulentibus opem tulisti, hoc responso :

Redde modo exsulibus patriam, seges ampla metetur.

Verum vecordes isti rursus revocandos exules non alios esse quam homines putabant, versu non intellecto. Cur enim diis inhumanissimis tantæ curæ sint homines ab exsilio revocandi, quantæ simulacra restituenda? Profecto illa res non eam agro utilitatem attulisset, ut morbo liberaretur, nisi homo quidam sapiens ac sollers divinam mentem assecutus exsulem appellari demersam in aqua statuam affirmasset. Ita autem erat. Nam simulatque suo loco reposita est, statim in agro omnia regerminare, Thasiique deinceps soli ubertate superbire cœperunt. Nonne hæc certa sunt signa, divinæ athletarum arti divinos honores deberi? Nam et alterius quinquertionis statua alias violata commoti sunt dii, nec minore Locri propterea quam Thasii fame laborarunt, donec tuum responsum calamitatis medicina esset. Sic autem respondisti :

Redde decus læso; seges ampla sequetur aratrum.

Neque enim prius Locri divinum consilium intellexerunt, quam te ejus velut interpretem habuissent. Quippe Euthyclem illi quinquertionem, quasi munera a patriæ hostibus accepisset, in vincula conjecerant; nec eo contenti in ipsius demortui imagines iidem etiam injuriosi fuerant, donec dii facinoris indignitatem haud tolerantes, gravissimam iis famem inferrent : qua sane confecti periissent, nisi opis aliquid ipsis datum esset tuo responso, quo homines pingues tanquam observandos iis commendabas, utpote qui diis non minus placerent, quam boves a pultis confectoribus saginati. Et his quidem cæsis placare interdum vos homines possunt : cæterum nihilominus vos, imo etiam magis hominum quam boum pinguedine delectari vel ex eo constat, quod si unus vel duo duntaxat tales alumnos læserint, tum integræ nonnunquam aut civitati aut genti vehementer irasci soleatis. Debuisses ergo, bone vates, pro vate nobis unctor esse, aut etiam unctor simul et vates, ut Delphicum aliquod sicut oraculum, sic gymnasium haberemus. Neque enim a Pythico certamine gymnasium quoque Pythicum bene institutum abhorrebat.

13. Jam ea superioribus subjungam, quibus idem tyrannis etiam ipsis eos, de quibus adhuc loquimur, deos adulari solitos redarguit. Sic igitur de Cypselo :

Felix qui properat nostras venturus in ædes,

...ι γὰρ αἱ πόλεις καὶ τελετὰς ἄγουσιν οὐ μόνον ...νοῖς Διονύσοιο καρήνοις, ἀλλὰ καὶ λιθίνοις καὶ ...οις καὶ χρυσέοις· οὐ μόνον φαλληνοῖς, ἀλλὰ ...ὐτοῖς τοῖς Διονύσοις [c], καὶ ἄλλοις παμπόλλοις ...δείοις θεοῖς. Τρὶς γὰρ ὡς ἀληθῶς μύριοί εἰσιν ...θονὶ πουλυβοτείρῃ οὐκ ἀθάνατοι, ἀλλὰ λίθινοι ...ύλινοι δεσπόται ἀνθρώπων· οἳ εἰ ἀνθρώπων ὕβριν ...εὐνομίην ἐφεώρων, οὐκ ἂν τοσοῦτος ἦρθη λῆρος, ...καὶ ἤδη καὶ μέχρις ὑμῶν κεχωρηκέναι τὸ κακόν, ...βὰν καὶ εἰς τὸν Ὄλυμπον, ὅθι, φασί, θεῶν ἕδος ...ὲς αἰεί. Καίτοι εἰ ἀσφαλὲς ἦν, οὐκ ἂν ἦν ἐπι- ...λήρῳ, οὐδ' ἂν εἷς τις τῶν Ὀλυμπίων εἰς τοῦτο ...παρανοίας, ὥστε ἐλαΐνον κορμὸν θεῶσαι· ὃν οἱ ...ναῖοι σαγήνης ἐμπλακέντα τοῖς λίνοις ἀνείλ- ..., καὶ δίς, εἰ βούλει, καὶ τρὶς καὶ πλεονάκις ἐν ...τῷ σαγηνεύοντες ἄνθρωποι, καὶ ἐξ ἐκείνου εἰς τὸ ...τὸν ἐξοκείλαντες, οὐδ' εἰς τὴν γῆν ἔξω ἐκβαλόντες ... ἐπεὶ οὐκ ἄν, μὰ τὸν Διόνυσον, ἔτι αὐτοῖς ἐνε- ...η τοῖς λίνοις. Ἀλλ' ἐξ ἄκρου κεφαλοειδὴς ὁ κορμὸς ...λλον, ξένου κατασκευάσματος·) τί ποτ' οὖν ...τεν ἐν τῷ πελάγει; ἀπορήσαι ἄν τις. Τί γὰρ ... ἢ ἐκάθητο, νὴ Δία, ἀναμένων ἕως ἄνθρωποι ...μενοι, οὐ γὰρ φήσω ὅτι καὶ θεοί, ἐγκυρήσαντες αὐτῷ, οὐ διοπετές, ἀλλὰ ποσειδωνοπετὲς ἡγήσωνται, κἄπειτα εἰς ἄστυ ἀπαγάγωσιν, ὥσπερ τινὰ ἀγαθὴν τύχην, κακὴν οὖσαν ὡς ἀληθῶς, οὐ τύχην, ἀλλὰ τυφεδόνα; Ἦ οὐκ ἤρκει ἄρα αὐτοῖς οἴκοθεν διολλύουσα, ἀλλ' αὐτὴν ἐπέρρωσέν τε καὶ προσεπέτεινε θεοπληξίας, ὡς ἄν τις εἴποι, ἐκ Δελφῶν μετάπεμπος ἐπιθήκη. Τοσαῦτα καὶ ὁ Οἰνόμαος.

(Eusebius Præpar. Evang. lib. V cap. 34. 35. 36, pag. 233 seqq. ed. Viger. [vol. I pag. 493 seqq. ed. Gaisford.] Scripsi : [a] Αἰακίδης] cum parte membranarum et Vigero; alii codd. habent Ἑτιάδης. Cf. Herodot. V, 92. — [b] Διωνύσοιο; codd. Διονύσοιο. — [c] Διονύσοις ex codice Veneto; reliquæ membranæ Διονυσίοις. Cæterum de Melanippo vide Athenæum XIII p. 602 et Ælianum var. hist. lib. II cap. 4, e quorum testimoniis apparet Pythiam de Melanippi et Charitonis amicitia hujusmodi versus fudisse : Εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ, Θείας ἀγητῆρες ἑταμερίοις φιλότητος.)

14. Ἄκουε δ' οὖν αὖθις τοῦ τὴν τῶν Γοήτων φώραν τὸ οἰκεῖον ἐπονομάσαντος σύγγραμμα, ὡς εὖ μάλα νεανικῷ φρονήματι τὸν πλάνον τῶν πολλῶν καὶ αὐτοῦ

...pselus Æacides, claræ rex ille Corinthi.

...tyranni quoque ipsi, non modo tyrannorum insidia- ...felices vobis ac beati,

...pselus, exitium quondam pestisque Corinthi,

...que Melanippus ille, qui Gelensium urbem fortunis ...letavit. Quodsi Cypselus felix est, pessime dæmon, ...e et Phalaris qui mores ejus refert, felicitate florebit? ...e verius utique caneretis :

Et Phalaris felix, et Melanippus erant,
...os divina duces olim discordia sensit.

...vi vero ex te aliquando molle ac solutum de Phala- ...responsum, quo hominem celebrasti, quod insidia- ...quosdam suos, ubi aliquamdiu cædi jussisset, eos ...em talem doloris tolerantiam admiratus dimisisset. ...as videlicet ac Jupiter pater differre Phalaridis mortem ...everunt, quia placidius Charitonem et Melanippum ...sset. At tu vitæ mortisque rationes, vix licet, præ- ...tamen expressisti, dum hoc facto vitam eximium ...dam esse probasti. Quibus omnibus hoc postremum ...ungamus :

...es tibi Methymnæ felicius incola cedet,
Bacchi caput ex tereti venerabere ligno.

...ppe passim civitates non lignea modo, sed etiam lapi- ..., ænea, aurea Bacchi capita sacrificiis ac statis reli- ...ibus colunt : imo non Bacchi tantummodo capita, sed ...s quoque Bacchos et alios permultos deos qui Hesiodi ...lis celebrantur. Nam triginta plane non immortalium, sed lapideorum et ligneorum humani generis dominorum millia animantium altrix terra complectitur; qui profecto si cognoscendo hominum sceleri jurique præessent, nunquam eo nugarum vanitas excrevisset, ut ad vos quoque malum perveniret, Olympo superato, ubi deorum, ajunt, *sedes secura per ævum*. Quæ securitas si vere jactaretur, nugas omnes excluderet, neque Olympiorum quisquam eo vecordiæ processisset, ut oleagino caudici divinitatem tribueret. Illum videlicet everriculi plagulis irretitum Methymnæi extraxerant, idque semel iterumque, si placet, imo etiam tertio vel sæpius demissis eundem in locum retibus fecerant : inde autem Libycum in mare delati nequaquam eum in terram excusserant. Id enim si fecissent, non jam, per Bacchum, ad ipsas illas plagulas adhæsisset. At iste caudex in capitis speciem a summo stipite conformatus (inusitatum, o Apollo, machinamentum!) ad quam tandem rem in mari tendebat? forsitan quispiam quærat. Ad quam aliam, per Jovem, nisi ut ibidem jaceret? donec furiosi homines (piget enim deos dicere) in ipsum incidentes non de Jovis sede delapsum, sed a Neptuno emissum putarent, ac postmodum in urbem, tanquam quoddam prosperæ fortunæ omen inveherent, funestam re ipsa, non fortunam, sed facem urbis futuram. Aut non satis ad exitium iis erat intestina pestis, nisi eam diræ stoliditatis divinitus immissæ accessio, Delphis, ut ita dicam, arcessita confirmaret atque intenderet. Hactenus Œnomaus.

14. Audi ergo, quemadmodum philosophus ille, qui suum ipse opus Præstigiatorum investigationem inscripsit,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

γε τοῦ Ἀπόλλωνος ἐπανορθοῦται, δι' ὧν γράφει τάδε κατὰ λέξιν. Σὲ οὖν ἐν Δελφοῖς καθῆσθαι μὴ δυνάμενον, μηδ' εἰ βούλοιο, σιωπᾶν. Ὁ δ' Ἀπόλλων ἄρα ὁ τοῦ Διὸς υἱὸς νυνὶ βούλεται, οὐχ ὅτι βούλεται, ἀλλ' ὅτι ὑπ' ἀνάγκης εἰς τὸ βουληθῆναι τέτακται. Δοκῶ δέ μοι τὰ λοιπὰ πάντα παρεὶς, ἐπειδὴ εἰς τοῦτον τὸν λόγον οὐκ οἶδ' ὅπως ὑπήχθην, οἰκεῖόν τι καὶ ἀξιοζήτητον ζητήσειν πρᾶγμα. Ἀπόλωλε γάρ, τό γ' ἐπὶ τοῖς σοφοῖς, ἐκ τοῦ ἀνθρωπίνου βίου, ἀπόλωλεν, εἴτε οἰακά τις αὐτὸ εἴτε ἕρμα εἴτε κρηπῖδα ὀνομάζων χαίρει, τῆς ἡμετέρας ζωῆς ἡ ἐξουσία, ἣν ἡμεῖς μὲν αὐτοκράτορα τῶν ἀναγκαιοτάτων τιθέμεθα, Δημόκριτος δέ γε, εἰ μή τι ἠπάτημαι, καὶ Χρύσιππος, ὁ μὲν δοῦλον, ὁ δὲ ἡμίδουλον ἐπινοεῖ τὸ κάλλιστον τῶν ἀνθρωπίνων ἐπιδείξαι. Ἀλλὰ τούτων μὲν λόγος τοσοῦτος, ὅσον ἄν τις ἀξιώσειεν ἄνθρωπος ὢν ἀνθρωπίνως μάχεσθαι· εἰ δ' ἤδη καὶ τὸ θεῖον ἡμῶν καταστρατεύεται, παπαῖ, οἷα πεισόμεθα. Ἀλλ' οὐκ εἰκός, οὐδὲ δίκαιον, ἀπὸ γοῦν τούτων τεκμαιρομένοις ἡμῖν,

Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσιν,
εἴσω τὸν προβόλαιον ἔχων πεφυλαγμένος ἦσο.

Τί γάρ, φησὶν ὁ Ἀργεῖος, εἰ βουλοίμην, ἔξεστί μοι, καὶ δύναμαι, εἴ μοι δόξει, ἧσθαι καὶ πεφυλάχθαι; Ἔξεστιν, εἴποις ἄν, καὶ δύνασαι· ἢ πῶς ἄν σοι τοῦτ' ἐγὼ προσέταττον;

Χείρωνος φίλε τέκνον ἀγακλειτοῖο Κάρυστε,
Πήλιον ἐκπρολιπὼν Εὐβοίας ἄκρον ἱκέσθαι,
ἔνθ' ἱερὰν χώραν κτίζειν σοι θέσφατόν ἐστιν.
Ἀλλ' ἴθι, μηκέτι μέλλε.

Ἦ γὰρ ὡς ἀληθῶς ἐπ' ἀνθρώπῳ τι ἐστίν, ὦ Ἄπολλον, καὶ βουληθῆναι Πήλιον ἐκπρολιπεῖν, κύριός εἰμι ἐγώ; Καὶ μὴν ἤκουον παρὰ πολλῶν καὶ σοφῶν, ὅτι εἰ μὲ πέπρωται Εὐβοίας ἄκρον ἱκέσθαι καὶ ἱερὰν χώραν κτίζειν, καὶ ἥξομαι καὶ κτίσω, εἴτε λέγοις, εἴτε μή, καὶ εἴτε βουλοίμην, εἴτε μή. Εἰ δέ με δεῖ καὶ βουληθῆναι ὅ, τι μοι ἀνάγκη ἐστὶ καὶ εἰ μὴ βουλοίμην βουληθῆναι· ἀλλὰ σύ, ὦ Ἄπολλον, πιστεύεσθαι δικαιότερος. Ἔοικα δή σοι μᾶλλον προσέξειν.

Ἄγγελον Παρίοις, Τελεσίκλεες, ὥς σε κελεύω
νήσῳ ἐν Ἠερίῃ κτίζειν εὐδείελον ἄστυ.

Ἀγγελῶ νὴ Δία, (φήσει τάχα πού τις τετυφωμένος, ἢ σε ἐλέγχων,) κἂν μὴ κελεύσῃς· πέπρωται γάρ. Καὶ ἔστι Θάσος μὲν ἡ Ἠερία νῆσος· ἥξουσι δ' ἐς αὐτὴν Πάριοι, Ἀρχιλόχου τοῦ ἐμοῦ υἱοῦ φράσαντος, ὅτι ἡ νῆσος αὕτη πρὶν Ἠερία ἐκαλεῖτο. Σὺ οὖν, δεινὸς γὰρ ἐπεξελθεῖν, οὐκ ἀνέξῃ οἶμαι αὐτοῦ, οὕτως ὄντος ἀχαρίστου καὶ θρασέος, ὅς, εἰ μὴ σὺ μηνῦσαι αὐτῷ ἐβουλήθης, οὐκ ἄν ποτε ἤγγειλεν, οὐδ' ἂν Ἀρχίλοχος ὁ υἱὸς αὐτοῦ Παρίους ἐξενάγησεν, οὐδ' ἂν

---

quamque acriter cum vulgi, tum ipsius quoque Apollinis errores convincat. Sic enim ad verbum scribit: Te igitur Delphis sedere ac ne, si velis quidem, silere posse. Nempe Apollo Jovis filius nunc vult aliquid, non quo ita velit, sed quod necessitate quadam ad hanc voluntatem cogitur. Videor mihi vero cæteris omnibus prætermissis, quandoquidem nescio quo pacto ad hanc orationem adductus sum, de re cum hujus loci propria, tum scitu dignissima quæsiturus. Sublata nimirum est funditus, quantum quidem in nostris sapientibus fuit, ex humana vita, sublata, inquam, facultas illa vitæ nostræ quam ejus seu gubernaculum, seu columen mavis, seu denique fundamentum appelles licet; nos rerum necessariarum dominam existimamus, at Democritus et Chrysippus, nisi fallor, alter servam, alter dimidia servitute oppressam rerum humanarum pulcherrimam esse demonstrare instituit. Verum istorum eatenus sane ratio valeat, quatenus humaniter duntaxat homines utentur armis. Sin autem nos ipsum jam deorum numen oppugnabit, quis, papæ, nostrarum calamitatum finis erit? At id neque verisimile, neque justum fuerit, si quidem ex hisce versibus conjecturam capere liceat,

Finitimis invise, deis dilecte beatis,
interius tutamen habens cautusque sedeto.

Quid enim, inquit Argivus, licebitne si volam? præterea possimne sedere et cavere, si libeat? Tu vero licere ei et posse illum respondebis, alioquin hoc te nunquam imperaturum fuisse:

Chironis magni soboles præclara, Caryste,
desere Peliacum montem, Eubœæque potentis
culmen adi: sacram hic fatum est tibi ponere sedem.
Ergo age, rumpe moras.

Ain' tu aliquid, o Apollo, vere in hominis potestate esse? licetne mihi meo arbitrio velle Pelium relinquere? Atqui ex multis sapientibus viris audieram, si mihi fatum esset in Eubœæ promontorium venire ac sacram urbem ibi condere, fore ut eo venirem illamque volens, nolens, te sive dicente sive non dicente, conderem. Sin autem id quoque me velle oportet, quod necessitas ut vel invitus velim me cogat: tu fide nimirum, Apollo, dignior es. Videor ergo tibi potius auscultaturus.

I Pariosque mone, Telesicles, numine nostro,
insula in Aeria sublimem sedibus urbem
condere te jussum.

Certiores illos, per Jovem, ea de re faciam, (inquiet fortasse protervus quispiam, aut quisquis refellere te volet,) etiamsi nihil jubeas: id enim fatum mihi est. Cæterum Aeria illa insula Thasus est, in quam auctore Archilocho, filio meo, Parii se conferent; hæc enim insula prius Aeria vocabatur. Tu autem ut in ulciscendo severus es, nunquam, opinor, hominem tam ingratum atque audacem

ριοι Θάσον ᾤκησαν. Οὐκ οἶδ' οὖν εἰ σὺ λέγεις ταῦτα, οὐκ οἶσθα δὲ ἃ λέγεις. Ἀλλ' ἐπεὶ σχολὴν εἴοικαμεν καὶ μακρὰ διαλέγεσθαι, ὁ δὲ λόγος οὐ πάνυ μακρός, ἐκεῖνό μοι λέγε· (ἴσως γὰρ καὶ ὀλίγα ἐκ πολλῶν ἀρκεῖ·) ἆρά γέ τί ἐσμεν ἐγώ τε καὶ σύ; Φαίης ἂν οὗτο δὲ ὁπόθεν ἴσμεν; τῷ ποτ' ἄρα τοῦτο εἰδέναι ἐσμεν; Ἢ οὐκ ἄλλο ἱκανὸν οὕτως, ὡς ἡ συναίσθησίς τε καὶ ἀντίληψις ἡμῶν αὐτῶν; Τί δ'; ὅτι ἐσμεν πῶς ποτ' ἄρα ἐξεύρομεν; πῶς δ' ὅτι καὶ ὡς μὲν ἂν ἐγὼ εἴποιμι, ἄνθρωποι· καὶ ἀνθρώπου μὲν γόης, ὁ δὲ γόητος ἀπελεγκτής· ὡς δ' ἂν σύ, ἄνθρωπος, ὁ δὲ θεός, καὶ ὁ μὲν μάντις, ὁ δὲ μάντης; Καὶ ἔστω γέ σοι οὕτως ἔχον, ἐάνπερ ἀλῶ. Πῶς δ' ὅτι διαλεγόμεθα ἐν τῷ παρόντι ἐγνώκαμεν; Τί φής; ἆρ' οὐκ ὀρθῶς ἐκρίναμεν τὴν ἡμῶν ἀντίληψιν τῷ πάντων ἐγγυτάτω πράγματι αὐτῶν; Δηλονότι. Οὐ γὰρ ἦν ἄλλο αὐτοῦ οὔτε ἀνώτερον, οὔτε πρεσβύτερον, οὔτε πιστότερον. Ἐπεὶ εἰ οὕτως ἔχει, μήτε ἄρα ὥς σέ τις εἰς Δελφοὺς παραθῶ λοιπὸν ὄνομα Ἀλκμαίων, ἀπεκτονὼς τὴν μητέρα καὶ οἰκοθεν ἐλαυνόμενος, καὶ οἴκαδε ἐπιθυμῶν. Οὐ γὰρ οἶδεν, οὔτ' εἰ ἔστι τι αὐτὸς τοπαράπαν, οὔτε ὁπόθεν ἐλαύνεται, οὔτ' εἰ οἴκαδε ἐπιθυμεῖ· ἀλλ' εἰ μαίνεται ὁ Ἀλκμαίων καὶ ὑπονοεῖ τὰ μὴ ὄντα, ὅ δὴ μάθιος οὐ μαίνεται. Μηδὲ λέγε οὕτως,

Νόστον ἰίζηαι πατρίην ἐς γαῖαν ἱκέσθαι
Ἀμφιαρηϊάδη.

Οὐδὲ γὰρ σὺ οἶσθά πως εἴ σέ τις ἐρωτᾷ Ἀμφιαρηϊάδης, οὐδ' εἰ σύ τι εἶ ὁ ἐρωτώμενος, καὶ λέγειν ἔχων περὶ ὧν τις ἐρωτᾷ. Μηδὲ Χρύσιππος ἄρα ὁ τὴν ἡμιδουλείαν εἰσάγων, ὅ,τι ποτέ ἐστιν αὐτὸ τοῦτο οὐκ εἰδώς [a], ἀπαντάτω εἰς τὴν στοάν, μηδ' οἰέσθω ἀπαντήσεσθαι τοὺς βλέννους ἐκείνους ὡς αὐτὸν ἀκουσομένους τὸν οὕτιν· μηδὲ διατεινέσθω περὶ μηδενὸς καταστὰς πρὸς μὲν Ἀρκεσίλαον παρόντα, πρὸς δὲ Ἐπίκουρον οὐ παρόντα. Τί γάρ ἐστιν ὁ Ἀρκεσίλαος, τί δὲ ὁ Ἐπίκουρος, ἢ τί ἡ Στοά, ἢ τί οἱ νέοι, ἢ τίς ὁ οὕτις, οὔτ' οἶδεν, οὔτε οἷος εἰδέναι· πολὺ γὰρ πρότερον οὐδ' εἰ αὐτός τί ἐστιν οἶδεν. Ἀλλ' οὐκ ἀνέξεσθε οὔτε ὑμεῖς, οὔτε ὁ Δημόκριτος, εἰ λέγοι τις ταῦτα· οὐ γὰρ εἶναι πιστότερον μέτρον οὗ λέγω· οὐδ' εἰ δοκεῖ καὶ ἄλλα τινὰ εἶναι, τούτῳ γ' ἂν παρισωθείη· ἢ παρισωθείη μὲν ἄν, ὑπερβάλλοι δὲ οὐκ ἄν. Οὐκοῦν, φήσειεν ἄν τις, ὦ Δημόκριτε, καὶ σὺ ὦ Χρύσιππε, καὶ σὺ ὦ μάντι, ἐπειδὴ ἀγαναχτεῖτε εἴ τις ἐθελήσαι παρελέσθαι τὴν ὑμῶν αὐτῶν ἀντίληψιν· οὐ γὰρ ἔτι τὰς πολλὰς ἐκείνας βίβλους εἶναι· φέρε καὶ ἡμεῖς ἀνταγαναχτήσωμεν. Τί δή ποτε; Ἔνθα μὲν ἂν ὑμῖν δοκῇ, ἔσται τοῦτο καὶ πιστότατον καὶ πρεσβύτατον· ἔνθα δ' ἂν μὴ δοκῇ, ἐκεῖ

: qui nisi cum rei admonere voluisses, nec id unipse nuntiasset, nec Archilochus ejus filius Pariorum iam eo deduxisset, nec Parii Thasum habitassent. lem nescio, an tu hæc quidem dicas, sed tamen ea dicis non intelligas. Verum quoniam longiorem sermem otium nostrum patitur, nec is alienus est futurus, mihi dic (pauca enim fortasse e multis sufficiunt) : quid ego et tu simus? Sumus, inquies. Hoc autem scimus? aut quo tandem argumento nos id scire gimus? Nonne fateris, nulla alia re perinde hoc effici, sensu quodam et perceptione nostra? Quid vero? antes nos esse, quomodo tandem comperimus? quo ex animantibus, ut mihi quidem loquendum vi-, homines, ex hominibus præstigiatorem alterum, um præstigiatoris exagitatorem : ut tu vero dicis, deum m, alterum hominem? itemque vatem alterum, alte-delatorem? Et sit quidem tibi rerum ratio talis, si convictus fuero. Nos autem in præsentia hæc dispu-, quo pacto cognovimus? Quid ais? nonne recte de ra percipiendi vi ex eo qui inter manus est loco judius? Omnino. Neque enim aliud eo vel superius vel quius vel fide dignius est. Alioquin enim desinat in erum te Alcmæon nescio quis, interfecta matre, o pulsus ejusque tamen cupidus, Delphis convenire. ppe neque ipse, sitne omnino aliquid, nec domone atur, nec ejusdemne cupidus sit intelligit. At licet osus sit Alcmæon, quæque non sunt suspicetur, non t quidem Pythius. Cave etiam sic canas :

Tu reditum in patriam votis flagrantibus urges,
Amphiaraïade.

Nam primum ne ipse quidem ullo modo intelligis, num quis te interroget Amphiarai filius, deinde num quid tu sis qui interrogaris, denique num respondere possis de re de qua quis te consulit. Ne igitur Chrysippus dimidiatam introducens servitutem, quum tamen quæ sit ea res prorsus ignoret, in porticum ventitare conetur, neve eodem stolidos homines ad ipsum audiendum quem neminem existimamus, venturos putet; neve jam de stabili gradu aut præsente cum Arcesila aut cum Epicuro absente contendat; quando is, quid aut Arcesilas, aut Epicurus, aut quid Porticus, quid adolescentes, quid nemo ipse sit, nec intelligit, nec intelligere omnino potest; nam quod multo prius est, sitne ipse aliquid an nihil sit, ne hoc quidem exploratum habet. At orationem istam neque vos scilicet, neque Democritus ferat, quod alia certior, quam ea cujus memini, hujus rei æstimandæ ratio nulla esse queat; aut si aliæ præterea sint, cum illa tamen adæquari non possint; aut si forte adæquari possint, eam certe superare nequeant. Quamobrem, inquiet quispiam, o Democrite, tuque o Chrysippe et tu bone vates, quoniam indignemini si quis vobis animi perceptionem eripere conetur; neque enim id jam est, ingentem istam nescio quam librorum supellectilem eripere : age nos quoque indignemur. Quid tandem? Ubi vobis ita visum fuerit, certissimum hoc videlicet et antiquissimum argumentum erit;

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

καταδυναστεύσει τι λεληθὸς αὐτοῦ εἱμαρμένη πεπρωμένη, διαφορὰν ἑκάστῳ ὑμῶν ἔχουσα, τῷ μὲν ἐκ θεοῦ, τῷ δὲ ἐκ τῆς τῶν μικρῶν ἐκείνων σωμάτων τῶν φερομένων κάτω καὶ ἀναπαλλομένων ἄνω καὶ περιπλεκομένων καὶ διαλυομένων καὶ διισταμένων καὶ παρατιθεμένων ἐξ ἀνάγκης; Ἰδοὺ γὰρ ᾧ τρόπῳ ἡμῶν αὐτῶν ἀντειλήμμεθα, τούτῳ καὶ τῶν ἐν ἡμῖν αὐθαιρέτων καὶ βιαίων. Οὐ λέληθε δὲ ἡμᾶς ὅσον τὸ μεταξὺ τοῦ βαδίζειν καὶ τοῦ ἄγεσθαι, οὐδὲ ὅσον τοῦ αἱρεῖσθαι καὶ τοῦ ἀναγκάζεσθαι. Ὧν δὲ ἕνεκα ταῦτα προσήνεγκα τῷ λόγῳ; Ὅτι σε ἐκπέφευγέν, ὦ μάντι, ὧν κύριοί ἐσμεν ἡμεῖς, καὶ ὁ τὰ πάντα εἰδὼς ταῦτά γε οὐκ ἂν εἰδείης, ὧν τὰ πείσματα ἀνῆπται ἐκ τῆς ἡμετέρας βουλήσεως. Αὕτη δέ γε ἐφαίνετο οὐκ ὀλίγων οὖσα πραγμάτων ἀρχή· ὃν δὲ ἡ ἀρχή, ἥτις ἦν τῶν μετὰ ταῦτα αἰτία, ἐκπέφευγεν, ἢ πού γε τὰ μετὰ τὴν ἀρχὴν εἰδείη ἂν οὗτος. Ἀναίσχυντος δηλαδὴ ὁ Λαΐῳ προμαντευόμενος, ὅτι αὐτὸν ἀποκτενεῖ ὁ φύς. Ἤμελλε γάρ που ὁ φὺς κύριος ἔσεσθαι τῆς ἑαυτοῦ βουλήσεως, καὶ οὔτε τις Ἀπόλλων, οὔτε τις αὐτοῦ ὑπέρτερος ἐξικνεῖσθαι ἱκανὸς οὐδεμιᾷ δυνάμει, ὧν οὐκ ἔστιν οὔτε ὑπαρξις, οὔτε γενέσεως ἀνάγκη. Ἐκεῖνο γὰρ δὴ τὸ καταγελαστότατον ἁπάντων, τὸ μῖγμα καὶ ἡ σύνοδος τοῦ καὶ ἐπὶ τοῖς ἀνθρώποις τι εἶναι, καὶ εἱρμὸν οὐδὲν ἧττον εἶναι. Προσεοικέναι γὰρ αὐτόν, ὡς λέγουσιν οἱ σοφώτεροι, τῷ Εὐριπιδείῳ λόγῳ· τεκνῶσαι μὲν γὰρ ἐθελῆσαι τὸν Λάϊον, κύριον εἶναι τὸν Λάϊον, καὶ τοῦτο ἐκπεφευγέναι τὴν Ἀπολλωνίαν ὄψιν· τεκνώσαντι δ' αὐτῷ ἐπεῖναι ἀνάγκην ἄφυκτον ὑπὸ τοῦ φύντος αὐτὸν ἀποθανεῖν· οὕτως οὖν τὴν ἐπὶ τῷ μέλλοντι ἀνάγκην παρέχειν τῷ μάντει τὴν τοῦ γενησομένου προαίσθησιν. Ἦν δέ που καὶ ὁ φὺς τῆς ἰδίας βουλήσεως κύριος, ὥσπερ ὁ φύσας· καὶ ὡς ἐκεῖνος τοῦ τεκνῶσαι καὶ μή, οὕτως οὗτος τοῦ ἀποκτεῖναι καὶ μή. Τοιαῦτα δὲ ὑμῶν τὰ μαντεύματα πάντα· καὶ ὁ Εὐριπίδειος Ἀπόλλων τοῦτ' ἐκεῖνο ἦν ὃ ἔλεγεν, τὸ

Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος,

ὅτι πήρωσις μὲν ἔσται αὐτοχειρία τοῦ φύντος ἐπὶ γάμῳ μητρὸς καὶ τυραννίδι ἣν παρέλαβεν ἐπ' αἰνίγματος λύσει, παίδων δὲ ἀλληλοκτόνοι σφαγαὶ ἐπὶ φυγῇ μὲν ἐκ τῆς ἀρχῆς τοῦ ἑτέρου, τοῦ δὲ ἑτέρου πλεονεξίᾳ, καὶ γάμῳ τοῦ φυγάδος ἐν Ἄργει, καὶ στόλῳ στρατηγῶν ἑπτὰ καταγελάστων καὶ συμβολῇ· ὧν ἐπὶ πολλὰς ἀρχὰς καὶ ἐξουσίας διαιρουμένων, πῶς ἂν ἧ σοι ἐξεπίστασθαι, ἢ ὁ εἱρμὸς συνδεῖν δύναιτο; Εἰ γὰρ αὐτοῦ κύριος ὢν μὴ ἐβουλήθη τυραννεῖν ὁ Οἰδίπους, ἢ τοῦτο βουληθεὶς καὶ πράξας γαμεῖν τὴν Ἰοκάστην οὐ προείλετο, ἢ γήμας μὴ ἐτετύφωτο μηδ' ἦν δύσθυμος καὶ δυσάρεστος, πῶς ἂν τὰ καθ' ἕκαστα ἐπράγθη; πῶς δ' ἂν τῶν ὀφθαλμῶν ἥψατο; πῶς δ' ἂν τοῖς παισὶν ἐπράσατο τὴν Εὐριπίδου καὶ τὴν σὴν ἀράν; τά τε ἐξ τούτων τίνα ἂν τρόπον ἐγεγόνει, μὴ προτέρων αἰτιῶν γιγνομένων ἢ σύ τι περὶ τῶν μελλόντων λέγειν ἠδύνασο; Πάλιν δ' αὖ εἰ συμβάντες οἱ παῖδες ἅμα ἐβασ-

---

ubi autem aliter existimaveritis, eo potentius erit occultum nescio quid, fatalis, inquam, illa necessitas; qua de re tamen dissidetis, quum alius eam ex deorum numine, alius ex minimis illis corpusculis pendere velit, quæ modo deorsum ferantur, modo contra sursum vibrentur, atque ejusmodi sint, ut inter se paulo ante commissa, paulo post dirimantur, ac vicissim disjuncta prius quum essent, necessario postmodum conjungantur? Etenim quo modo nos ipsos cognoscimus, eodem plane spontaneos et violentos animi nostri motus percipimus. Neque nos profecto latet, quantum inter eum qui sponte incedat, et eum qui agatur, quantum inter eum qui eligat, et eum qui cogatur intersit. Cur autem hæc superioribus adjeci? Fugit te nimirum, bone vates, quarum rerum potestatem habeamus, tuque ille qui cuncta nosti, ne ea quidem nosti, quæ nostra ex voluntate tanquam ex retinaculis quibusdam suspensa sunt. Atqui hanc multarum rerum principium esse constat: quem autem eorum quæ postea consequuntur principium et causa latet, is videlicet ea quæ ex eodem fonte manant intelligat. Impudens nempe fuit, quisquis Laio prædixit, eum a filio interfectum iri. Potens enim fere voluntatis suæ filius iste futurus erat, neque vel Apollo vel Apolline quisquam superior ulla mentis vi illas res complecti potest, quæ nec sint ipsæ nec ullam ortus sui necessitatem habeant. Nam illa quidem omnium maxime ridicula est temperatio et rerum colligatio, quod idem et aliquid in hominum potestate situm esse et seriem tamen causarum esse defendunt. Quippe hanc, ut eorum sapientissimi dicunt, ad Euripideæ narrationis similitudinem accedere. Nam ut Laius liberos procreare vellet, id quidem in Laii potestate fuisse, quod tamen Apollineæ mentis aciem fugerit: si vero procrearet, tum ejus qui nasceretur manibus ipsum ineluctabili necessitate periturum: ideoque rerum futurarum necessitatem dedisse vati earum præsentiendarum facultatem. Atqui non minus sane filius voluntatis suæ potens quam pater erat: et idcirco tam integra ei parentis cædes, quam parenti filii procreatio fuit. Atque hujusmodi omnia vestra oracula sunt. Nec melioris notæ fuit, quod hunc in modum Euripideus Apollo respondit:

Tua omnis alto sanguine natabit domus.

Nimirum oculos sibi filius suis ipse manibus effodere parabat, partim maternarum nuptiarum, partim ejus quam sibi ænigmatis solutione peperisset tyrannidis indignitate stimulatus: deinde mutuæ liberorum ejusdem cædes, ob alterius regno pulsi exsilium, alterius regnandi cupiditatem, simulque ob exsulis nuptias Argis factas septemque ducum ridiculorum expeditionem dimicationemque consecutura erant. Enimvero quum in varia imperia diver-

ευον, ἢ εἰ συνθέμενοι παρὰ μέρος ἔμενον ἐπὶ τοῖς υγχειμένοις, ἢ εἰ ὁ ἀπελαθεὶς ἔγνω μὴ εἰς Ἄργος λλ' εἰς Λιβύην ἢ Περραιβοὺς ἀπελθεῖν, ἢ εἰσελθὼν ἐπὶ Ἄργος ἔγνω ταριχοπωλεῖν, καὶ μὴ πλουσίαν λαεῖν γυναῖκα ἀλλὰ χερνῆτίν τινα ἢ κάπηλιν, ἢ εἰ ὁ δραστος μὴ ἔδωκε τὴν θυγατέρα αὐτῷ, ἢ εἰ ὁ μὲν δωκεν ὁ δ' οὐκ ἐπεθύμησε τῆς οἰκαδε ὁδοῦ, ἢ εἰ ἐπιμήσας ἐκράτησεν ἑαυτοῦ, ἢ εἰ μὴ προσέσχεν αὐτῷ ερομένῳ συμμαχίας ὁ Ἄδραστος, ἢ εἰ τῷ Ἀδράστῳ ήτε ὁ Ἀμφιάραος μήτε ὁ Τυδεὺς μηδὲ τῶν ἄλλων κτιάρχων ἕκαστος ἠκολούθουν, ἢ εἰ οἱ μὲν συνηκολούθουν, ὁ δὲ ἐλθὼν οὐκ ἐμάχετο τῷ ἀδελφῷ ἀλλ' ἢ υμβὰς ἐβασίλευσεν ἅμα αὐτῷ ἢ μὴ βουλομένῳ ἀνεώρησε, πεισθεὶς Εὐριπίδῃ λέγοντι,

Ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πάτραν,

εἰ οὗτος μὲν μή, ὁ δ' ἕτερος, τῶν Εὐριπιδείων ἀκούας σοφιστευμάτων ἐκείνων τῶν ἄλλων,

Εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς,
σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχειν ἴσον;

κῶς ἂν συστάντες ἐμάχοντο, καὶ Λαΐου πᾶν δῶμα ἔδη δι' αἵματος; Ἀλλὰ μήν, φήσεις, γέγονε ταῦτα. Γέγονεν· ἀλλὰ σὺ ποίᾳ ὁδῷ εἰσῆλθες εἰς τὴν τούτων εἴδησιν; Ἦ οὐχ ὁρᾷς, ὡς πυκνὰ διακέκοφε τὸ ὅλον δρᾶμα ἡ ἐν ἡμῖν τοῖς τὸ δρᾶμα συμπληροῦσι δύναμις; Οὕτω δὲ καὶ ἣν βούλει ὑπόθεσιν λαβών, διατεμῶ τὸν εἱρμὸν ὑμῶν, ἀποφανῶ τε ἀδύνατον ὄντα. Ἀλλὰ σὺ τὰ τῆς ὑποθέσεως ἔσχατα εἰδέναι λέγεις· ἡ δὲ ὑπόθεσις ἐκ διακοπῆς εἱρμοῦ δυνάμεως ὅλη συντέτακται. Ἦ ὃ λέγω οὐ συνίης[c]; Ἀλλὰ καθ' ἑκάστην ὑπόθεσιν, ὦ μάντι, τὰ ζῷα ἢ ὀλίγας πολλάκις ἀρχὰς ποιούμενα, ἢ πολλὰς ἐν αὐτῇ. Αἱ δὲ ἀρχαὶ ἀεὶ τὰ μέχρις αὐτῶν διακόψασαι, αὐτὰ ἄλλα προάγουσι πράγματα· τὰ δ' ἐπὶ τοσοῦτον προχωρεῖν δύναται, ἐφ' ὅσον ἂν[d] μὴ ἄλλη ποθὲν ἐπιστᾶσα ἀρχὴ τὰ μετ' αὐτὴν μὴ τοῖς ἔμπροσθεν ἀκολουθεῖν ἀλλ' ἑαυτῇ κελεύσῃ. Εἴη δ' ἂν ἀρχή, καὶ ὄνος, καὶ κύων, καὶ ψύλλα. Οὐ γὰρ παραιρήσει οὐδὲ τῆς ψύλλης, μὰ τὸν Ἀπόλλω, τὴν ἐξουσίαν· ἀλλ' ὁρμήσει τινὰ ἰδίαν ὁρμὴν ἡ ψύλλα, ἢ καὶ τοῖς ἀνθρωπίνοις πράγμασιν ἐνίοτε συμπλακεῖσα ἀρχὴν ἑαυτὴν παρέξεταί τινος ὁδοῦ. Σὺ δὲ χρώμενος οὐκ αἴσθῃ τῷ γένει τούτῳ.

Τρηχῖν' ἐξεῖλες πόλιν Ἡρακλέος θείοιο,

---

sque provincias distributi ac divisi essent, qui tandem el tibi ea nosse contigit, vel series illa causarum eadem ter se potuit colligare? Nam si rursus Œdipus, sui juris uum esset, regnum occupare noluisset : aut si voluisset uidem ac simul occupasset, idem tamen Iocastam uxorem ucere non destinasset; aut si illam insuper in matrimonio abenti nequaquam tamen ægritudinis ac doloris vis mentiam injecisset, quomodo reliqua deinceps consecuta ssent? Quomodo aut oculos sibi eruisset, aut illas Euripidis tuasque diras suis ipse liberis imprecatus esset? Cætera deinceps, ubi priores deessent causæ, qua tandem ation evenissent? Quid tu ipse quod de rebus futuris ronuntiares, habuisses? Contra si Œdipi liberis aut ommuniter ex composito regnare, aut pactione de mutua egni successione inita stare conventis placuisset, itemque pulsus alter non Argos, sed vel in Libyam, vel ad Perhæbos migrare statuisset; aut si Argos appulsus salsamenta venditare decrevisset, ideoque non locupletem aliquam uxorem, sed manuum mercede inopiam tolerantem el copam ducere voluisset : aut si Adrastus filiam suam negasset, aut si dedisset ille quidem, sed hic tamen edire in patriam nentiquam cupivisset, vel si hujusmodi esiderio incensus, tamen se ipsum animumque vicisset : ut si vel auxilium implorantem Adrastus repulisset, vel drasto se comitem ac socium neque Amphiaraus, neque ydeus neque cæterorum ducum quisquam adjungere oluisset, aut si facta cum iis societate reversus in patriam anus fratri non intulisset, sed potius vel ex composito mperii consortem accivisset, vel nolenti ultro cessisset, Euripidi obsecutus ita præcipienti :

Vesanus etiam civium oppressor venis,

aut si non ille, sed frater potius imperium deposuisset, aliis hisce ejusdem poetæ cavillationibus inductus :

Hominibus ergo solque noxque serviant,
parem ipse quemquam ferre non possis domi?

quomodo tandem aut pugnam inter se ambo commisissent, aut sanguine contaminata universa Laii domus periisset? At vero hæc, inquies, jam acciderunt. Omnino. Sed quæro nunc, qua via istarum rerum scientiam consecutus sis. Non vides, quam sæpe totam fabulam interceperit quæ in nobis est ejus consummandæ facultas? Ego vero, quodcunque tu argumentum delegeris, eadem facilitate nexum hunc vestrum incidam, neque ullo modo stare posse convincam. Dices argumenti exitus te cognitos habere : atqui ex hujus quoque nexus interrupta vi argumentum illud universum aptum est. Num forte quid dicam, non intelligis? Oriuntur nimirum, o vates, ab ipsis animantibus in quovis argumento initia quædam, pauciora nonnunquam, interdum vero plura. Ubi autem ea rerum ad se pertinentium seriem interciderint, ipsarum quoque rationes et naturam mutant. Eædem porro eatenus duntaxat progredi poterunt, quatenus nullum aliud aliunde principium ingruet, quod secum, non autem cum superioribus sequentia cohærere jubeat. Fingamus ergo aliquod ejusmodi principium esse asinum, canem, pulicem, neque enim, per Apollinem, suam vel pulici facultatem eripias, sed suo ipse ac proprio feretur impetu, atque etiam rebus humanis interdum implicitus cujusdam viæ sese ducem præbebit. Tu autem a te quoque hoc animalium genus consuli non intelligis.

Amphitryoniadæ divi Trachina ruisti,

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ὦ Λοκρέ· σοὶ δὲ Ζεὺς ἄτας ᾽ὸῶκ᾽, ἠδ᾽ ἔτι δώσει.

Τί φής; Οὐ γὰρ ἐπέπρωτο ὑφ᾽ ὑμῶν ἐξαιρεθῆναι αὐτήν; Καὶ τί αἴτιοι ἡμεῖς, ἀλλ᾽ οὐχ ἡ ὑμετέρα ἀνάγκη; Οὐ δίκαια ποιεῖς, ὦ Ἄπολλον, οὐδ᾽ ὀρθῶς ἐπιτιμᾷς τοῖς οὐδὲν ἀδικοῦσιν ἡμῖν. Ὁ δὲ Ζεὺς οὗτος, ἡ τῆς ὑμετέρας ἀνάγκης ἀνάγκη, τί ἡμᾶς τίννυται, ἀλλ᾽ οὐκ (εἴπερ ἄρα) ἑαυτόν, ὅτι τοιαύτην κατέδειξεν εἶναι τὴν ἀνάγκην; Τί δὲ καὶ ἀπειλεῖ ἡμῖν; Ἢ τί ἡμεῖς, ὡς ὄντες τούτου κύριοι, λιμώττομεν; Ἀλλὰ καὶ ἥτοι ἀνοικισθήσεται πρὸς ἡμῶν, ἢ οὔ· ὁπότερον δ᾽ ἂν ᾖ, τοῦτο πέπρωται. Λῆξον δή, ὦ Ζεῦ λιμοποιέ, τοῦ θυμοῦ· ἔσται γὰρ ὃ πέπρωται, καὶ τοῦτο προστέτακται ποιεῖν ὁ σὸς εἱρμός· ἡμεῖς δὲ πρὸς τοῦτον οὐδέν ἐσμεν. Παῦσαι δὲ καὶ σύ, ὦ Ἄπολλον, μάταια χρησμῳδῶν· ἔσται γὰρ ὃ δὴ ἔσται, κἂν σὺ σιωπᾷς. Ἡμεῖς δέ, ὦ Ζεῦ καὶ Ἄπολλον, τί πάθωμεν, οὐδὲν ὄντες αἴτιοι τῆς ὑμετέρας νομοθετήσεως, τοῦτ᾽ ἔστιν ἀναγκοθετήσεως; Τί δ᾽ ἡμῖν καὶ ταῖς ὑμετέραις ἄταις, ἃς αὐτοὶ ἔχειν δίκαιοί ἐστε ὑπὲρ ὧν ἡμεῖς ἠναγκάσθημεν;

Οἰταῖοι, μὴ σπεύδετ᾽ ἀτασθαλίῃσι νόοιο.

Ἀλλ᾽ οὐ σπεύδομεν, ὦ Ἄπολλον, ἀλλ᾽ ἐλαυνόμεθα, οὐδὲ ἀτασθαλίαις, ἀλλὰ τῇ ὑμετέρᾳ ἀνάγκῃ. Τὸν δὲ Λυκοῦργον ἐκεῖνον πῶς, ὦ Ἄπολλον, ἐπαινεῖς, ὃς οὐκ ἦν ἀγαθός, οὔτε ἑκών, οὐθ᾽ ἑλόμενος, ἀλλ᾽ ἄκων; εἴπερ που καὶ γίνεταί τις ἀγαθὸς ἄκων. Ἔοικε δὲ νῦν ποιεῖτε, ὡς εἴ τις τοὺς μὲν καλοὺς τὰ σώματα ἐπαινοίη καὶ γεραίροι, τοὺς δὲ αἰσχροὺς ψέγοι καὶ κολάζοι. Δίκαια γὰρ εἴποιεν ἂν πρὸς ὑμᾶς οἱ πονηροί, ὅτι οὐκ ἐπετρέψατε ἡμῖν, ὦ θεοί, ἀγαθοῖς γίνεσθαι, οὐ μόνον δέ, ἀλλὰ καὶ ἐβιάσασθε εἶναι πονηρούς· οἵ τε ἀγαθοί, εἰ ἐξηγκωνισμένοι περιπατοῖεν, οὐκ ἐπιτρέψει τις αὐτοῖς, ἀλλὰ φήσει, Ὦ Χρύσιππέ τε καὶ Κλέανθες καὶ ὅσοι τούτου τοῦ χοροῦ, (ὑμεῖς γὰρ πεποίησθε εἶναι ἀγαθοί,) ἐγὼ μὲν ἀρετὴν ἐπαινῶ, ὑμᾶς δὲ τοὺς ἐναρέτους οὐκ ἐπαινῶ. Ἀλλὰ καὶ τὸν Ἐπίκουρον, ὃν σὺ πολλά, ὦ Χρύσιππε, ἐβλασφήμησας, ἐγὼ τό γε ἐπὶ σοὶ ἀφίημι τῶν ἐγκλημάτων. Τί γὰρ πάθῃ ὃς οὐχ ἑκὼν ἦν μαλακὸς οὐδὲ ἄδικος, ὥσπερ πολλάκις αὐτὸν ἐλοιδόρησας;

Εὐτάκτων θνητῶν βιοτῇ θεοὶ ἵλαοί εἰσιν,
εὐσεβέων θ᾽ ἁγίας θυσίας τιμάς τε δέχονται.

Δοκεῖτε δέ μοι οὐκ ἂν ταῦτα λέγειν, μὴ πεπεισμένοι ὅτι οὐκ ἄκοντες ἀλλὰ βουλόμενοι χωροῦσιν, ἐφ᾽ ἃ χωροῦσιν. Ἃ δ᾽ ἂν βουληθῶσι τῶν οὕτω προειλεγμένων, οὔτε θεὸς οὔτε ἄνθρωπος σοφιστὴς τολμήσει λέγειν ὅτι ὑποτέτακται· ἢ λόγους μὲν οὐκέτι πρὸς αὐτὸν,

---

o Locre, sed dura pœna te Juppiter urget.

Quid ais? Non vobis auctoribus urbi illi fatum fuit everti? Num forte nos hujus excidii molitores fuimus, ac non potius vestra necessitas? Injuste facis, o Apollo, neque merito nobis, qui nihil peccavimus, pœnas irrogas. At vester ille Juppiter, ista necessitatis vestræ necessitas, quorsum in nos, ac non potius, siquidem pœnas libet exigere, in se ipsum animadvertat, qui ejusmodi esse necessitatem ostenderit? Quorsum vero nobis minatur? quorsum ipsi, quasi ejus rei potestatem habeamus, fame premimur? Cæterum illa urbs aut restaurabitur a nobis, aut non restaurabitur: utrum autem eveniat, id fatale est. Desine ergo, Juppiter, famis architecte, gravius irasci. Erit enim, quod fato impendet, atque id tuus iste causarum ordo perficere jussus est: nos vero præ hoc ordine nihil sumus. Tu quoque, Apollo, desine vana edere oracula. Erit enim profecto quod futurum est, etiamsi tu taceas. Nos autem, Juppiter tuque Apollo, qua digni simus pœna, qui vestrarum legum, id est necessitatis a vobis adhibitæ auctores non simus? Quid nobis cum vestris illis pœnis ac furiis, quas ipsi profecto ob ea quibus nos necessario obstrinximus scelera, sustinere debeatis?

Ne ruat, Œtæi, vestræ vecordia mentis.

At non festinamus, o Apollo, sed agimur, nec vecordia, sed necessitate vestra. Jam vero Lycurgum illum, Apollo, cur laudibus effers, qui non sponte sua vel animi inductione probus erat, sed plane invitus? siquidem probus quisquam invitus esse potest. Perinde autem agitis, ac si quis homines egregia specie laudet præmiisque afficiat, turpes vituperet ac puniat. Merito enim vobis improbi objiciant, non modo virtutem sibi per vos minime colere licuisse, sed vobis etiam cogentibus sese fuisse improbos. Probos vero, si ansati ambulent, nemo ferat, sed, O Chrysippe, inquiat aliquis, et Cleanthes, vosque cæteri istius cohortis (vobis enim probitatem attribuitis), ego virtutem quidem laudo, sed vos virtute præditos non laudo. Quin etiam Epicurum illum, quem tu, Chrysippe, multis verborum contumeliis notasti, si res tuis decretis congruenter decernenda est, omni crimine absolvo. Qua enim pœna dignus sit, qui non sponte vel mollitiæ vel improbitati adhæserit, quod sæpius ei probrose objecisti?

In placidos hominum inclinant pia numina mores,
Horum etiam cultu et sacro lætantur honore.

Verum, ut mea fert opinio, nunquam hæc diceretis, nisi homines ad ea, quæ sequuntur, non vi ulla, sed voluntate sua duci vobis persuasum esset. Quæ autem instituerint mortales e genere rerum sic prædamnatarum: ea neque deus neque homo cavillator necessitati assignare audeat. Ant si quis tamen erit ejusmodi, non jam verbis cum eo contendamus, sed arrepta, tanquam adversus contumacem puerum, duriore scutica latera ejus egregie cædamus. Hæc tanta est disputatio, qua in vatem Oenomaus invehitur.

ριησόμεθα, σκύτος δέ τι τῶν εὐτόνων λαβόντες, ὡς τ' ἀνάγωγον παῖδα, τὰς πλευρὰς εὖ μάλα καταξαῦμεν αὐτοῦ. Τοσαῦτα πρὸς τὸν χρησμῳδὸν ὁ Οἰνόμαος ἀπετείνατο.

(Eusebius Præpar. Evang. lib. VI cap. 6 extr. t 7, pag. 255 B seqq. ed. Viger. [vol. II . 41-51 ed. Gaisford.] De singulis locis pauca nnotanda. Oraculum ἐχθρὲ περικτιόνεσσι κτλ. xstat etiam apud Herodotum VII, 148. Alterum εἰρωνος φίλε τέκνον κτλ. illustratur a Stephano v. Κάρυστος. Tertium Ἄγγειλον Παρίοις κτλ. profert Stephanus v. Θάσος. Scripsi : [a] ὅ, τι ποτέ ἐστιν αὐτὸ τοῦτο οὐκ εἰδώς cum Vigero] codd. ὅ, τι ποτέ ἐστιν αὐτὸ τοῦτο. —[b] αὐτοῦ cum eodem] codd. αὖ. — [c] συνίης] libri συνίεις. — [d] ἂν μὴ] libri ἐὰν μὴ. — [e] ἄτας] codd. ἄλλας. — [f] ἃ δ' ἂν βουλῃθῶσι τῶν οὕτω προειλεγμένων, οὔτε θεὸς οὔτε ἄνθρωπος σοφιστὴς] libri manu scripti ἃ δ' ἂν βουλῃθῶσιν, οὔτε θεὸς οὔτε ἄνθρωπος σοφιστής, οὕτω προειλεγμένων.)

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ. .....

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

DE MAXIMO CYNICO.

ΒΙΒΛΙΟΘΗΚΗ
ΚΟΥΡΙΛΑ

Maximus Ephesius (1) quem alii Epirotam sive Byzantium fuisse ajunt, Juliani Imperatoris præceptor ejusque epistolis nobilitatus, Cynicis annumerari et potest et solet. Hujus multa ingenii monumenta litteris mandata exstabant, quibus nomen suum ad immortalitatis memoriam consecravit. Nempe, si fides Suidæ (2), confecerat librum unum de insolubilibus objectationibus, alium de principiis, tertium de numeris; præterea commentarium in Aristotelem (3) atque alia quædam volumina Juliano dedicata conscripserat. Huc pertinebant sine dubio etiam variæ declamationes (μελέται διάφοροι) quas Maximo sophistæ assignat Photius cod. CXXXV. Sed vita honestissime acta, licet amplissimis honoribus et præmiis a Juliano decoratus esset, tamen quod magiæ illecebras exerceret, jussu Valentiniani interfectus est (4). Etenim virum cætera gregium a magicis vanitatibus non abhorruisse idem facit libellus ejus περὶ καταρχῶν sive de auspiciis rerum humanarum negotiorumque. Nimirum in hoc astrologorum illius ætatis more qui nugatores esse solebant, perversæ sapientiæ præcepta versibus tradit. Bene autem nobiscum agitur, quod istud tum philosophi tum astrorum interpretis carmen, quamvis initio mutilum, magna ex parte superest in codice Mediceo (5), ex quo transscriptum superiore sæculo edidit Jo. Alb. Fabricius Bibl. Græc. vol. VIII p. 415 seqq. Porro poema illud in pedestrem sermonem verum exstat Florentiæ in eadem Bibliotheca Mediicea (6). Ejus interpretationis, quam integram esse scimus, initium est : πῶς ὁ τεχθεὶς ἄνθρωπος ὑζιφωτούσης τῆς σελήνης ἔμπρακτος ἔσται κτλ. Primum caput est περὶ κτήσεως δούλων, secundum περὶ πλοῦ καὶ ἐμπορίας, quæ in carmine desiderantur. Sequuntur capita et ipsius carminis et interpretationis communia περὶ ὁδοιπορίας sive ξενιτείας, περὶ γάμου, περὶ νόσων, περὶ τομῆς, περὶ χειρουργίας, περὶ δραπετῶν, περὶ παίδων διδασκαλίας, περὶ γεωργίας, περὶ τῶν ἐν δεσμοῖς et περὶ κλοπῆς, in quibus e lunæ cursu per orbem signiferum vel errantium stellarum respectu æstimatur, quod sit auspicatissimum tempus suscipiendi itineris vel matrimonii contrahendi, vel qui futurus sit morbi eventus, vel quando sive venam incidi sive chirurgicam artem adhiberi oporteat, quando auspicato conducantur servi, pueri optime instituantur, ager colatur; quando spes sit fore ut homines e vinculis et captivitate liberentur vel res furtiva restituatur. Fuerunt qui Maximo tale carmen abjudicarent atque illud, quod sub ejus nomine fertur, poetæ Alexandrino, Callimachi et Apollonii Rhodii æquali, tribuerent (7). Utcunque est, præclarum esse carmen nemo negabit.

Accedo ad alterum ejus quod superesse voluit fortuna opusculum de *insolubilibus objectationibus*. Hoc in membranis Venetis D. Marci DVIII et DXII (8) servatum primus in lucem protulit Carolus Stephanus subjunxitque Dionysii Halicarnassensis epistolæ ad Pompejum Parisiis 1554. Postea Jo. Alb. Fabricius eandem disputationem græce et latine repetiit in Bibl. Gr. vol. IX p. 569 seqq.; Chr. Walzius autem Rhett. Græc. tom. V inclusit, unde nos depromtam, recognitam et accurate conversam hic inseremus. Nam quominus carmen denuo divulgaremus summa A. Kœchly et Fred. Dübneri obstitit diligentia, qui illud jam pridem cum paraphrasi Florentina in Bibliothecæ hujus volumine XXII publicarunt.

(1) Socrates hist. III, 1. Nicephorus X, 1. — (2) Suidas, Μάξιμος, Ἠπειρώτης ἢ Βυζάντιος φιλόσοφος, Ἰουλιανοῦ Καίσαρος τοῦ παραβάτου διδάσκαλος. Ἔγραψε περὶ ἀλύτων ἀντιρρήσεων, περὶ καταρχῶν, περὶ ἀριθμῶν, ὑπόμνημα εἰς Ἀριστοτέλην καὶ ἄλλα τινὰ πρὸς τὸν αὐτὸν Ἰουλιανόν. Cf. Eudocia in Villoison. Anecd. vol. I p. 300. — (3) Conf. Simplicius in Categ. fol. 1 a. — (4) Eunapius vit. Maximi. — (5) XXVII plut. 28 teste Bandinio Catal. codd. ms. gr. II p. 52. — (6) Bandin. Catal. codd. ms. gr. II p. 61, nr. XVII cod. XXXIV. — (7) Ruhnkenius Epist. ad Heynium Opusc. vol. II p. 687 ed. Friedemann. — (8) Catal. p. 273 et 275.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΑΓΓΕΛΙΚΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΗΣΗ ΑΡΙΘ.

ΜΑΞΙΜΟΥ ΠΕΡΙ ΑΛΥΤΩΝ ΑΝΤΙΘΕΣΕΩΝ ΒΙΒΛΙΟΝ.

Αἱ ἄλυτοι ἀντιθέσεις ὅτι μὲν οὐκ ἐπιδέχονται λύσιν ἐμφανῆ, πρόδηλον· οὐ γὰρ ἂν εἶεν ἄλυτοι, εἰ ἐπιδέχοιντο λύσιν· ὅτι δὲ μεθόδου τινὸς πρὸς αὐτὰς χρεία, ἐμφανές ἐστι. Πόθεν οὖν αἱ μέθοδοι πρὸς τὰς ἀλύτους ἀντιθέσεις; ἐροῦμεν ἃς εὑρήκαμεν.

α'. Ἐὰν ἐμπίπτῃ ἄλυτος ἀντίθεσις, ἢ ἐν προσχήματι τοῦ δοκεῖν λύειν, ἀντικατηγορεῖν τοῦ ἀντιδίκου.

β'. Ἢ εὐπροσώπως μὴ ἔχοντα λῦσαι, ἀναβαλέσθαι εἰς ἕτερον χρόνον τὴν λύσιν.

γ'. Ἢ συνδραμόντα, οὕτως ἀντικατηγορεῖν τοῦ ἀντιδίκου.

δ'. Ἢ πάλιν συνδραμόντα, τῷ δικαίῳ ἀντιθεῖναι τὸ συμφέρον.

ε'. Ἢ τὸν δικαστὴν ἀπάγειν μὲν ἀπὸ τῆς ἀλύτου ἀντιθέσεως, εἰς ἕτερα δὲ πράγματα κρινόμενα ἐμβιβάζειν.

ς'. Ἢ μετὰ αἰτίας λύειν τὴν δοκοῦσαν ἄλυτον εἶναι.

ζ'. Ἢ πολλάκις τὴν ἄλυτον ὑπομερίσαντα, κατὰ μέρος εἰσάγοντα δοκεῖν λύειν.

η'. Ἢ μὴ τιθέντα, διὰ λόγου πρὸς αὐτὴν βλέποντας λύειν.

θ'. Ἢ παραινετικῶς καὶ ὥσπερ κηδόμενον τοῦ ἀντιδίκου, μεθοδεύειν τὴν ἄλυτον ἀντίθεσιν ἐν αὐτῇ τῇ παραινέσει.

ι'. Πάλιν, ἐὰν ἄλυτος ἀντίθεσις, προστιθέναι τι αὐτῇ εὔλυτον, ἵνα ἀπὸ τοῦ εὐλύτου ἀφορμὴ λύσεως γένηται.

ια'. Ἢ μηδὲ μεμνῆσθαι τῆς ἀλύτου τοπαράπαν, εἰ ἤλπικε τὸν δικαστὴν αὐτῆς ἐπιλελῆσθαι.

ιβ'. Ἢ συνδραμόντα, τὴν γνώμην διαβάλλειν τοῦ ἀντιδίκου.

ιγ'. Ἢ μὴ τιθέντα πειρᾶσθαι λύειν, προσρίπτοντα τὴν λύσιν ὡς ἐν ἀφηγήσεως τρόπῳ, καὶ σπουδὴν ἔχειν ἵνα μὴ τὸ κρινόμενον γένηται.

ιδ'. Ἢ ὄνομα ἀντ' ὀνόματος θέντα, οὕτω τῷ εὐλύτῳ ὀνόματι συμπλεκόμενον δόξαι λύειν.

ιε'. Ἢ ἐν προσχήματι τοῦ δοκεῖν πλείους παρέχεσθαι λύσεις, ἀπάγειν μὲν ἀπὸ τοῦ ῥητοῦ τοῦ ὄντως ἀλύτου τοὺς δικαστάς, τὴν δὲ γνώμην ἐξετάζειν τοῦ νομοθέτου, μεθ' ἧς γέγραφε τὸν νόμον.

ις'. Ἢ ἐὰν ἰσάζωσιν αἱ ἀντιθέσεις, ἐκ διαβολῆς τοῦ ἀντιδίκου καὶ οἰκείας συστάσεως ἀντερωτῶντα, οὕτως λύειν τὴν ἰσάζουσαν μέν, ἄλυτον δὲ εἶναι δοκοῦσαν.

MAXIMI DE INSOLUBILIBUS OBJECTATIONIBUS LIBER.

Objectationes insolubiles patet non admittere evidentem solutionem; hanc enim si admittant, non fuerint insolubiles. Hinc manifestum est, via aliqua et ratione adversus illas esse opus. Quibus igitur viis et artibus adversus insolubiles objectationes utemur? Dicam quas reperi.

1. Quando insolubilis incidit objectatio, licebit causando solutionem adversarium vicissim accusare.

2. Aut ubi non suppetit quo directe et commode solvamus, solutionem in aliud tempus differre.

3. Aut concedendo litem suam adversus alterum facere.

4. Aut rursus concedentem utile justo opponere.

5. Vel judicem avocare ab insolubili objectatione et ad alia, de quibus contenditur, contemplanda impellere.

6. Vel causa allata solvere objectationem, quæ solvi non posse videbatur.

7. Vel insolubilem in plures dividere partes, atque ita sigillatim inducendo solvere videri.

8. Vel non diserte ponere, oratione tamen eam respiciendo solvere.

9. Vel adhortando ac velut adversarii partibus favendo, objectationem insolubilem in ipsa adhortatione evertere.

10. Rursus, si insolubilis sit objectatio, illi rem explicabilem annectere, atque ita ex eo quod explicari potest solutionis petere occasionem.

11. Vel omnino non facere insolubilis objectationis mentionem, si quis speret judicem illius esse oblitum.

12. Vel concedendo, adversarii voluntatem perstringere.

13. Vel non diserte ponere et tamen solvere tentare objectationem, solutione quasi narrationis in modum adjuncta, ac dare operam, ne res controversa sit.

14. Vel vocabulum ponere pro vocabulo, atque ita si explicabili voci adhærescamus, videri solvere objectationem.

15. Vel per speciem plurium solutationum afferendarum judices abducere a dicto vere insolubili, et legum latoris in ista lege scribenda voluntatem scrutari.

16. Vel si objectationes pares sint, ex adversarii criminatione suique commendatione vicissim interrogare, atque ita solvere objectationem æque gravem quidem, sed insolubilem visam.

Εἴπωμεν οὖν ἑκάστου τούτων τὰ παραδείγματα, ἃ προεθέμεθα ἐν τάξει ἀλύτου, ἀπ' αὐτοῦ τοῦ ῥήτορος τὰς μεθόδους τῶν ἀλύτων ἀντιθέσεων λαμβάνοντες.

α'. Ἐν μὲν οὖν προσχήματι τοῦ δοκεῖν λύειν ἄλυτον οὖσαν τὴν ἀντίθεσιν, ἀντικατηγορεῖ ὁ ῥήτωρ ἐν τῷ κατ' Αἰσχίνου. Κακῶς οἱ στρατηγοὶ ἐχρῶντο τῷ πολέμῳ, καὶ διὰ τοῦτο εἰρήνην ἐπράξαμεν. Οὐ δυνάμενος λῦσαι ταύτην ὁ ῥήτωρ, ἀντικατηγορῶν φάσκει· Ἂν δὴ ταῦτα λέγῃ, πρὸς θεῶν ἀντερωτήσατε [b] αὐτὸν μεμνημένοι, πότερον ἐξ ἑτέρας τινὸς πόλεως ᾤχετο πρεσβεύων, ἢ ταύτης αὐτῆς. Εἰ μὲν γὰρ ἐξ ἑτέρας, ἣν κεχρατηκέναι τε τῷ πολέμῳ φήσει, καὶ χρηστοὺς ἔχειν στρατηγούς, εἰκότως χρήματα εἴληφεν· εἰ δὲ ἐκ ταύτης αὐτῆς, τίνος ἕνεκα ἐφ' οἷς ἡ πέμψασα πόλις τῶν αὐτῆς ἀφέστηκεν, ἐπὶ τούτοις οὗτος δῶρα προσλαβὼν φαίνεται; Ἀδυνατῶν γὰρ δεῖξαι ὅτι οὐ κακῶς οἱ στρατηγοὶ ἐπολέμουν, διὰ τοῦτο οὖν φησιν ἀντικατηγορῶν, δῶρα εἰληφας.

β'. Ἐὰν δὲ μὴ ἔχῃς λῦσαι ἀντίθεσιν εὐπροσώπως, ἀναβάλλου [c] τὰς λύσεις τῶν εἰρημένων· εἰς ἕτερον χρόνον παρέξομαι. Ἢ, νῦν διὰ τόδε οὐ πεποίηκα, ἢ, παρὰ τόδε [d] ποιήσω. Οὕτως ὁ Δημοσθένης ἐν τῷ κατὰ Ἀνδροτίωνος. Ἂν τοίνυν λέγῃ περὶ τοῦ τῆς ἑταιρήσεως νόμου, ὡς ὑβρίζομεν ἡμεῖς καὶ βλασφημίας οὐχὶ προσηκούσας κατ' αὐτοῦ [e] ποιούμεθα, δέον πρὸς τοὺς θεσμοθέτας, ἐλέγχειν, ἵνα ἐκεῖ περὶ χιλίων ἐκινδυνεύομεν [f], ὑποβάλλετε αὐτῷ, ὅτι καὶ τοῦτο ποιήσομεν ὕστερον, ἐπειδὰν νῦν περὶ ὧν εἰσῆκται, δῷ λόγον. Οὔτε γὰρ ἀδύνατος εἶναι δόξεις λῦσαι τὴν ἀντίθεσιν, καὶ ἀναβολὴν μετὰ ἀπολογίας εἰργασμένος ἀξιοπίστως, ἀπάξεις ἀπὸ τῆς ἀντιθέσεως οὔσης ἀλύτου τὸν δικαστήν.

γ'. Συνδράμῃς [g] δὲ τῇ ἀλύτῳ ἀντιθέσει, καὶ συνδραμὼν ἀντικατηγορήσεις τοῦ ἀντιδίκου. Πάλιν γὰρ τοῦτο ἐπὶ τῶν ἀλύτων θεωρήματι παρασχετέον παράδειγμα, μικρᾶς καὶ ἀσθενοῦς καὶ γλίσχρου τῆς διαφορᾶς οὔσης ἐνταῦθα. Ὡς Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου· Εἶπε τοίνυν μοί τις ἄρτι προσελθὼν πρὸ τοῦ δικαστηρίου πρᾶγμα καινότατον πάντων, Χάρητος κατηγορεῖν αὐτὸν παρεσκευάσθαι, καὶ διὰ τούτου τοῦ τρόπου καὶ τούτων τῶν λόγων ἐξαπατήσειν ὑμᾶς ἐλπίζειν. Ἐγὼ δὲ ὅτι πάντα μὲν τρόπον κρινόμενος Χάρης εὑρεθήσεται πιστῶς καὶ εὐνοϊκῶς, ὅσον ἦν ἐπ' ἐκείνῳ, πράττων ὑπὲρ ὑμῶν· διὰ δὲ τοὺς ἐπὶ χρήμασι λυμαινομένους τοῖς πράγμασι, πολλῶν ὑστερῶν, οὐ σφόδρα διϊσχυρίζομαι, ἀλλ' ὑπερβολὴν ποιήσομαι. Ἔστω γάρ, πάντα τἀληθῆ λέξειν περὶ αὐτοῦ τουτονί· καὶ οὕτω τοίνυν κομιδῇ γέλως ἐστὶ κατηγορεῖν ἐκείνου τουτονί. Ἐγὼ γὰρ Αἰσχίνην οὐδενὸς αἰτιῶμαι τῶν ἐν τῷ πολέμῳ πραχθέντων· τούτων γάρ εἰσιν ὑπεύθυνοι οἱ στρατηγοί. Οὐδὲ τοῦ ποιήσασθαι τὴν πόλιν εἰρήνην· ἀλλ' ἄχρι τούτου πάντα ἀφίημι. Τί οὖν λέγω, καὶ πόθεν ἄρχομαι κατηγορεῖν; τοῦ, ποιουμένης τῆς πόλεως εἰρήνην, Φιλοκράτει συνειπεῖν, ἀλλὰ μὴ τοῖς τὰ βέλτιστα γράφουσι· τοῦ δῶρα εἰληφέναι, τοῦ ἐξαπα-

Ponamus igitur horum singulorum, quæ deinceps de insolubili exposuimus, exempla, a Demosthene ipso retundendarum insolubilium objectationum rationes mutuati.

1. Causando igitur solutionem objectationis, quam solvere non poterat, vicissim accusat adversarium orator in oratione adversus Æschinem. *Duces male rem gesserunt in bello, ideoque pacem* (cum Philippo) *fecimus.* Eam objectationem quum non posset solvere orator, vicissim accusans ait : *Quæ si dixerit, per deos obtestor vos, ut memineritis eum vicissim interrogare, utrum ex alia urbe legatus abierit, an ex hac eadem. Nam si ex alia, quam bello superiorem fuisse dicet, ac bonos duces habuisse, merito pecuniam accepit. Sin ex hac ipsa, qua gratia propter quæ urbs, a qua missus erat, suis bonis cessit, ob ea ipse dona accepisse comperitur.* Quum enim non possét ostendere, duces in bello rem non male gessisse, idcirco vicissim accusando eum arguit dona accepisse.

2. Si non possis commode solvere objectationem, eorum quæ dicta sunt solutionem hunc in modum differ : Alio tempore dabo responsum. Vel, nunc propterea responsione abstinui, vel, tunc huic objectationi satisfaciam. Sic Demosthenes in oratione contra Androtionem : *Quodsi de impudicitia dixerit nos esse injurios et falsa in se maledicta conjicere, apud Seviros accusationis fidem faciendam fuisse, ut ibi de mille drachmis* (pro calumnia pendendis) *periclitaremur : monete ipsum, nos hoc deinceps esse facturos, postquam horum, de quibus agitur, rationem nunc reddideris.* Ita enim nec videberis solvere objectationem non posse, et te defensurus de dilatione persuadebis judici, ideoque eum ab objectatione insolubili abduces.

3. Concedendo objectationem quæ solvi nequit, eique assentiendo accusabis vicissim adversarium. Nam rursus et istud exemplum in doctrina hac de insolubilibus objectationibus afferre juvat, licet parva hæc sit levisque et lubrica differentia. Sic autem Demosthenes oratione adversus Æschinem : Modo igitur ante tribunal quidam venit, et mihi rem dixit omnium maxime mirandam, instituisse eum Charetem accusare, atque eo modo et iis verbis decipi vos posse sperare. Ego vero, si accusetur Chares, inventum eum iri fideliter et benevole omnibus modis pro vobis egisse, quantum in ipso fuerit : propter eos autem qui pretio corrupti negotia perderent, multis fuisse inferiorem, non magnopere contendo, sed nimium isti largiar. Esto, vere Æschines de eo dicat omnia : etiam sic tamen admodum ridiculum erit, eum ab isto accusari. Ego enim nihil, quod in bello commissum est, Æschini imputo, earum enim rerum rationem duces reddunt; neque pacem factam a republica : sed hactenus omnia condono. Quid igitur dico et unde accusare incipio? Quod, quum pacem respublica faceret, Philocrati suffragatus est, non iis qui optima suadebant : quod munera accepit, quod fucum

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

τῆσαι. Συνδραμὼν γὰρ ὅτι κακῶς ἐπολέμει Χάρης, οὕτω κατηγορῶν Αἰσχίνου προδοσίαν ἐπὶ τῷ συνειπεῖν Φιλοκράτει, ἀξιόπιστος ἔδοξεν εἶναι, ὅτι καὶ δῶρα εἴληφε, λέγων.

δ'. Συνδραμὼν δὲ πάλιν οἷς ὁ ἀντίδικος λέγει δικαίοις οὖσι, τὸ συμφέρον ἀντιτίθησιν οὕτως, ὡς ὁ Δημοσθένης πάλιν ἐν τῷ κατ' Αἰσχίνου. Λέγοντος γὰρ Αἰσχίνου ὅτι Πονηροὶ Φωκεῖς ἦσαν, καὶ ἐχρῆν αὐτοὺς ἀπολωλέναι, οὐκ ἀντέστη μέν, συνδραμὼν δὲ ἔφη, Ἀλλὰ συνέφερεν αὐτοὺς σώους εἶναι τῇ πόλει. Οὐδὲ γὰρ Λακεδαιμονίους διὰ τὴν ἀρετὴν αὐτῶν ποτε ἐσώσατε, οὐδὲ τοὺς καταράτους Εὐβοέας, ἀλλ' ὅτι συνέφερε τοῦτο τῇ πόλει.

ε'. Ἀπὸ δὲ τῆς αὐτοῦ ἀντιθέσεως ἣν ὁ ἀντίδικος παρέχεται, μεταβιβάσεις τὸν δικαστὴν ἐφ' ἑτέραν ἀντίθεσιν, τὴν μὲν ἄλυτον, μὴ συνεκτικὴν εἶναι λέγων τοῦ παρόντος ἀγῶνος, ἣν δὲ ἀντεισάγεις σύ. Οὕτως ἐν τῷ κατὰ Τιμοκράτους ὁ ῥήτωρ πεποίηκε λόγῳ. Λέγοντος γὰρ τοῦ Τιμοκράτους ὅτι ἐκτέτισται τὰ χρήματα Ἀνδροτίωνι καὶ Γλαυκέτῃ καὶ Μελανώπῳ, ὑπὲρ ὧν αἰτίαν ἔγω θεῖναι τὸν νόμον, ὡς ὀφειλόντων ἔτι τῇ πόλει, φησίν, Ἀλλ' οὐ περὶ τούτων κρίνεται νῦν, εἴτε ἐκτέτισται τὰ χρήματα τούτοις, εἴτε μή· ἀλλ' εἰ παράνομον ἔγραψε Τιμοκράτης ψήφισμα. Ἀπαγαγὼν γὰρ τῆς ἀλύτου ἀντιθέσεως, τῆς λεγούσης ὅτι ἐκτέτισται τὰ χρήματα αὐτοῖς, οὐχ ὑπὲρ τούτων κρίνεται, λέγων, καὶ οὐχ ὑπὲρ τούτων ἔγραψα τὸν νόμον, τὸ παράνομον ἐπήγαγεν εἰπών, ὡς παρανόμου τῆς γραφῆς οὔσης ὑπὲρ ἧς ἥκουσι κρίνοντες.

ς'. Μετὰ αἰτίας δὲ τὸ πιστὸν τῶν πραχθέντων παρέξεις, τὰς ἀλύτους ἀντιθέσεις μεθοδεύων. Ὡς ὁ Δημοσθένης ἐν τῷ ὑπὲρ Φορμίωνος, λέγοντος Φορμίωνος, Ἡ μήτηρ οὖν ἡ σὴ τὰς διαθήκας ἐμοὶ πεισθεῖσα ἐξήλειψε [h], καὶ ἐρωτῶντος ἐδόκει ἀπίθανον εἶναι τὸ τὸν Φορμίωνα προτιμηθῆναι ὑπὸ τῆς Ἀπολλοδώρου μητρός. Μετὰ τῆς αἰτίας οὖν τὸ πιστὸν παρήγαγεν, εἰπών, ὅτι μὴ ἀπίστει. Διέφθαρται γὰρ ἡ μήτηρ, καὶ οὐ δοῦλος ἦν Φορμίων ἀλλ' ἀνήρ. Τὸ δὲ ἐπαχθὲς ἔφυγε, τῷ δόξαι μητρὸς κατηγορεῖν, προσεπισημηνάμενος ὅτι ἀναγκαζόμενος καὶ οὐχ ἑκὼν λέγει ταῦτα.

ζ'. Ὅταν δὲ ἀλύτου ἀντιθέσεως μέρη διαιρῇς, πειράσῃ μεθοδεύειν, ὡς ὁ Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου πεποίηκε. Λέγοντος γὰρ Αἰσχίνου ὅτι καὶ Χερρόνησος ὑμῖν ἀπὸ τῆς εἰρήνης περιγέγονε, καὶ εἰρήνην ἔχετε ἀντὶ πολέμου, καὶ τριήρεις τριακοσίας, καὶ σκευὴ ταύταις καὶ χρήματα, οὐ δυνάμενος πρὸς ἅπαντα ταῦτα ὁ Δημοσθένης ἀθρόως ἀντιστῆναι, οὐδὲ ὡς οὐκ ἔστιν ἀληθῆ δεῖξαι, διεῖλε τὴν ἀντίθεσιν εἰς τρία μέρη. Καὶ κατὰ μέρη εἰσαγαγὼν οὕτως τῆς διαιρέσει μεθώδευσε τὴν ἄλυτον ἀντίθεσιν, καὶ ταῖ λύσεσιν ἐσοφίσατο, ἀλύτων ὄντων καὶ τῶν μερῶν. Ἐν μὲν γὰρ τῇ πρώτῃ τὴν Χερρόνησον ἔχετε ἐξ ἧς σῖτος ἄφθονος ὑμῖν κομίζεται, ἐν τῇ εἰσαγωγῇ τὴν δοκοῦσαν λύσιν διὰ τῆς ἀντικατηγορίας παρέστησεν, εἰπὼν

fecit. Postquam enim concessit Charetem male in bello se gessisse, ita dum arguit Æschinem proditionis, quod Philocrati esset suffragatus, fide dignus etiam videtur, quando munera eum accepisse affirmat.

4. Largitus rursus ea quæ adversarius justa et æqua objicit, utilitatem opponit ita, ut Demosthenes iterum in oratione adversus Æschinem. Quum enim ille dixisset malos fuisse Phocenses, et perire oportuisse : non adversatus est sed astipulatus ei : At reipublicæ, inquit, intererat eos incolumes servari. Neque enim Lacedæmonios propter virtutem olim conservastis, neque nefarios illos Euboenses, sed quod eos incolumes esse reipublicæ expediebat.

5. Ab objectatione qua utitur adversarius, judicem abduces ad aliam objectationem; illamque insolubilem negabis cohærere cum præsenti controversia, sed hanc potius quam tu vicissim affers. Sic Demosthenes in oratione adversus Timocratem, quum ille dixisset pecuniam solutam esse ab Androtione, Glaucete et Melanopo, pro quibus accusor legem tulisse, ut qui civitati adhuc debuerint : respondet non jam quæri, utrum pecunia ab illis soluta sit nec ne, sed feceritne Timocrates decretum legibus contrarium. Quippe abducens judices ab insolubili objectatione, quod pecunia soluta ab illis esset, Non de hoc, inquit, contenditur, neque de hoc legem tuli, sed objicit de insolentia, et actionem ipsam de qua jam litigent, legibus repugnare.

6. Causa allata fidem rebus facies, atque ita insolubiles objectationes declinabis. Sic Demosthenes in oratione pro Phormione, quum Phormio diceret, *mater tua*, Apollodore, *mihi obsecuta testamenti tabulas delevit* et proposita quæstione videretur incredibile Phormionem ab Apollodori matre prælatum esse filio, causa allata fidem rei facit aitque, *noli diffidere; mater enim fuit corrupta, nec servus erat Phormio, sed vir.* Reique invidiam effugit, quod matrem videbatur accusare, significans coactum et invitum se hæc dicere.

θαλε, ἔφη. Horatius Serm. lib. II, 3, 100 : quid simile ist Græcus Aristippus? qui servos projicere aurum in media jussit Libya, quia tardius irent propter onus segnes. Ausonius Idyllio XXXI : spargit Aristippus mediis in Syrtibus aurum. — (22) Diogenes Laertius lib. II, 77 : πλέων ποτέ, ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικόν, λαβὼν τὸ χρυσίον ἠρίθμει· ἔπειτα ἐς θάλατταν, ὡς μὴ θέλων, παρακατέβαλε, καὶ δῆθεν ἀνώμωξεν. Οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτόν, ὡς ἄμεινον ταῦτα ὑπ' Ἀριστίππου, ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι. Vide fragm. 36. — (23) Luciani Schol. ad Menipp. p. 20, 7, de Aristippo : παρῆν Διονυσίῳ τῷ πρεσβύτῃ κατὰ τὴν Σικελίαν κτλ. — (24) Diogenes Laertius lib. II, 78 : καί ποτε παρὰ πότον κελεύσαντος Διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, (φασὶ) τὸν μὲν Πλάτωνα μὴ προσέσθαι εἰπόντα· Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν. Τὸν δὲ Ἀρίστιππον λαβόντα καὶ μέλλοντα ὀρχήσασθαι εὐστόχως εἰπεῖν· Καὶ γὰρ ἐν βακχεύμασιν οὕτ' ἤ γε σώφρων οὐ διαφθαρήσεται. Suidas : καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθών, καὶ πίνων, ἐνίκα, καὶ ὀρχήσεως τῆς ἄλλης κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ προσκομιζομένης αὐτῷ τῆς στολῆς εἶπεν Εὐριπίδου ἰαμβικά, Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν, Ἄῤῥην πεφυκώς, καὶ γένους ἐξ ἄῤῥενος. Ἀρίστιππος δὲ δεξάμενος καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ, Καὶ γὰρ ἐν βακχεύμασιν ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται. Vid. fragm. 39. — (25) Diogenes Laertius lib. II, 67 : Διονυσίου ποτέ, τριῶν ἑταιρῶν οὐσῶν, μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπών· Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι. Ἀπαγαγὼν μέντοι, φασίν, αὐτὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. Οὕτως ἦν καὶ ἐλέσθαι καὶ καταφρονῆσαι πολύς. Vid. fragm. 2. — (26) Diodorus Siculus lib. XV cap. 76 : ὑπῆρξαν δὲ κατὰ τούτους τοὺς χρόνους ἄνδρες κατὰ παιδείαν ἄξιοι μνήμης Ἰσοκράτης τε ὁ ῥήτωρ καὶ οἱ τούτου γενόμενοι μαθηταὶ καὶ Ἀριστοτέλης ὁ φιλόσοφος, ἔτι δὲ Ἀναξιμένης ὁ Λαμψακηνὸς καὶ Πλάτων ὁ Ἀθηναῖος, ἔτι δὲ τῶν Πυθαγορικῶν φιλοσόφων οἱ τελευταῖοι, Ξενοφῶν τε ὁ τὰς ἱστορίας συγγραψάμενος ἐσχατογήρως ὤν (μέμνηται γὰρ τῆς Ἐπαμεινώνδου τελευτῆς μετ' ὀλίγον χρόνον γεγενημένης), Ἀρίστιππός τε καὶ Ἀντισθένης, πρὸς δὲ τούτοις Αἰσχίνης ὁ Σφήττιος ὁ Σωκρατικός. — (27) Diogenes Laertius lib. II, 72 : τὰ ἀριστα ὑπετίθετο τῇ θυγατρὶ Ἀρήτῃ συνασκῶν αὐτὴν ὑπεροπτικὴν τοῦ πλείονος εἶναι. In eandem sententiam personatus Aristippus : ὑποτίθεμαι δέ σοι τὰ πρὸς ἄρχοντας οἰκονομεῖν, ὥστε τὸ ἐμὸν συμβούλευμα τοῦτο συμφέρον δέχεσθαι. Τοῦτο δὲ ἦν μὴ τοῦ πλείονος ὀριγνᾶσθαι. Vide fragm. 74. — (28) Diogenes Laertius lib. II, 81 : ἐκδεξάμενος τὸ ἀργύριον παρὰ Διονυσίου, Πλάτωνος ἀραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, Ἐγὼ μὲν γάρ, εἶπεν, ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ἐνδεής. — (29) Diogenes Laertius lib. II, 67 : Διονυσίου προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος, Εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι χρέμματι ῥανθῆναι, ἵνα βλέννον λάβω; vid fragm. 3. — (30) Diogenes Laertius lib. II, 69 : ἐρωτηθεὶς ὑπὸ Διονυσίου· διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη· Ὅτι οἱ μὲν

Reprehensus (31) a Platone quondam, quod magnifice viveret : Nonne, inquit, vir bonus tibi videtur esse Dionysius? Eo assentiente : Atqui ille, ait, me lautitia superat. Quamobrem nihil obstat, quominus et magnifice et honeste vivamus. Cogente (32) eum aliquando Dionysio, ut de quodam philosophiæ loco dissereret, Ridiculum est, inquit, te ex me dicendi rationem quærere, quando autem dicendum sit, mihi præscribere. Quam rem indignatus Dionysius in infimo lecto accumbere jussit. Sed ille, Horatiorem, inquit, hunc locum esse voluisti. Interroganti Dionysio (33), quo animo venisset, respondit : Ut quæ habeo tibi impertiam, quæ non habeo accipiam. At quidam eum sic respondisse referunt : Quando sapientia egebam, adii Socratem ; nunc pecunia egens ad te veni. Alio tempore quum pro amico Dionysium deprecaretur (34), neque tamen orando quidquam impetraret, ad pedes ejus provolutus hominem flexit. Cavillanti igitur quidam, Non ego, inquit, culpandus sum, sed Dionysius qui aures in pedibus habet. Exprobranti, quod a Socrate ad Dionysium se contulisset (35), Atqui, inquit, doctrina indigens ad Socratem sum profectus, ad Dionysium vero animi relaxationem et requiem quærens. Interrogatus (36), qua in re a Dionysio objurgaretur, In eadem, inquit, in qua cæteri me objurgant. Poscebat (37) nummos Dionysium ; ille autem, Atqui dixisti, inquit, sapientem nullius rei inopia laboraturum. Tum sermone ejus excepto *Da*, inquit, *et postea de hac re quæramus :* sed simul atque dedit : Videsne, ait, me non indiguisse. Quum Dionysius ipsum sic allocutus esset (38) :

> Quisquis tyranni scilicet intrat regiam,
> fit servus ejus, liber etsi venerit ;

respondit :

> Non servus ille fit, si liber venerit.

Præterea quum idem tyrannus Aristippo exprobraret, quod nullam ex ejus amicitia utilitatem cepisset, Vera loqueris, inquit, si quid enim tibi profuissem, tyrannide tanquam morbo comitiali liberatus esses (39). Denique, si fides Pseudoaristippo in Epistola ad Areten filiam, Cyrenæus exacta septuaginta quinque fere annorum vita primo Olympiadis 105 anno sive ante Chr. n. 360 in insula Lipara mortuus videtur (40).

Transeo ad Aristippi cæterorumque Cyrenaicorum decreta. Duas perturbationes statuebant, dolorem et voluptatem : voluptatem lenem motum, dolorem vero asperum appellantes : nihil differre voluptatem a voluptate, neque aliud alio suavius esse. Atque illam quidem cunctis animantibus jucundam, hunc infestum esse. Voluptatem vero corporis, non stabilem illam, quæ in doloris privatione consistat, et quasi molestiæ vacuitatem, quam Epicurus admittit, finem bonorum esse dicunt. Videtur autem eis et finis a felicitate differre : quippe finem esse singularem voluptatem, contra felicitatem ex peculiaribus voluptatibus constare : peculiarem quoque voluptatem propter se ipsam

ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν. Vid. fragm. 8. — (31) Diogenes Laertius lib. II, 69 : ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν ὑπὸ Πλάτωνος, ἔφη· Ἆρα φαίνεταί σοι Διονύσιος ἀγαθός; Τοῦ δ' ὁμολογήσαντος, Καὶ μήν, ἔφη, ζῇ ἐμοῦ πολυτελέστερον· ὥστ' οὐδὲν κωλύει καὶ πολυτελῶς καὶ καλῶς ζῆν. — (32) Diogenes Laertius lib. II, 73 : ἀναγκαζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, Γελοῖον, ἔφη, εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ, τὸ δὲ πότε δεῖ λέγειν σύ με διδάσκεις. Ἐπὶ τούτῳ δὲ ἀγανακτήσαντα τὸν Διονύσιον ἔσχατον αὐτὸν κατακλῖναι· καὶ τὸν, Ἐνδοξότερον, φάναι, τὸν τόπον ἠθέλησας ποιῆσαι. Athenæus lib. XII p. 544 B : καὶ ταῖς Διονυσίου πολυτελείαις ἔχαιρε, καίτοι πολλάκις ἐνυβριζόμενος. Ἡγήσανδρος γοῦν φησιν ; ὡς καὶ ἀδόξου ποτὲ κλισίας παρ' αὐτῷ τυχών, ἤνεγκεν, ἐρωτήσαντός τε τοῦ Διονυσίου, τί φαίνεται ἡ κατάκλισις πρὸς τὴν χθές, ἔφησε παραπλησίαν εἶναι. Ἐκείνη τε γάρ, ἔφησεν, ἀδοξεῖ τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξοτάτη· δι' ἡμᾶς· αὕτη δὲ τήμερον καὶ ἔνδοξος γέγονε διὰ τὴν ἡμετέραν παρουσίαν, χθὲς δὲ ἠδόξει, μὴ παρόντος ἐμοῦ. Vid. fragm. 24. — (33) Diogenes Laertius lib. II, 77-78 : Διονυσίου ποτὲ ἐρομένου, ἐπὶ τί ἥκοι, ἔφη· Ἐπὶ τὸ μεταδώσειν ὧν ἔχει, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. Ἔνιοι δὲ (φασὶν) οὕτως ἀποκρίνασθαι· Ὁπότε μὲν σοφίας ἐδεόμην, ἦκον παρὰ τὸν Σωκράτη· νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἦκω. — (4) Diogenes Laertius lib. II, 79 : Δεόμενός ποτε περὶ φίλου Διονυσίου καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτοῦ πεσὼν ἔπεισε. Πρὸς οὖν τὸν ἐπισκώψαντα, Οὐκ ἐγώ, φησίν, αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων. Suidas : ὑπὲρ φίλου δὲ ἀξιῶν, καὶ μὴ τυγχάνων, τῶν ποδῶν ἥψατο καὶ ἔπεισε, καὶ, Οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος, εἶπεν, ἀλλὰ Διονύσιος, ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων. — (35) Diogenes Laertius lib. II, 80 : πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ, ὡς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, Ἀλλὰ πρὸς Σωκράτην, εἶπεν, ἦλθον παιδείας δεόμενος, πρὸς δὲ Διονύσιον παιδιᾶς. — (36) Diogenes Laertius lib. II, 81 : πρὸς τὸν εἰπόντα, Τίνος ἕνεκα ἐλέγχεται παρὰ Διονυσίου ; Οὗ ἕνεκα, φησίν, οἱ ἄλλοι ἐλέγχουσιν. — (37) Diogenes Laertius lib II, 82. Ἤτει Διονύσιον ἀργύριον, καὶ ὅς· Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν. Ὁ δ' ὑπολαβών, Δός, εἶπε, καὶ περὶ τούτου ζητῶμεν· δόντος δέ, ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα. — (38) Diogenes Laertius lib. II, 82 : εἰπόντος πρὸς αὐτὸν Διονυσίου, Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται, κείνου ἐστὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ, ὑπολαβών (ἔφη)· Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ. Vid. fragm. 51. — (39) Stobæus Flor. XLIX, 22 : τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον, Οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ, Ἀληθῆ λέγεις, εἶπεν, εἰ γὰρ ὠφέλησο, ἐπέπαυσο ἂν τῆς τυραννίδος, ὥσπερ ἱερᾶς νόσου. — (40) Pseudaristippus in Epistola ad Areten filiam : ἐπειδὴ δὲ ἀναλύω μὴ ἐμπλησθεὶς αὐτοῦ, πέποιθα καὶ σοί, διότι τὴν αὐτὴν ἄξεις πορείαν τὴν συνήθη ἀγαθοῖς ἀνδράσιν. Ἔρρωσο

esse expetendam, at felicitatem non propter se ipsam, sed propter singulas voluptates : voluptatem præterea bonum esse affirmant, etiamsi a turpissimis rebus oriatur. Quamvis enim fœdum sit facinus, voluptatem tamen per se ipsam expetendam esse atque in bonis numerandam. Porro illa doloris detractio, ut est apud Epicurum, eis non videtur esse voluptas, neque voluptatis privatio dolor : utraque enim esse in motu, quum non sit motus doloris voluptatisve privatio. Nempe illa doloris vacuitas tanquam dormientis status est. Posse quosdam ajunt voluptatem minime appetere per animi pravitatem : non tamen omnes animi voluptates ac dolores e corporis voluptatibus ac doloribus nasci. Nam ex qualibet simplici patriæ prosperitate sive privata felicitate gaudium gigni. Sed neque bonorum memoria aut exspectatione voluptatem effici ajunt, quod placebat Epicuro; nam tempore motum animi languescere. Quin nec solo visu vel auditu voluptates constare dicunt, siquidem eos qui lamentationes imitantur, libenter audimus, vere autem lamentantes, non libenter. Insuper voluptatis ac doloris privationem medios status appellabant. Longe tamen præstantiores esse corporis quam animi voluptates, deteriores vero molestias, quas corpus habet. Cæterum Cyrenaici (42) non omni malo ægritudinem effici censent, sed insperato et necopinato malo. Iidem (43) propter permotiones intimas nihil putant esse judicii. Etenim in solo tactu, et eo quidem quem philosophi interiorem vocant, aut doloris aut voluptatis, putant veri esse judicium, quia sentiatur. Negant autem esse quidquam (44), quod percipi possit extrinsecus, ea se sola percipere, quæ tactu intimo sentiant, ut dolorem, ut voluptatem; neque se, quo quid colore, aut quo sono sit, scire, sed tantum sentire, affici se quodam modo. Quid? quod iis placet (45) neque sapientem semper in voluptate vivere, neque rursus insipientem semper in dolore, verum majore ex parte sic utrumque affici. Satis autem esse, homines unius incidentis voluptatis beneficio suaviter restitui. Prudentiam quidem bonum esse affirmant, nec tamen propter se ipsam expetendam, sed eorum gratia quæ ex illa percipimus. Amicitias utilitatis causa parandas. Nam et corporis partes, quamdiu adsint, amari. Virtutes quasdam et imprudentibus ingenerari. Corporis exercitationem conferre ad virtutis studium. Sapientem nunquam neque invidum neque amasium neque superstitiosum fore, quia hæ res e vana opinione oriantur : dolore tamen et metu turbatum iri, propterea quod hæc naturæ convenienter fiant. Divitias ultro voluptatum effectrices esse, neutiquam per se expetendas. Perturbationes item comprehendi posse dicebant, nequaquam tamen ea ex quibus exsistunt. Ut quæstiones naturales omittebant, quod naturam comprehendi non posse appareret : ita logicen propter ejus usum attingebant. Nihil natura justum esse contendebant, aut honestum vel turpe, sed lege et consuetudine. Attamen vir bonus nihil inepte faciet ob pœnas instantes vel falsas opiniones vitandas. Talis

καὶ περὶ ἡμῶν ἀστενάκτει. Vid. fragm. 74. — (41) Diogenes Laertius lib. II, 86-90 : οἱ ἐπὶ τῆς ἀγωγῆς τοῦ Ἀριστίππου μείναντες καὶ Κυρηναϊκοὶ προσαγορευθέντες δόξαις ἐχρῶντο τοιαύταις. Δύό πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν· τὴν μὲν λείαν κίνησιν, τὴν ἡδονήν· τὸν δὲ πόνον τραχεῖαν κίνησιν· μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἥδιόν τι εἶναι. Καὶ τὴν μὲν εὐδρκητὴν πᾶσι ζώοις, τὸν δὲ ἀποκρουστικόν. Ἡδονὴν μέντοι τὴν τοῦ σώματος, οὐ τὴν καταστηματικὴν ἡδονήν, τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων καὶ οἷον ἀνοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναί φασι. Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαίμονίας διαφέρειν· τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν· εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα· εἶναι δὲ τὴν μερικὴν ἡδονὴν δι' αὑτήν αἱρετήν, τὴν δ' εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς· εἶναι δὲ τὴν ἡδονὴν ἀγαθόν, κἂν ἀπὸ τῶν ἀσχημοτάτων γένηται. Εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὑτὴν αἱρετὴ καὶ ἀγαθόν. Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις (ὡς εἴρηται παρ' Ἐπικούρῳ) δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή, οὐδὲ ἡ ἀηδονία ἀλγηδών, ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως· ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις. Δύνασθαι δέ φασι καὶ τὴν ἡδονήν τινας μὴ αἱρεῖσθαι κατὰ διαστροφήν. Οὐ πάσας μέντοι τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλγηδόνας ἐπὶ σωματικαῖς ἡδοναῖς καὶ ἀλγηδόσι γίνεσθαι. Καὶ γὰρ ἐπὶ ψιλῇ τῇ τῆς πατρίδος εὐημερίᾳ, ἥπερ τῇ ἰδίᾳ, χαρὰν ἐγγίνεσθαι. Ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν, ἢ προσδοκίαν, ἡδονήν φασιν ἀποτελεῖσθαι, ὅπερ ἥρεσκεν Ἐπικούρῳ, ἐκλύεσθαι γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα. Λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν ἢ τὴν ἀκοὴν γίνεσθαι ἡδονάς. Τῶν γοῦν μεμουμένων θρήνους ἡδέως ἀκούομεν· τῶν δὲ κατὰ ἀλήθειαν, ἀηδῶς. Μέσας τε καταστάσεις ὠνόμαζον ἀηδονίαν καὶ ἀπονίαν. Πολὺ μέντοι τῶν ψυχικῶν ἡδονῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς. — (42) Cicero Tuscul. III, 13. — (43) Cicero Acad. II, 46. — (44) Cicero Acad. II, 24. — (45) Diogenes Laertius lib. II, 91-93 : ἀρέσκει δ' αὐτοῖς, μήτε τὸν σοφὸν πάντα ἡδέως ζῆν, μήτε πάντα φαῦλον ἐπιπόνως, ἀλλὰ κατὰ τὸ πλεῖστον. Ἀρκεῖ δὲ κἂν κατὰ μίαν τις προσπίπτουσαν ἡδέως ἐπανάγῃ. Τὴν φρόνησιν ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' ἑαυτὴν δὲ αἱρετήν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγινόμενα. Τὸν φίλον τῆς χρείας ἕνεκα. Καὶ γὰρ μέρος σώματος μέχρις ἂν παρῇ, ἀσπάζεσθαι. Τῶν ἀρετῶν ἐνίας καὶ περὶ τοὺς ἄφρονας συνίστασθαι. Τὴν σωματικὴν ἄσκησιν συμβάλλεσθαι πρὸς ἀρετῆς ἀνάληψιν. Τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐρασθήσεσθαι ἢ δεισιδαιμονήσειν· γίνεσθαι γὰρ ταῦτα παρὰ κενὴν δόξαν. Αυπήσεσθαι μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίνεσθαι. Καὶ τὸν πλοῦτον δὲ ποιητικὸν ἡδονῆς εἶναι, οὐ δι' αὐτὸν αἱρετόν. Τά τε πάθη καταληπτά. Ἔλεγον οὖν αὐτά, οὐκ ἀφ' ὧν γίνεται. Ἀφίσταντο δὲ καὶ τῶν φυσικῶν διὰ τὴν ἐμφαινομένην ἀκαταληψίαν· τῶν δὲ λογικῶν διὰ τὴν εὐχρηστίαν ἥπτοντο. Μηδέν τε φύσει εἶναι δίκαιον, ἢ καλόν, ἢ αἰσχρόν, ἀλλὰ νόμῳ καὶ ἔθει. Ὁ μέντοι σπουδαῖος οὐδὲν ἄτοπον πράξει διὰ τὰς ἐπι-


igitur Aristippi ratio fuit, ut virtutes ejus et vitia commune quoddam haberent vinculum et quasi cognatione quadam inter se continerentur (46). Itaque recte Cicero De offic. I, 41 : « Nec quemquam, inquit, hoc errore duci oportet, ut si quid Socrates aut Aristippus contra morem consuetudinemque civilem fecerint locutive sint, idem sibi arbitretur licere. Magnis illi et divinis bonis hanc licentiam assequebantur. »

Præter hunc, de quo disputamus, alii quoque fuere Aristippi, ex quibus omnibus quattuor duntaxat clarum in litteris nomen habuerunt. Eorum clarissimus et primus est Cyrenaicæ philosophiæ parens ; secundus, rerum Arcadicarum scriptor (47); tertius qui, quod a matre institutus esset, Μητροδίδακτος cognominatus est, primi ex filia nepos; quartus ex nova Academia philosophus (48). Cyrenæi autem (49) hæcce scripta memorantur. Tres historiæ Libycæ libri ad Dionysium missi. Unus in quo fuerunt dialogi viginti quinque, partim attica partim dorica dialecto conscripti. Atque hi quidem fuisse perhibentur Artabazus. Ad naufragos. Ad exsules. Ad mendicum. Ad Laidem. Ad Porum. Ad Laidem de speculo. Hermias. Somnium. Ad pincernam. Philomelus. Ad domesticos. Ad objurgantes, quod vetus vinum scortaque possideret. Ad reprehendentes, quod sumtuose obsonaretur. Epistola ad Areten filiam. Ad eum qui se ad Olympia exercebat. Interrogatio. Alia interrogatio. Chria ad Dionysium ; item alia de imagine et alia de Dionysii filia. Ad eum qui contemni sibi videbatur. Ad eum qui suadere tentabat. Quidam illum et Disputationum sex libros scripsisse ajunt; alii prorsus scripsisse negant, ex quibus etiam Sosicrates Rhodius est. Porro, ut Sotion in secundo et Panætius referunt, hæc ejus volumina fuerunt : De disciplina. De virtute. Suasoria. Artabazus. Naufragi. Exsules. Disputationum libri sex. Chriarum libri tres. Ad Laidem. Ad Porum. Ad Socratem. De fortuna. Illud mirandum, quod Diogenes Laertius qui aliis locis (50) sæpe citat Aristippi *de vetere luxu* commentarios, in scriptorum ejus enumeratione hoc opus omittit. Qua de re idem sentio quod Luzacius Lectt. Att. p. 108 ita scribens : « A tali viro, qualem Aristippum modo dicebamus, qui moribus erat facilis, comis, humanus, quamquam in vita desultorius, sibique ac suis præceptis minime constans, a tali, inquam, viro proficisci neutiquam potuerunt commentarii Περὶ παλαιᾶς τρυφῆς probrorum in summos sapientiæ magistros vivendique præceptores pleni ; quos libros tanquam Aristippi plus semel in testimonium Diogenes quidem vocat Laertius, sub tanti tamen viri nomine suppositos esse censet Bruckerus (Hist. phil. I p. 592) ab hominibus impudentibus, qui suos ipsi mores illius auctoritate tegere vellent : cui equidem plane

κειμένας ζημίας καὶ δόξας. — (46) Diogenes Laertius lib. II, 67 : διό ποτε Στράτωνα, οἱ δὲ Πλάτωνα, πρὸς αὐτὸν εἰπεῖν, Σοὶ μόνῳ δέδοται καὶ χλαμύδα φορεῖν καὶ ῥάκος. — (47) Vid. Clement. Alexandr. Strom. I p. 139 et Schol. Theocrit. I, 3. — (48) Vid. Fabric. Bibl. Græc. III pag. 163 ed. Harl. — (49) Diogenes Laertius lib. II, 83-85 : γεγόνασι δ' Ἀρίστιπποι τέσσαρες· περὶ οὗ τε ὁ λόγος, καὶ δεύτερος ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς· τρίτος, ὁ μητροδίδακτος, θυγατριδοῦς τοῦ πρώτου· τέταρτος, ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας. Τοῦ δὲ Κυρηναϊκοῦ φιλοσόφου φέρεται βιβλία, τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην, ἀπεσταλμένα Διονυσίῳ. Ἓν δὲ ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν· οἱ μὲν Ἀτθίδι, οἱ δὲ Δωρίδι διαλέκτῳ γεγγραμμένοι οἵδε· Ἀρτάβαζος. Πρὸς τοὺς ναυαγούς. Πρὸς τοὺς φυγάδας. Πρὸς πτωχόν. Πρὸς Λαΐδα. Πρὸς Πῶρον. Πρὸς Λαΐδα περὶ τοῦ κατόπτρου. Ἑρμείας. Ἐνύπνιον. Πρὸς τὸν ἐπὶ τῆς κύλικος. Φιλόμηλος. Πρὸς τοὺς οἰκείους. Πρὸς τοὺς ἐπιτιμῶντας, ὅτι κέκτηται οἶνον παλαιὸν καὶ ἑταίρας. Πρὸς τοὺς ἐπιτιμῶντας ὅτι πολυτελῶς ὀψωνεῖ. Ἐπιστολὴ πρὸς Ἀρήτην τὴν θυγατέρα. Πρὸς τὸν εἰς Ὀλυμπίαν γυμνάζοντα ἑαυτόν. Ἐρώτησις. Ἄλλη ἐρώτησις. Χρεία πρὸς Διονύσιον, Ἄλλη ἐπὶ τῆς εἰκόνος, Ἄλλη ἐπὶ τῆς Διονυσίου θυγατρός. Πρὸς τὸν οἰόμενον ἀτιμάζεσθαι. Πρὸς τὸν συμβουλεύειν ἐπιχειροῦντα. Ἔνιοι δὲ καὶ διατριβῶν αὐτόν φασιν ἓξ γεγραφέναι, οἱ δ' οὐδ' ὅλως γράψαι· ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος. Κατὰ δὲ Σωτίωνα ἐν δευτέρῳ καὶ Παναίτιον ἔστιν αὐτῷ συγγράμματα τάδε· Περὶ παιδείας. Περὶ ἀρετῆς. Προτρεπτικός. Ἀρτάβαζος, Ναυαγοί, Φυγάδες, Διατριβῶν ἓξ, Χρειῶν τρία, πρὸς Λαΐδα, Πρὸς Πῶρον, Πρὸς Σωκράτην, Περὶ τύχης. — (50) Diogenes Laertius lib. I, 96 de Periandro : Φησὶ δὲ Ἀρίστιππος ἐν πρώτῳ Περὶ παλαιᾶς τρυφῆς περὶ αὐτοῦ τάδε, ὡς ἄρα ἐρασθεῖσα ἡ μήτηρ αὐτοῦ Κράτεια συνῆν αὐτῷ λάθρα· καὶ ὃς ἤδετο. Φανεροῦ δὲ γενομένου, βαρὺς πᾶσιν ἐγένετο διὰ τὸ ἀλγεῖν ἐπὶ τῇ φώρᾳ. Vid. Parthen. rer. amatoriar. cap. 17. — Idem V, 3 : Ἀρίστιππος δ' ἐν τῷ πρώτῳ Περὶ παλαιᾶς τρυφῆς φησιν ἐρασθῆναι τὸν Ἀριστοτέλην παλλακίδος τοῦ Ἑρμείου. — Idem II, 23 de Socrate : οὗ [sc. Ἀλκιβιάδου] καὶ ἐρασθῆναί φησιν αὐτὸν Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς. Cf. Athenæus XIII p. 566. D. — Idem II, 48 de Xenophonte : καὶ αὐτόν φησιν Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς ἐρασθῆναι Κλεινίου· πρὸς ὃν καὶ ταῦτα εἰπεῖν· Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἄλλα πάντα ἐν ἀνθρώποις καλά. Τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι. Ἄχθομαι δὲ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι. — Idem III, 29 de Platone : Ἀρίστιππος δ' ἐν τῷ τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς φησιν αὐτὸν Ἀστέρος μειρακίου τινός, ἀστρολογεῖν συνασκουμένου, ἐρασθῆναι· ἀλλὰ καὶ Δίωνος τοῦ προειρημένου. — Idem IV, 19 de Polemone Atheniensi : ὡς ἐώκει δή, ὁ Πολέμων κατὰ πάντα ἐζηλώκει τὸν Ξενοκράτην· καὶ ἐρασθῆναι αὐτοῦ φησιν Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς. — Idem V, 39 de Aristotele : οὗ (Θεοφράστου) καὶ τοῦ υἱέος Νικομάχου φησὶν ἐρωτικῶς διαθῆναι, καίπερ ὄντα διδάσκαλον, Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς.

assentior, etsi Baelius (Lex. v. *Aristote*) cæterique fidem istorum libellorum sine ulla fraudis suspicione fuerint secuti. Præterquam enim quod calumniæ in philosophos aliarum sectarum principes alienæ videantur fuisse ab illius persona, qui, ab ἀγελάστῳ Aristoxeno similibusque plane diversus, delectationem amabat et gaudia, jocosque excipiebat jocis, non maledictis et injuriis; ipsa insuper temporum ratio, tali in causa argumentum certissimum, non patitur ut turpia de moribus Aristotelis prodere, aut Polemonem fœdo amore a severissimo Xenocrate dilectum, Socratis auditor scribere potuerit, diu ante demortuus, quam florerent in schola Aristoteles et Xenocrates. »

Ex illis, quæ sub Aristippi nomine feruntur, fragmentis plerique epistolas cum Bentlejo tanquam subditicias familia submoverunt. Ac Bentlejus quidem Opusc. philol. p. 49 de Socraticorum epistolis disputans : « Epistola, inquit, VIII, IX, XII et XIII jocantur inter se Antisthenes, Aristippus et Simon sutor. Indignum istorum hominum memoria est, existimare, tali eos ratione fuisse jocatos nugatosque; inprimis e Sicilia Athenas usque misisse tam scurrilia, quæ ne convivas quidem inter pocula decerent. » Idem p. 55 Aristippi epistolam ad Areten filiam propterea maxime damnat, quod non dorice, sed attice scripta sit. Contra Valckenarius Diatrib. in Eurip. Fragm. p. 190 de iisdem Aristippei ingenii monumentis ita disserit : « Quæ quidem in istis epistolis Aristippi nomen præferunt, dorice scriptæ, IX, XI, XIII, XVI nihil quantum memini continent indignum Aristippi persona; sed eidem inscriptam epistolam XXVII, velut ad Areten filiam datam, qualem tamen memorat Diogenes Laertius lib. II, 84, in qua nulla sunt dorismi vestigia, illam tanquam spuriam rejicio, nec tamen omnes cum præstantissimo sane viro Jo. Pearsono Vind. Ignat. p. 361. » Mihi illæ epistolæ omnes, si fictæ sunt, probabiliter fictæ videntur, adeo ut nihil habeant quod ab Aristippi moribus abhorreat, nihil quod non conveniat istis ad quas datæ sunt personis, nihil denique quod Græcorum annalibus ignotum sit. Quamobrem epistolas una cum librorum ac sententiarum reliquiis edendas putavi cunctaque tanti philosophi fragmenta post Orellium Opusc. Vet. Græc. sent. et moral. vol. II (Lipsiæ 1821) p. 153-175 et Epist. Socraticorum et Pythagoreorum (Lipsiæ 1815) p. 16 seqq. collegi ac diligenter recensui. Quo in genere id operam dedi, ut epistolia in quibus doricæ vocum formæ magna ex parte a librariis deletæ atque in atticas vel communes conversæ sunt, quales in membranis comparent, conservarentur. Nam majora tantum menda corrigenda esse ratus, minora vel librariis vel ipsi auctori assignanda tollere nolui. Emendatis denique hisce fragminibus novam interpretationem latinam adjunxi.


ΒΙΒΛΙΟΘΗΚΗ
ΚΥΡΙΑΚΟΥ
ΑΥΓΟΥΣΤΟΥ



ΑΡΙΣΤΙΠΠΟΥ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ

ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΑΓΓΕΛΙΚΗΣ ΣΧΟΛΗΣ ΚΟΥΡΙ
ΑΡΙΣΤΟΥ
ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ARISTIPPI CYRENÆI

SENTENTIÆ ET APOPHTHEGMATA.

1. Τοῦτον φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν ἐωνῆθῆναι· αἰτιασαμένου δέ τινος, Σὺ δ' οὐκ ἄν, εἶπεν, ὀβολοῦ τοῦτον ἐπρίω; ἐπινεύσαντος δέ, Τοσοῦτον, ἔφη, ἐμοὶδύνανται αἱ πεν τήκοντα δραχμαί.

(Diogenes Laertius lib. II, 66. Aliter rem enarrat Athenæus lib. VIII p. 343. C : ἀλλὰ μὴν καὶ Ἀρίστιππος ὁ Σωκρατικὸς ὀψοφάγος ἦν· ὅστις καὶ ὑπὸ Πλάτωνός ποτε ὀνειδιζόμενος ἐπὶ τῇ ὀψοφαγίᾳ, ὥς φησι Σωτίων καὶ Ἡγήσανδρος. Γράφει δὲ οὕτως ὁ Δελφός· Ἀρίστιππος, Πλάτωνος ἐπιτιμήσαντος αὐτῷ διότι πολλοὺς ἰχθῦς ἠγόρασε, δυοῖν ὀβολοῖν ἔφησεν ἐωνῆσθαι. Τοῦ δὲ Πλάτωνος εἰπόντος ὅτι καὶ αὐτὸς ἂν ἠγόρασα τοσούτου, Ὁρᾷς οὖν, εἶπεν, ὦ Πλάτων, ὅτι οὐκ ἐγὼ ὀψοφάγος, ἀλλὰ σὺ φιλάργυρος.)

2. Διονυσίου ποτέ, τριῶν ἑταιρῶν οὐσῶν, μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπών· Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι. Ἀπαγαγὼν μέντοι, φασίν, αὐτὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. Οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς.

(Diogenes Laertius lib. II, 67. Ejusdem facti obiter meminit Athenæus lib. XII pag. 544 D : παρὰ Διονυσίῳ διηνέχθη τισὶ περὶ τῆς ἐκλογῆς τῶν τριῶν γυναικῶν.)

3. Διονυσίου προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος, Εἶτα οἱ μὲν ἁλιεῖς, εἶπεν, ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν· ἐγὼ δὲ μὴ ἀνάσχωμαι χρέμματι ῥανθῆναι, ἵνα βλέννον λάβω;

(Diogenes Laertius lib. II, 67. Pro membranarum scriptura κράμματι Menagius bene χρέμματι substituit. Aliter Athenæus lib. XII pag. 544. D, ex Hegesandro : Ἀρίστιππος ῥαινόμενος μὲν ὑπὸ τῶν τοῦ Διονυσίου θεραπόντων, σκωπτόμενος δὲ ἐπὶ τῷ ἀνέχεσθαι ὑπ' Ἀντιφῶντος, Εἰ δ' ἁλιευόμενος ἐτύγχανον, ἔφη, καταλιπὼν τὴν ἐργασίανἂν ἀπῆλθον;)

4. Παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης ἔσκωψε καί φησιν· Εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες. Ὁ δέ· Καὶ σύ, εἶπεν, εἴπερ ἤδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες.

(Diogenes Laertius lib. II, 68. Similiter Horatius lib. I epist. XVII, 13 si pranderet olus patienter, regibus uti nollet Aristippus : Si sciret regibus uti, fastidiret olus, qui me notat. Valerius Maximus lib. IV cap. 3 : Idem Syracusis, quum olera ei lavanti Aristippus dixisset, Si Dionysium adulare velles, ista non esses : Imo, inquit, si tu ista esse velles, non adulares Dionysium. Cf. supra Diogenis fragm. 200.)

5. Ἐρωτηθείς ποτε, τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη· Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν.

(Diogenes Laertius lib. II, 68.)

6. Ἐρωτηθείς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· Τὸ δύνασθαι πᾶσι θαῤῥαλέως ὁμιλεῖν.

(Diogenes Laertius lib. II, 68. Apulejus in Floridis : At ego, quod Aristippus dixit, experiar, Aristippus ille Cyrenaicæ sectæ repertor, quodque malebat ipse, Socratis discipulus. Eum quidam tyrannus rogavit, quid illi philosophiæ

---

1. Ajunt hunc aliquando jussisse perdicem quinquaginta drachmis emi. Quod quum quidam ipsi objiceret : *Tune illam*, inquit, *obolo non emeres*? Annuente vero illo : *Mihi*, ait, *tantum valent quinquaginta drachmæ.*

2. Quum Dionysius quondam ex tribus meretricibus unam eligere ipsum jussisset, tres simul abduxit, dicens, ne Paridi quidem profuisse, quod unam cæteris prætulerit. Has vero ad vestibulum usque deductas dimisisse fertur. Adeo ille et eligendi et contemnendi peritus fuit.

3. Asputus a Dionysio contumeliam æquo animo perpessus est. Qua in re quoniam reprehendebatur a quodam, *Itane vero*, inquit, *piscatores ut gobium venentur, mari patiuntur se aspergi, et ego, ut blennum capiam, non patiar sputo me aspergi?*

4. Prætereuntem quandoque Diogenes olera lavans hoc modo cavillatus est : *Si hæc esitare didicisses, tyrannorum aulas non sectareris. Tu vero*, ait ille, *si quidem conversari cum hominibus scires, olera profecto non lavares.*

5. Rogatus aliquando, qua re philosophi excellerent, *Si omnes*, inquit, *leges abrogatæ fuerint, eodem modo vivemus.*

6. Interrogatus, quem fructum e philosophiæ studio

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

studium tam impensum tamque diutinum profuisset. Aristippus respondit : ut cum omnibus hominibus secure et intrepide fabularer. At Antisthenes apud Diog. Laert. lib. VI, 6 : ἐρωτηθείς, τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν.)

7. Ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν, Εἰ τοῦτ', ἔφη, φαῦλόν ἐστιν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο.

(Diogenes Laertius lib. II, 68.)

8. Ἐρωτηθεὶς ὑπὸ Διονυσίου· διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη· Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ οὐκ ἴσασιν.

(Diogenes Laertius lib. II, 69. Alii hoc dictum Simonidi tribuunt. Aristoteles Rhet. lib. II, cap. 16, pag. 1391 ed. Bekker. : ὅθεν καὶ τὸ Σιμωνίδου εἴρηται περὶ τῶν σοφῶν καὶ πλουσίων πρὸς τὴν γυναῖκα τὴν Ἱέρωνος ἐρομένην πότερον γενέσθαι κρεῖττον πλούσιον ἢ σοφόν· πλούσιον εἰπεῖν· τοὺς σοφοὺς γὰρ ἔφη ὁρᾶν ἐπὶ ταῖς τῶν πλουσίων θύραις διατρίβοντας. Stobæus Flor. XCI, 31 : Σιμωνίδης ἐρωτηθεὶς πότερον αἱρετώτερον πλοῦτος ἢ σοφία, Οὐκ οἶδα, ἔφη, ὁρῶ μέντοι γε τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας. In eandem sententiam Antisthenes apud Stobæum Flor. III, 46 : Ἀντισθένης ἐρωτηθεὶς τί ὁήποτε οὐχ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἀπίασιν ἀλλ' ἀνάπαλιν, εἶπεν ὅτι οἱ σοφοὶ μὲν ἴσασιν ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον· οἱ δὲ οὐκ ἴσασιν· ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἐπεμελοῦντο.)

9. Ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν ὑπὸ Πλάτωνος, ἔφη, Ἆρα φαίνεταί σοι Διονύσιος ἀγαθός; τοῦ δ' ὁμολογήσαντος, Καὶ μήν, ἔφη, ζῇ ἐμοῦ πολυτελέστερον· ὥστ' οὐδὲν κωλύει καὶ πολυτελῶς καὶ καλῶς ζῆν.

(Diogenes Laertius lib. II, 69.)

10. Ἐρωτηθείς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων ἔφη· Ὥσπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων.

(Diogenes Laertius lib. II, 69.)

11. Εἰσιών ποτε εἰς ἑταίρας οἰκίαν, καὶ τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, Οὐ τὸ εἰσελθεῖν, ἔφη, χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν.

(Diogenes Laertius lib. II, 69.)

12. Αἴνιγμά τινος αὐτῷ προτείναντος καὶ εἰπόντος, Λῦσον· Τί, ὦ μάταιε, ἔφη, λῦσαι ἐμὲ θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει;

(Diogenes Laertius Lib. II, 70. Scripsi λῦσαι ἐμὲ θέλεις; codd. λῦσαι θέλεις).

13. Ἄμεινον, ἔφη, ἐπαίτην ἢ ἀπαίδευτον εἶναι· οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ δέονται.

(Diogenes Laertius lib. II, 70. Proclus ad Hesiodi Op. et d. vs. 291 : οὗτος μὲν πανάριστος κτλ. Ζήνων μὲν ὁ Στωϊκὸς ἐνήλλαττε τοὺς στίχους, λέγων, Οὗτος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται, ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς αὐτῷ πάντα νοήσει, τῇ εὐπειθείᾳ τὰ πρωτεῖα διδούς, τῇ φρονήσει δὲ τὰ δευτερεῖα. Ἀρίστιππος δὲ ἀπ' ἐναντίας ὁ Σωκρατικὸς ἔλεγε, συμβούλου δεῖσθαι χεῖρον εἶναι τοῦ προσαιτεῖν.)

14. Λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος, Τί φεύγεις; Ὅτι, φησί, τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ.

(Diogenes Laertius lib. II, 70. Aliter Stobæus Flor. XIX, 6 : Ἀρίστιππος λοιδορουῦντος αὐτόν τινος ἔφη· Τοῦ μὲν λέγειν κακῶς σὺ κύριος εἶ, τοῦ δὲ δικαίως ἀκούειν ἐγώ.)

15. Εἰπόντος τινός, ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ ταῖς τῶν πλουσίων θύραις· Καὶ γὰρ καὶ οἱ ἰατροί, φησί, παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ διὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν.

---

percepisset, *Posse*, inquit, *cum omnibus fidenter conversari.*

7. Reprehensus aliquando, quod magnifice viveret, *Si hoc*, inquit, *vituperandum esset, diebus deorum festis ac solemnibus non fieret.*

8. Sciscitanti Dionysio, cur philosophi divitum fores frequenter adirent, divites autem philosophorum domos non item, respondit : *Quod illi sciunt, quibus indigeant; at hi nesciunt.*

9. Reprehensus a Platone quondam, quod magnifice viveret : *Nonne*, inquit, *vir bonus tibi videtur esse Dionysius?* Eo assentiente : *Atqui ille*, ait, *me lautitia superat. Quamobrem nihil obstat, quominus et magnifice et honeste vivamus.*

10. Interrogatus, qua re docti indoctis antecellerent, *Eadem*, inquit, *qua domiti equi indomitis.*

11. Ingressus aliquando meretricis domum, quum erubesceret quidam eorum qui cum ipso erant adolescentium, *Non ingredi*, ait, *sed egredi non posse molestum est.*

12. Quum homo nescio quis ænigma ipsi proposuisset idque ab eo solvi vellet : *Quid*, inquit, *stulte, me solvere jubes, quod etiam ligatum nobis negotium exhibet?*

13. Præstare ajebat mendicum esse quam indoctum; illum enim pecuniis, hunc humanitate egere.

14. Quum aliquando conviciis incesseretur, abibat, insectatore vero, cur fugeret interrogante, *Quoniam*, inquit, *maledicendi tu potestatem habes, ego non audiendi licentiam.*

15. Dicenti cuidam, se philosophos semper divitum foribus astantes videre, *Et medici*, inquit, *ægrotorum foribus astant; nemo tamen est, qui idcirco ægrotare malit quam mederi.*

(Diogenes Laertius lib. II, 70. Similis est Antisthenis sententia apud Laertium lib. VI, 6.)

16. Εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. Πρὸς οὖν τὸν εἰπόντα, Ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε; Οὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἕκαστοι.

(Diogenes Laertius lib. II, 71. Ejusdem rei meminerunt et alii scriptores. Ælianus var. hist. IX, 20 : πλέων Ἀρίστιππος, χειμῶνος ἐπιγενομένου, πάνυ σφόδρα ἐταράττετο. Ἔφη δέ τις τῶν συμπλεόντων· Ὦ Ἀρίστιππε, καὶ σὺ δέδοικας ὡς οἱ πολλοί; ὁ δέ· Καὶ μάλα γε εἰκότως· ὑμῖν μὲν γὰρ περὶ κακοδαίμονός ἐστι βίου ἡ σπουδὴ καὶ νῦν ὁ κίνδυνος, ἐμοὶ δὲ περὶ εὐδαιμονίας. Gellius XIX, 1 : Si quid ego in tanta violentia tempestatum videor paulum pavefactus, non tu istius rei ratione audienda dignus es : sed tibi sane Aristippus ille pro me responderit, qui in simili tempore a simillimo tui homine interrogatus, quare philosophus timeret, quum ille contra nihil metueret; non eandem esse causam sibi atque illi respondit; quoniam is quidem esset non magnopere sollicitus pro anima nequissimi nebulonis, ipsum autem pro Aristippi anima timere.)

17. Σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ, ἔφη· Ὥσπερ οὐχ οἱ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλά, ἀλλ' οἱ χρήσιμα ἀναγινωσκοντές εἰσι σπουδαῖοι.

(Diogenes Laertius lib. II, 71.)

18. Πρὸς τὸν ὑπὲρ αὐτοῦ λογογράφον δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτόν· Τί σε ὤνησε Σωκράτης; ἔφη· Τοῦτο, τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι.

(Diogenes Laertius lib. II, 71.)

19. Τὰ ἄριστα ὑπετίθετο τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν αὐτὴν ὑπεροπτικὴν τοῦ πλείονος εἶναί.

(Diogenes Laertius lib. II, 72. In eandem sententiam Pseudaristippus in Epistolis Socraticorum p. 33 ed. Or. : ὑποτίθεμαι δέ σοι τὰ πρὸς ἄρχοντας οἰκονομεῖν, ὥστε τὸ ἐμὸν συμβούλευμα τοῦτο συμφέρον δέχεσθαι. Τοῦτο δ' ἦν μὴ τοῦ πλείονος ὀριγνᾶσθαι. Vide fragm. 74.)

20. Ἐρωτηθεὶς ὑπό τινος, τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς, Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ.

(Diogenes Laertius lib. II, 72. *Lapidem* etiam Latini hominem stultum vocant. Vid. Erasm. Adag. Chil. I. Cent. V. 89, pag. 144 ed. H. Stephani.)

21. Συνιστάντος τινὸς αὐτῷ υἱόν, ἤτησε πεντακοσίας δραχμάς· τοῦ δὲ εἰπόντος, Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι· Πρίω, ἔφη, καὶ ἕξεις δύο.

(Diogenes Laertius lib. II, 72. Mille drachmas poposcisse Aristippum auctor est Plutarchus in libro de liberis educandis cap. VII, 16, vol. VII pag. 17 ed. Hutten. : ἢ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως ἀλλὰ πάνυ ἀστείως ἐπέσκωψε τῷ λόγῳ πατέρα νοῦ καὶ φρενῶν κενόν. Ἐρωτήσαντος γάρ τινος αὐτόν, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως· Χιλίας, ἔφη, δραχμάς. Τοῦ δέ, Ἡράκλεις, εἰπόντος, ὡς ὑπέρπολυ τὸ αἴτημα, δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι· Τοιγαροῦν, εἶπε, δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱὸν καὶ ὃν ἂν πρίῃ. Sed idem scriptor in Vitis decem oratt. vol. XII p. 240 ed. Hutten. Isocratem tale quid dixisse prodit. Verba græca sunt : πρὸς δὲ τὸν εἰπόντα πατέρα, ὡς οὐδὲν ἄλλο ἢ ἀνδράποδον συνέπεμψε τῷ παιδίῳ· Τοιγαροῦν (ἔφη) ἄπιθι, δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. Cf. Photius in Biblioth. cod. CCLX.)

22. Ἀργύριον εἶπε παρὰ τῶν γνωρίμων λαμβάνειν, οὐχ ἵνα αὐτὸς χρῷτο, ἀλλ' ἵνα ἐκεῖνοι εἰδεῖεν, εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις.

(Diogenes Laertius lib. II, 72.)

23. Ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώ-

---

16. Corinthum aliquando naviganti ac tempestate vexato accidit, ut mente turbaretur. Qua in re dicenti cuidam : *Nos vulgus ignobile non metuimus, vos vero philosophi cur trepidatis?* respondit : *Quid mirum? non enim de sua quisque vita vestræ simili solliciti sumus.*

17. Glorianti cuidam de multarum rerum scientia : *Quemadmodum*, inquit, *non ii qui plurimum comedunt plurimumque gymnicis certaminibus se exercent, melius valent, quam qui necessarios cibos sumunt : sic non qui multa, sed qui utilia legunt pro studiosis haberi possunt.*

18. Oratori qui causam pro ipso dixerat ac vicerat, sciscitanti, *Quid tibi profuit Socrates? In id*, inquit, *ut oratio, quam pro me habuisti, vera sit.*

19. Aretæ filiæ præclara sapientiæ præcepta dabat, exercens illam ad id quod nimium est contemnendum.

20. Rogatus a quodam, quam virtutis præstantiam filius ipsius, si litteris erudiretur, consecuturus esset, respondit : *Etiamsi nullam aliam, tamen in theatro saltem lapis lapidi non insidebit.*

21. Quum filium quispiam ei in disciplinam traderet, quingentas poposcit drachmas, eoque dicente, *Tanti mancipium emere possum*, respondit : *Eme et habebis duo.*

22. Pecuniam se a familiaribus accipere dixit, non ut ipse uteretur, sed ut illi scirent, in quas res pecuniam impendi conveniat.

23. Reprehensus aliquando, quod litigans ad causam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σατο ῥήτορα, Καὶ γάρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

(Diogenes Laertius lib. II, 72.)

24. Ἀναγκαζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, Γελοῖον, ἔφη, εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ, τὸ δὲ πότε δεῖ λέγειν σύ με διδάσκεις· ἐπὶ τούτῳ δὴ ἀγαναχτήσαντα τὸν Διονύσιον ἔσχατον αὐτὸν κατακλῖναι· καὶ τὸν, Ἐνδοξότερον, φάναι, τὸν τόπον ἠθέλησας ποιῆσαι.

(Diogenes Laertius lib. II, 73. Latius hoc perscribit Athenæus lib. XII, p. 544 B : καὶ ταῖς Διονυσίου πολυτελείαις ἔχαιρε, καίτοι πολλάκις ἐνυβριζόμενος. Ἡγήσανδρος γοῦν φησιν, ὡς καὶ ἀδόξου ποτὲ κλισίας παρ' αὐτῷ τυχών, ἤνεγκεν, ἐρωτήσαντός τε τοῦ Διονυσίου, τί φαίνεται ἡ κατάκλισις πρὸς τὴν χθές, ἔφησε παραπλησίαν εἶναι. Ἐκείνη τε γάρ, ἔφησεν, ἀδοξεῖ τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξοτάτη δι' ἡμᾶς· αὕτη δὲ τήμερον καὶ ἔνδοξος γέγονε διὰ τὴν ἡμετέραν παρουσίαν, χθὲς δὲ ἠδόξει μὴ παρόντος ἐμοῦ. Cæterum de Aristippo Dionysii parasito legendus etiam Lucianus in Parasito.)

25. Αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾷν, Οὐκ αἰσχύνῃ, εἶπεν, ἐπὶ θελφῖνος ἔργοις ἀλαζονευόμενος;

(Diogenes Laertius lib. II, 73.)

26. Ἐρωτηθείς ποτε, τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη· Εἰς ἀγνῶτας τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ.

(Diogenes Laertius lib. II, 73. Cf. infra fragm. 61 et Phædr. fab. IV, 21 de Simonidis naufragio.)

27. Αὐχοῦντός τινος ἐπὶ τῷ πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, Τοῦτο καὶ ἡμίονος, ἔφη.

(Diogenes Laertius lib. II, 73.)

28. Πρὸς τὸν αἰτιώμενον, ὅτι ἑταίρᾳ συνοικεῖ, Ἆρά γε, εἶπεν, μή τι διενέγκαι οἰκίαν λαβεῖν, ἐν ᾗ πολλοί ποτε ᾤκησαν, ἢ μηδείς; Εἰπόντος δέ, οὔ· Τί δέ, πλεῦσαι ἐν νηΐ, ᾗ μυρίοι ποτὲ ἐνέπλευσαν, ἢ μηδὲ εἷς; Οὐδαμῶς. Οὐδ' ἄρα γυναικί, ἔφη, συνεῖναι, ᾗ πολλοὶ κέχρηνται, ἢ μηδείς.

(Diogenes Laertius lib. II, 74. De eadem re Athenæus lib. XIII pag. 588 E, F : Ἀρίστιππος δὲ κατ' ἔτος συνδιημέρευεν αὐτῇ (Laidi) ἐν Αἰγίνῃ τοῖς ποσειδωνίοις· καὶ ὀνειδιζόμενος ὑπὸ οἰκέτου ὅτι « Σὺ μὲν αὐτῇ τοσοῦτον ἀργύριον δίδως, ἡ δὲ προῖκα Διογένει τῷ κυνὶ συγκυλίεται, » ἀπεκρίνατο « Ἐγὼ Λαΐδι χορηγῶ πολλά, ἵνα αὐτὸς αὐτῆς ἀπολαύω, οὐχ ἵνα μὴ ἄλλος. » Τοῦ δὲ Διογένους εἰπόντος αὐτῷ « Ὦ Ἀρίστιππε, κοινῇ συνοικεῖς πόρνῃ. Ἢ κύνιζε οὖν ὡς ἐγώ, ἢ πέπαυσο. » Καὶ ὁ Ἀρίστιππος « Ἆρά γε μή τί σοι ἄτοπον δοκεῖ εἶναι, Διόγενες, οἰκίαν οἰκεῖν, ἐν ᾗ πρότερον ᾤκησαν ἄλλοι; » Οὐ γάρ. « Τί δαί; ναῦν ἐν ᾗ πολλοὶ πεπλεύκασιν; » Οὐδὲ τοῦτο, ἔφη. « Οὕτως οὖν οὐδὲ γυναικὶ συνεῖναι ἄτοπόν ἐστιν ᾗ πολλοὶ κέχρηνται. »)

29. Πρὸς τὸν αἰτιώμενον, ὅτι Σωκράτους μαθητὴς ὢν ἀργύριον λαμβάνει, καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ τινων καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν, Καὶ μάλα, εἶπεν, εἶχε γὰρ ταμίας τοὺς πρώτους Ἀθηναίων, ἐγὼ δὲ Εὐτυχίδην ἀργυρώνητον.

(Diogenes Laertius lib. II, 74. Emendavi locum cum Desiderio Heraldo lib. De rerum judicatarum auctoritate p. 345. Antea legebatur : ἀργύριον λαμβάνει, καὶ μάλα, εἶπε· καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ τινῶν καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα, τὰ λοιπὰ ἀποπέμπειν· εἶχε γὰρ ταμίας τοὺς πρώτους κτλ.)

30. Πρὸς τοὺς μεμφομένους, ὅτι ἐχρῆτο Λαΐδι τῇ ἑταίρᾳ, ἔφη· Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι. Ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ χρῆσθαι.

(Diogenes Laertius lib. II 75. Sic et Athe-

---

dicendam oratorem conduxisset, *Atqui*, inquit, *et coquum, quum cœnam apparo, conduco.*

24. Cogente eum aliquando Dionysio, ut de quodam philosophiæ loco dissereret, *Ridiculum est*, inquit, *te ex me dicendi rationem quærere, quando autem dicendum sit, mihi præscribere.* Quam rem indignatus Dionysius in infimo lecto accumbere jussit. Sed ille, *Honoratiorem*, inquit, *hunc locum esse voluisti.*

25. Glorianti cuidam de natandi arte, *Non erubescis*, inquit, *de opere delphinorum proprio gloriari?*

26. Interrogatus aliquando, qua re sapiens insipienti antecelleret, respondit : *Ubi ambo nudos ad ignotos miseris, hoc compertum habebis.*

27. Glorianti cuidam in eo quod multum bibens non inebriaretur, *Hoc*, inquit, *etiam mulus potest.*

28. Exprobranti, quod meretricem contubernalem haberet, *Numquid interest*, inquit, *utrum domum accipias, in qua multi aliquando habitaverint, an illam, in qua nemo?* Negante illo, *Quid*, inquit, *num interesse putas, utrum ea navi veharis, qua innumeri olim navigaverint, an ea qua nemo?* Minime, inquit ille. *Ergo*, ait, *nihil interest, utrum cum muliere consuescas, cum qua multi rem habuerint, an cum illa quæ sese nemini prostituerit.*

29. Quum argueretur pecuniam a discipulis accipere, quamvis e Socratis disciplina prodiisset; Socratem enim, quum cibum et vinum quidam ipsi mitterent, paucis acceptis cætera remittere solitum : *Profecto*, inquit, *siquidem Socrates dispensatores habebat Atheniensium principes, ego Eutychidem servum emitium.*

30. Reprehendentibus, quod cum Laide meretrice rem haberet, *Habeo*, inquit, *Laidem, non habeor ab illa.* Nam cupiditatibus imperare, nec servire eis, pulchrum esse, non abjicere omnem cupiditatem.

næus lib. XII, p. 544 D : ὁ δ' Ἀρίστιππος ἐπὶ τῆς Λαΐδος ἔλεγεν· Ἔχω καὶ οὐκ ἔχομαι, et Cicero epist. ad fam. IX, 26 : « sed tamen ne Aristippus quidem ille Socraticus erubuit, quum esset objectum, habere eum Laida. Habeo, inquit, non hăbeor a Laide. » Ubi vide Manutium. De eodem loco disputavit Muretus Var. lect. lib. VI cap. 7.)

31. Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν ἔφη· Σὺ δ' οὐκ ἂν τριωβόλου ταῦτ' ἐπρίω; ὁμολογήσαντος δέ, Οὐκέτι τοίνυν, ἔφη, φιλήδονος ἐγώ, ἀλλὰ σὺ φιλάργυρος.

(Diogenes Laertius lib. II, 75.)

32. Σίμου ποτὲ τοῦ Διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος (ἦν δὲ Φρὺξ καὶ ὄλεθρος), ἀναχρεμψάμενος, προσέπτυσε τῇ ὄψει· τοῦ δ' ἀγανακτήσαντος· Οὐκ εἶχον, εἶπε, τόπον ἐπιτηδειότερον.

(Diogenes Laertius lib. II, 75. Convenit hoc factum magis in Diogenis Cynici mores, cui attribuit Galenus in Cohortatione ad artes cap. 4 : Διογένης ἑστιώμενος παρά τινι, τῶν μὲν ἑαυτοῦ πάντων ἀκριβῶς προνενοημένῳ, μόνου δ' ἑαυτοῦ παντάπασιν ἠμεληκότι, χρεμψάμενος ὡς πτύσων, εἶτ' ἐν κύκλῳ περισκοπήσας, εἰς οὐδὲν μὲν τῶν πέριξ ἔπτυσε, αὐτῷ δὲ μόνῳ προσέπτυσε τῷ δεσπότῃ τῆς οἰκίας. Ἀγανακτοῦντος δ' αὐτοῦ καὶ τὴν οἰκίαν ἐρωτῶντος, οὐδὲν ἔφησεν ὁρᾶν οὕτως ἠμελημένον τῶν κατὰ τὴν οἰκίαν, ὡς ἐκεῖνον· τοὺς γὰρ τοίχους ἅπαντας ἀξιολόγοις γραφαῖς κεκοσμῆσθαι· τὸ δ' ἔδαφος ἐκ ψήφων πολυτελῶν συγκεῖσθαι, θεῶν εἰκόνας ἔχον ἐξ αὐτῶν διατετυπωμένας. Ἅπαντα τὰ σκεύη λαμπρὰ καὶ καθαρά, καὶ τὴν στρωμνήν, καὶ τὰς κλίνας εἰς κάλλος ἐξησκῆσθαι· μόνον δ' ἐκεῖνον ὁρᾶν ἠμελημένον· εἰθίσθαι δ' ἅπασιν ἀνθρώποις εἰς τοὺς ἀτιμοτάτους τῶν παρόντων τόπων ἀποπτύειν. Vide Diogenis Cynici fragm. 94.)

33. Ἐρωτώμενος, πῶς ἀπέθανε Σωκράτης, ἔφη· Ὡς ἂν ἐγὼ εὐξαίμην.

(Diogenes Laertius lib. II, 76.)

34. Πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτόν, καὶ θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπών, Δύνασαι, ἔφη, καὶ σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι; τοῦ δ' ἐπινεύσαντος, Τί οὖν, ἔφη, ἐμέμφου; ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν, ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι.

(Diogenes Laertius lib. II, 76-77.)

35. Τοῦ θεράποντος ἐν ὁδῷ βαστάζοντος ἀργύριον καὶ βαρυνομένου, Ἀπόχεε, ἔφη, τὸ πλέον, καὶ ὅσον δύνασαι βάσταζε·

(Diogenes Laertius lib. II, 77. Ejusdem rei meminit Suidas : λέγεται δὲ ὅτι καὶ τοῦ παιδὸς αὐτῷ φέροντος ἀργύριον, καὶ ἀχθομένου τῷ βάρει, τὸ βαροῦν ἀπόβαλε, ἔφη. Tangit etiam Horatius Serm. lib. II, 3,100 : quid simile isti Græcus Aristippus? qui servos projicere aurum in media jussit Libya, quia tardius irent Propter onus segnes. Denique Ausonius Idyllio XXXI : spargit Aristippus mediis in Syrtibus aurum.)

36. Πλέων ποτέ, ἐπεὶ τὸ σκάφος ἔγνω πειρατικόν, λαβὼν τὸ χρυσίον ἠρίθμει· ἔπειτα ἐς θάλατταν, ὡς μὴ θέλων, παρακατέβαλε, καὶ ὄθην ἀνώμωξεν. Οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτόν, ὡς ἄμεινον ταῦτα ὑπ' Ἀριστίππου, ἢ διὰ ταῦτα Ἀρίστιππον ἀπολέσθαι.

(Diogenes Laertius lib. II, 77. Similis Aristippi sententia est apud Stobæum Flor. LVIII, 13 : Ἀρίστιππος λέγοντός τινος αὐτῷ « διὰ σὲ ἀπόλωλεν ὁ ἀγρός, » Οὐκ οὖν, ἔφη, κάλλιον δι' ἐμὲ τὸν ἀγρὸν ἢ διὰ τὸν ἀγρὸν ἐμέ; Nam Aristippum agrum perdidisse docet Plutarchus libr. de animi tranquillitate cap. VIII vol. X pag. 12 ed. Hutten. : χωρίον οὖν ἀπολέσας καλόν, ἠρώτησεν ἕνα τῶν πάνυ προσποιουμένων συνάχθεσθαι καὶ συναγανακτεῖν, Οὐχὶ σοὶ μὲν χωρίδιον ἓν ἐστιν, ἐμοὶ δὲ τρεῖς ἀγροὶ καταλείπονται; συνομολογήσαντος δ' ἐκείνου, Τί οὖν, εἶπεν, οὐ σοὶ μᾶλλον ἡμεῖς συναχθόμεθα; sed Laertio consentanea habet Suidas ita scribens : ἐπιβουλευόμενος δὲ ἐν πλῷ δι' ἃ ἐπήγετο, εἰς τὴν θάλασσαν ἐξέβαλεν αὐτά· ἡ γὰρ τούτων, ἔφη, ἀπώλεια, ἐμοὶ σωτηρία.)

---

31. Homini qui sumtuosum obsonatum ipsi exprobrabat : *Tu*, inquit, *ista tribus obolis non emeres?* Fatente illo, *Non tam igitur*, ait, *ego voluptarius sum, quam tu avarus.*

32. Quum aliquando Simus, Dionysii quæstor, homo natione Phryx et spurcus, conclavia magnifice instructa et lapidibus strata ei ostenderet, extussiens sputa in faciem ejus inspuit : tum illo rem ægre ferente, *Non habui*, inquit, *locum opportuniorem.*

33. Interrogatus, quomodo Socrates mortem obiisset, *Ita*, inquit, *ut ego obire cupiam.*

34. Ubi Polyxenus sophista aliquando ad eum ingressus intuitusque mulieres et sumtuosum obsonatum accusare ejusmodi luxum cœpit; brevi spatio interposito, *Potesne hodie*, inquit, *et tu nobiscum esse?* Et quum ille annuisset, *Cur ergo*, inquit, *querebaris? Videris enim non obsonatum, sed sumtum accusare.*

35. Portabat famulus in itinere pecuniam, qui quoniam onere premebatur, *Effunde*, ait, *quod nimium est, et fer quantum potes.*

36. Quum navigaret quondam navemque piraticam esse intellexisset, aurum prolatum numerabat, deinde quasi invitus in mare abjecit, atque ea scilicet in re ingemuit. Sunt qui eum hanc etiam vocem edidisse memorent : *Præstat hæc ab Aristippo, quam propter hæc Aristippum perdi.*

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

37. Διονυσίου ποτὲ ἐρομένου, ἐπὶ τί ἥκοι, ἔφη· Ἐπὶ τὸ μεταδώσειν ὧν ἔχει, καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. Ἔνιοι δὲ (φασὶν) οὕτως ἀποκρίνασθαι· Ὁπότε μὲν σοφίας ἐδεόμην, ἦκον παρὰ τὸν Σωκράτη· νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἦκω.

(Diogenes Laertius lib. II, 77-78.)

38. Κατεγίνωσκε τῶν ἀνθρώπων ὡς τὰ σκεύη μὲν ἐν ταῖς ἀγορασίαις σκοπούντων, τοὺς δὲ βίους εἰκῇ δοκιμαζόντων. Οἱ δὲ τοῦτο Διογένους φασί.

(Diogenes Laertius lib. II, 78.)

39. Καί ποτε παρὰ πότον κελεύσαντος Διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι (φασὶ) τὸν μὲν Πλάτωνα μὴ προσέσθαι εἰπόντα·

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν·

τὸν δὲ Ἀρίστιππον λαβόντα καὶ μέλλοντα ὀρχήσασθαι εὐστόχως εἰπεῖν·

Καὶ γὰρ ἐν βακχεύμασιν
οὔσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

(Diogenes Laertius lib. II, 78. Prope eodem modo Suidas v. Ἀρίστιππος· καὶ πρὸς Διονύσιον τὸν Σικελίας τύραννον ἐλθών, καὶ πίνων, ἐνίκα, καὶ ὀρχήσεως τῆς ἄλλης κατῆρξεν, ἐνδὺς ἐσθῆτα ἁλουργῆ. Πλάτων δὲ προσκομιζομένης αὐτῷ τῆς στολῆς εἶπεν Εὐριπίδου ἰαμβικά, Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν, Ἀρρὴν πεφυκώς, καὶ γένους ἐξ ἄρρενος. Ἀρίστιππος δὲ δεξάμενος, καὶ γελάσας εἶπε τοῦ αὐτοῦ ποιητοῦ, Καὶ γὰρ ἐν βακχεύμασιν Ὁ νοῦς ὁ σώφρων οὐ διαφθαρήσεται. Pro Dionysio Archelaum perperam memorat Gregorius Nazianzenus Carm. Iamb. XVIII : Στολὴν γυναικῶν Ἀρχελάου τοῦ σοφοῦ (leg. τοῖς σοφοῖς), οὐκ οἶδ' ὅπως τε καὶ δι' ἥντιν' αἰτίαν, δωρουμένου· Πλάτων μὲν οὐ προσήκατο, ἴαμβον εἰπὼν καίριον ἐξ Εὐριπίδου· Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν. Ὅδ', ὡς τὸ δώρημ' ἦλθεν εἰς αὐτοῦ χέρας, φέροντος ἀνδρός, καὶ προθύμως λαμβάνει, καὶ τὴν ἰάμβου κομψότητ' ἰαμβίῳ βάλλει, τόδ' εἰπών· Καὶ γὰρ ἐν βακχεύμασιν οὔσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται. Cæterum de eadem re agit Sextus Empiricus Pyrrhon. Hypot. III, 204.)

40. Δεόμενός ποτε περὶ φίλου Διονυσίου καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτοῦ πεσὼν ἔπεισε. Πρὸς οὖν τὸν ἐπισκώψαντα, Οὐκ ἐγώ, φησίν, αἴτιος, ἀλλὰ Διονύσιος ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων.

(Diogenes Laertius lib. II, 79. Similiter Suidas: ὑπὲρ φίλου δὲ ἀξιῶν, καὶ μὴ τυγχάνων, τῶν ποδῶν ἥψατο καὶ ἔπεισε, καὶ Οὐ ταύτης ἐγὼ τῆς κολακείας αἴτιος, εἶπεν, ἀλλὰ Διονύσιος, ὁ ἐν γόνασι τὰς ἀκοὰς ἔχων. Restitui autem cum Joach. Kuhnio πεσὼν ἔπεισε apud Laertium pro vulgata scriptura ἔπεσε.)

41. Διατρίβων ἐν Ἀσίᾳ καὶ ληφθεὶς ὑπὸ Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα, Καὶ ὧδε θαῤῥεῖς; Πότε γάρ, εἶπεν, ὦ μάταιε, θαῤῥήσαιμι ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξασθαι;

(Diogenes Laertius lib. II, 79.)

42. Τοὺς τῶν ἐγκυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς Πηνελόπης μνηστῆρσι· καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν, πάσας δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι. Τῷ δ' ὁμοιον καὶ Ἀρίστων. Τὸν γὰρ Ὀδυσσέα, καταβάντα εἰς ᾅδου, τοὺς μὲν νεκροὺς πάντας σχεδὸν ἑωρακέναι καὶ συντετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐτὴν μὴ τεθεᾶσθαι.

(Diogenes Laertius lib. II, 79. Bioni hanc sententiam tribuit Plutarchus de liber. educ. cap. 10, vol. VII p. 26 ed. Hutten. : ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ φιλόσοφος, ὅτι ὥσπερ οἱ μνηστῆρες τῇ

---

37. Interroganti Dionysio, quo animo venisset, respondit : *Ut quæ habeo tibi impertiam, quæ non habeo accipiam.* At quidam eum sic respondisse referunt : *Quando sapientia egebam, adii Socratem; nunc pecunia egens ad te veni.*

38. Condemnabat inertiæ homines in emtionibus vasa diligenter inspicientes, servorum autem emticiorum vitam leviter explorantes. Verum alii hoc Diogenis fuisse ajunt.

39. Quum aliquando Dionysius super vinum et epulas singulos in purpurea veste saltare jussisset, ajunt Platonem rejecta purpura dixisse :

Effeminata veste non possum indui.

Contra Aristippum sumta palla jamjam saltaturum scite hoc modo locutum esse :

Sacris nec Liberi
Patris pudica mens, puto, corrumpitur.

40. Quum pro amico quondam Dionysium deprecaretur neque tamen orando quidquam impetraret, ad pedes ejus provolutus hominem flexit. Cavillanti igitur, *Non ego,* inquit, *culpandus sum, sed Dionysius qui aures in pedibus habet.*

41. Quum in Asia commorans ab Artapherne satrapa comprehensus esset, interroganti, num ibi bono animo foret, respondit : *quando enim, o stulte, animosior sim, quam hoc tempore quo cum Artapherne collocuturus sum?*

42. Eos qui philosophia neglecta liberalium doctrinarum studiis vacarent, Penelopes ajebat procis esse simillimos : illos enim Melantho et Polydoram cæterasque ancillas habere, omnesque potius quam ipsam dominam matrimonio sibi jungere potuisse. Cui geminum illud Aristonis. Quippe Ulixem, quum descendisset ad inferos, mortuos fere omnes vidisse cum iisque collocutum esse, reginam vero ipsam non conspexisse.

Πηνελόπῃ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις· οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν ἐν τοῖς ἄλλοις παιδεύμασι τοῖς οὐδενὸς ἀξίοις ἑαυτοὺς κατασκελετεύουσι. At Aristoni assignat Stobæus Flor. IV, 110. Vid. Phil. Gr. Fragm. vol. I p. 493. Simile est illud Philonis Judæi in libro περὶ ἀποικίας : Τινὲς γὰρ τοῖς φίλτροις τῶν θεραπαινίδων δελεασθέντες ὠλιγώρησαν τῆς δεσποίνης φιλοσοφίας, καὶ κατεγήρασαν οἱ μὲν ἐν ποιήμασιν, οἱ δὲ ἐν γραμμαῖς, οἱ δὲ ἐν χρωμάτων κράσεσιν, οἱ δὲ ἐν ἄλλοις μυρίοις, οὐ δυνηθέντες ἐπὶ τὴν ἀστὴν ἀναδραμεῖν. Cæterum e Menagii correctione edidi τῷ δ' ὅμοιον pro τὸ δ' ὅμοιον.)

43. Ἐρωτηθείς, τίνα ἐστὶν ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν, ἔφη· Οἷς ἄνδρες γενόμενοι χρήσονται.

(Diogenes Laertius lib. II, 80.)

44. Πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ, ὡς ἀπὸ Σωκράτους πρὸς Διονύσιον ἔλθοι, Ἀλλὰ πρὸς Σωκράτην, εἶπεν, ἦλθον παιδείας δεόμενος, πρὸς δὲ Διονύσιον παιδιᾶς.

(Diogenes Laertius lib. II, 80.)

45. Ἐξ ὁμιλίας αὐτῷ χρηματισαμένῳ φησὶ Σωκράτης, πόθεν σοι τοσαῦτα; καὶ ὅς· Ὅθεν σοι τὰ ὀλίγα.

(Diogenes Laertius lib. II, 80.)

46. Ἑταίρας εἰπούσης πρὸς αὐτόν, ἐκ σοῦ κύω, Οὐ μᾶλλον, ἔφη, γινώσκεις, ἢ εἰ δι' ὁλοσχοίνων ἰοῦσα ἔφασκες ὑπὸ τοῦδε κεκεντῆσθαι.

(Diogenes Laertius lib. II, 81.)

47. Ἠτιάσατό τις αὐτὸν τὸν υἱὸν ἀπορρίπτοῦντα, ὥσπερ οὐκ ἐξ αὐτοῦ γεγονότα. Καὶ ὅς, Καὶ τὸ φλέγμα, φησί, καὶ τοὺς φθεῖρας ἐξ ἡμῶν ἴσμεν γεννωμένους, ἀλλ' ἀχρεῖα ὄντα ὡς πορρωτάτω ῥίπτομεν.

(Diogenes Laertius lib. II, 81. Id uxori eum respondisse scribit Stobæus Flor. LXXVI, 14 : Μεμφομένης αὐτῷ τῆς γυναικὸς ὅτι τὸν υἱὸν οὐ προσίεται, καὶ λεγούσης ὅτι ἐκ σοῦ εἴη, ἀποπτύσας, Καὶ γὰρ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ· ἀλλ' οὐδέν μοι χρήσιμόν ἐστιν.)

48. Ἐκδεξάμενος τὸ ἀργύριον παρὰ Διονυσίου, Πλάτωνος ἄραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, Ἐγὼ μὲν γάρ, εἶπεν, ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ἐνδεής.

(Diogenes Laertius lib. II, 81.)

49. Πρὸς τὸν εἰπόντα, τίνος ἕνεκα ἐλέγχεται παρὰ Διονυσίου; Οὗ ἕνεκα, φησίν, οἱ ἄλλοι ἐλέγχουσιν.

(Diogenes Laertius lib. II, 81.)

50. Ἤτει Διονύσιον ἀργύριον, καὶ ὅς· Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν. Ὁ δ' ὑπολαβών, Δός, εἶπε, καὶ περὶ τούτου ζητῶμεν· δόντος δέ, Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα.

(Diogenes Laertius lib. II, 82.)

51. Εἰπόντος πρὸς αὐτὸν Διονυσίου,

Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
κείνου 'στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ,

ὑπολαβὼν (ἔφη)·

Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ,

(Diogenes Laertius lib. II, 82, Aliter Plutarchus de audiendis poetis cap. XI, vol. VII pag. 116 ed. Hutten : καὶ ὁ Ζήνων ἐπανορθούμενος τὸ τοῦ Σοφοκλέους· Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται, κείνου 'στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ· μετέγραφεν· Οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ, τῷ ἐλευθέρῳ νῦν συνεκφαίνων τὸν ἀδεῆ, καὶ μεγαλόφρονα, καὶ ἀταπείνωτον. Sed Pompejus quoque in Ægyptum fugiens eosdem Sophoclis versus usurpavit teste Plutarcho vit. Pomp. cap. 78 : μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱόν, εἶπε Σοφοκλέους ἰαμβεῖα· ὅστις δὲ πρὸς τύραννον κτλ. Cæterum versiculum οὐκ ἔστι δοῦλος κτλ. Diocles apud Laertium Ari-

---

43. Rogatus, quæ essent pueris honestis discenda, respondit : *Ea quæ viris usui futura sunt.*

44. Exprobranti, quod a Socrate ad Dionysium se contulisset, *Atqui*, inquit, *doctrina indigens ad Socratem sum profectus, ad Dionysium vero animi relaxationem et requiem quærens.*

45. Quum disputationibus suis rem suam auxisset sciscitanti Socrati, *unde tam multa haberet*, respondit : *Unde tu tam pauca.*

46. Meretrice ei dicente, *Ex te gravida sum*, *Non magis*, inquit, *hoc nosti, quam si per crassissimos juncos ambulans affirmares, hocce te punctam esse.*

47. Exprobrante ipsi quodam, quod filium quasi non ex se natum projiceret, *An vero*, inquit, *ignoramus et pituitam et pediculos ex nobis gigni, quæ tamen velut inutilia quam longissime projicimus?*

48. Cuidam, quod a Dionysio ipse pecuniam, Plato librum accepisset, objurganti respondit, *Nempe ego pecunia egeo, Plato libris.*

49. Interrogatus, qua in re a Dionysio reprehenderetur, *In eadem*, inquit, *in qua cæteri me reprehendunt.*

50. Poscebat nummos Dionysium; ille autem, *Atqui dixisti*, inquit, *sapientem nullius rei inopia laboraturum.* Tum sermone ejus excepto, *Da*, inquit, *et postea de hac re quæramus* : et quum dedisset : *Videsne*, ait, *me non indiguisse?*

51. Quum Dionysius ipsum sic allocutus esset :

Quisquis tyranni scilicet intrat regiam,
fit servus ejus, liber etsi venerit;

respondit :

Non servus ille fit, si liber venerit.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

stippo ascribit, Plutarchus Zenoni attribuit, alii Platonis fuisse tradiderunt.)

52. Ὀργισθεὶς πρὸς Αἰσχίνην μετ' οὐ πολύ, Οὐ διαλλαχθησόμεθα, οὐ παυσόμεθα, εἶπε, ληροῦντες; ἀλλὰ ἀναμενεῖς, ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς κύλικος φλυαρῶν διαλλάξῃ; καὶ ὅς, Ἀσμένως, ἔφη· Μνημόνευε τοίνυν, εἶπεν Ἀρίστιππος, ὅτι σοι πρότερος, πρεσβύτερος ὤν, προσῆλθεν. Καὶ ὁ Αἰσχίνης, Εὖγε, νὴ τὴν Ἥραν, εὐλόγως εἶπας· ἐπεὶ πολλῷ μου βελτίων ὑπάρχεις. Ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἄρχεις.

(Diogenes Laertius lib. II, 83. Hoc non Æschini, sed fratri dixisse Aristippum auctor est Stobæus Flor. LXXXIV, 19: Ἀρίστιππος ἔφησε πρὸς τὸν ἀδελφόν· Μέμνησο, ὅτι τῆς μὲν διαστάσεως σὺ ἤρξω, τῆς δὲ διαλύσεως ἐγώ. At cum Laertii narratione congruit Plutarchi testimonium De cohibenda ira cap. 14 ita scribentis: ὁ δ' Ἀρίστιππος, ὀργῆς αὐτῷ πρὸς Αἰσχίνην γενομένης, καί τινος εἰπόντος· Ὦ Ἀρίστιππε, ποῦ ὑμῖν ἡ φιλία; Καθεύδει, φησίν, ἐγὼ δὲ αὐτὴν ἐγερῶ. Καὶ τῷ Αἰσχίνῃ προσελθὼν εἶπεν· Οὕτως σοι δοκῶ παντάπασιν ἀτυχής τις εἶναι καὶ ἀνήκεστος, ὥστε μὴ νουθεσίας τυχεῖν; ὁ δ' Αἰσχίνης· Οὐδὲν (ἔφη) θαυμαστόν, εἰ πρὸς πάντα τῇ φύσει μου διαφέρων, κἀνταῦθα τὸ δέον πρότερος συνεῖδες.)

53. Κρατεῖ ἡδονῆς οὐχ ὁ ἀπεχόμενος, ἀλλ' ὁ χρώμενος μέν, μὴ παρεκφερόμενος δέ, ὥσπερ καὶ νεὼς καὶ ἵππου, οὐχ ὁ μὴ χρώμενος, ἀλλ' ὁ μετάγων ὅποι βούλεται.

(Stobæus Flor. XVII, 18 Ἀριστίππου. Scripsi παρεκφερόμενος cum Jacobsio; codd. προεκφερόμενος.)

54. Ἀρίστιππος Κυρηναῖος φιλόσοφος θεασάμενός τινα ὀργιζόμενον καὶ διὰ τῶν λόγων χαλεπαίνοντα ἔφη· Μὴ τοὺς λόγους δι' ὀργῆς ἄγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων καταπαύωμεν.

(Stobæus Flor. XX, 63 Ἀριστίππου.)

55. Ἀρίστιππος ἐρωτηθείς, τί θαυμαστόν ἐστιν ἐν τῷ βίῳ, Ἄνθρωπος ἐπιεικής, εἶπεν, καὶ μέτριος, ὅτι ἐν πολλοῖς ὑπάρχων μοχθηροῖς οὐ διέστραπται.

(Stobæus Flor. XXXVII, 25 Ἀρίστιππος.)

56. Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος τοσοῦτον ἔφη διαφέρειν βασιλείαν τυραννίδος, ὅσον νόμος ἀνομίας καὶ ἐλευθερία δουλείας.

(Stobæus Flor. XLIX, 18 Ἀριστίππου.)

57. Τοῦ Διονυσίου λέγοντος πρὸς Ἀρίστιππον, Οὐδὲν ὠφέλημαι ὑπὸ σοῦ, Ἀληθῆ λέγεις, εἶπεν, εἰ γὰρ ὠφέλησα, ἐπέπαυσο ἂν τῆς τυραννίδος, ὥσπερ ἱερᾶς νόσου.

(Stobæus Flor. XLIX, 22 Ἀριστίππου.)

58. Οὐχ ὥσπερ ὑπόδημα τὸ μεῖζον δύσχρηστον, οὕτω καὶ ἡ πλείων κτῆσις· τοῦ μὲν γὰρ ἐν τῇ χρήσει τὸ περιττὸν ἐμποδίζει· τῇ δὲ καὶ ὅλῃ χρῆσθαι κατὰ καιρὸν ἔξεστι καὶ μέρει.

(Stobæus Flor. XCV, 32 Ἀριστίππου.)

59. Ἀρίστιππος γυναῖκα καλὴν μικρὰν ἰδών, Μικρὸν κακὸν μέν, μέγα δὲ καλόν, ἔφη.

(Antonius Melissa Serm. de muliere forti ac temperante pag. 607.)

60. Ἀρίστιππος ὁ Κυρηναϊκὸς φιλόσοφος παρεκελεύσατο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καὶ ναυαγήσασι συγκολυμβήσει.

(Antonius et Maximus Serm. de disciplina et philosophia p. 704.)

61 Ἀρίστιππος, ἐπειδή ποτε πλέων, τοῦ σκάφους

---

52. Quum aliquando Æschini vehementer irasceretur, haud multo post, *Nonne in gratiam*, ait, *redibimus? nonne delirandi finem faciemus? Num exspectabis, donec nugator aliquis inter scyphos nos reconciliet?* Tum Æschines, *Libenter*, inquit. Aristippus vero subjecit, *Memento ergo, me quamvis ætate te præcurram, tamen priorem ad te accessisse.* Mox Æschines, *Recte sane*, inquit, *per Junonem, ac prudenter dixisti; nam me multo melior es. Ego enim inimicitiæ, tu concordis amicitiæ et caritatis auctor fuisti.*

53. Vincit voluptatem, non qui penitus abstinet, sed qui hoc modo utitur, ut nequaquam transversus agatur; ut navem et equum moderatur, haud qui non utitur, sed qui, quo libuerit, traducit.

54. Aristippus Cyrenensis philosophus hominem iratum et asperioribus verbis jurgantem conspicatus: *Ne verba*, inquit, *per iram proloquamur, sed verbis iram nostram leniamus.*

55. Aristippus interrogatus, quid esset admirandum in vita, respondit, *Vir probus et moderatus, quoniam, etiamsi inter multos improbos homines versetur, non tamen propterea depravatur.*

56. Aristippus Cyrenensis philosophus regnum a tyrannide tantum distare dixit, quantum lex a licentia et libertas a servitute distaret.

57. Quum Dionysius exprobraret Aristippo, quod nullam ex ejus amicitia utilitatem cepisset, *Vera loqueris*, inquit; *si quid enim tibi profuissem, tyrannide, tanquam morbo comitiali, liberatus esses.*

58. Non quemadmodum calceus major inutilis est, ita et possessio amplior. Nam nimia calcei magnitudo utentem impedit: opibus autem vel universis vel ex parte aliqua suo tempore uti licet.

59. Aristippus mulierem pulchram, sed parvam intuitus, *Parvum*, inquit, *malum, sed magnum decus.*

60. Aristippus, Cyrenaicus philosophus, adolescentes cohortatus est, ut ejusmodi viatica sibi pararent, quæ etiam cum naufragis una possent enatare.

61. Aristippus quum aliquando navigans, fracta scapha, in Syracusanorum littus ejectus essel, primum

ἀπολομένου, ἐπὶ τὰς Συρακουσίων ἠϊόνας ἐξεβράσθη, πρῶτον μὲν ἐθάῤῥησε, θεασάμενος ἐπὶ τῆς ψάμμου διάγραμμα γεωμετρικόν· ἐλογίσατο γὰρ εἰς Ἕλληνάς τε καὶ σοφοὺς ἄνδρας, οὐκ εἰς βαρβάρους ἥκειν. Ἔπειτα παραγενόμενος εἰς τὸ Συρακουσίων γυμνάσιον, καὶ ταυτὶ τὰ ἔπη φθεγξάμενος,

Τίς τὸν πλανήτην Οἰδίπουν καθ' ἡμέραν
τὴν νῦν σπανιστοῖς δέξεται δωρήμασι;

προσιόντας τέ τινας ἔσχεν αὐτῷ καὶ γνωρίζοντας, ὅστις εἴη, καὶ πάντων ὧν ἐδεῖτο μεταδιδόντας εὐθέως. Ὡς δ' εἰς Κυρήνην, αὐτοῦ τὴν πατρίδα, μέλλοντές τινες πλεῖν ἐπυνθάνοντο, μή τι τοῖς οἰκείοις ἐπιστέλλει, κελεύειν αὐτοῖς ἔφη, ταῦτα κτᾶσθαι τὰ κτήματα, ἃ καὶ ναυαγήσαντι συνεκκολυμβήσει.

(Galenus Protrept. ad litteras discendas cap. V p. 11 ed. Willet. De eadem re Vitruvius in præfat. libri VI : « Aristippus, philosophus Socraticus, naufragio quum ejectus ad Rhodiensium littus animadvertisset geometrica schemata descripta, exclamasse ad comites dicitur : Bene speremus, hominum enim vestigia video; statimque in oppidum Rhodum contendit, et recta in gymnasium devenit : ibique de philosophia disputans muneribus est donatus, ut non tantum se ornaret, sed etiam eis, qui una fuerant, vestitum et cætera, quæ opus essent, præstaret. Quum autem ejus comites in patriam reverti volwissent, interrogarentque eum, quidnam vellet domum renuntiari : tunc ita mandavit dicere, ejusmodi possessiones et viatica liberis oportere parari, quæ etiam e naufragio una possent enatare. » Cf. supra fragm. 26. Simile Antisthenis dictum est apud Diog. Laert. lib. VI, 6. Cæterum versus τίς τὸν πλανήτην κτλ. qui petiti sunt ex Sophoclis Oedipo Coloneo, ipso fabulæ initio leguntur.)

62. Ἀρίστιππος Ὀλυμπίασιν Ἰσχομάχῳ συμβαλὼν ἠρώτα, τί Σωκράτης διαλεγόμενος οὕτω τοὺς νέους διατίθησι, καὶ μικρὰ ἄττα τῶν λόγων αὐτοῦ σπέρματα καὶ δείγματα λαβών, οὕτως ἐμπαθῶς ἔσχεν, ὥστε τῷ σώματι συμπεσεῖν καὶ γενέσθαι παντάπασιν ὠχρὸς καὶ ἰσχνός, ἄχρις οὗ πλεύσας Ἀθήναζε διψῶν καὶ διακεκαυμένος ἠρύσατο τῆς πηγῆς, καὶ τὸν ἄνδρα καὶ τοὺς λόγους αὐτοῦ καὶ τὴν φιλοσοφίαν ἱστόρησεν, ἧς ἦν τέλος ἐπιγνῶναι τὰ ἑαυτοῦ κακὰ καὶ ἀπαλλαγῆναι.

(Plutarchus De curiositate cap. 2, vol. X p. 132 ed. Hutten.)

63. Ἀρίστιππος χωρίον ἀπολέσας καλὸν ἠρώτησεν ἕνα τῶν πάνυ προσποιουμένων συνάχθεσθαι καὶ συναγανακτεῖν· Οὐχὶ σοὶ μὲν χωρίδιον ἕν ἐστιν, ἐμοὶ δὲ τρεῖς ἀγροὶ καταλείπονται; Συνομολογήσαντος δ' ἐκείνου, Τί οὖν, εἶπεν, οὐ σοὶ μᾶλλον ἡμεῖς συναχθόμεθα;

(Plutarchus De animi tranquillitate cap. 8, vol. X p. 12 ed. Hutten.)

64. Πανταχόθεν (φησὶν ὁ Ἀρίστιππος) ἴση καὶ ὁμοία ἡ εἰς ᾅδου ὁδός.

(Teles apud Stobæum Flor. XL, 8.)

65. Ἀρίστιππος, ἑταίρων αὐτῷ τινων ὀδυρομένων βαρύτατα, πολλὰ μὲν καὶ ἄλλα πρὸς αὐτοὺς εἶπε λύπης ἀνασταλτικά, καὶ ταῦτα δὲ ἐν προοιμίοις· Ἀλλ' ἔγωγε ἦκω παρ' ὑμᾶς, οὐχ ὡς συλλυπούμενος, ἀλλ' ἵνα παύσω ὑμᾶς λυπουμένους.

(Ælianus var. hist. lib. VII cap. 3. Scripsi cum Corae ἐν προοιμίοις; vulg. ἐν προοιμίῳ.)

66. Πάνυ σφόδρα ἐῤῥωμένως ἐῴκει λέγειν ὁ Ἀρίστιππος, παρεγγυῶν, μήτε τοῖς παρελθοῦσιν ἐπικά-

---

quidem bono animo esse cœpit, quia in arena videbat descriptas formas geometricas : reputabat enim, sese ad Græcos et sapientes viros, non ad barbaros pervenisse. Mox, ubi Syracusanorum gymnasium ingressus est et hosce versus pronuntiavit :

Quis Œdipum in diem vagantem et exsulem
bonis recipiet hoc die rarissimis?

habuit et qui ipsum adirent et qui postquam quis esset cognoverunt statim omnia quibus egeret homini impertirent. Deinde quum quidam Cyrenas, illius patriam, navigaturi sciscitarentur, num quid suis familiaribus renuntiari vellet : *Jubete*, inquit, *illos has sibi parare possessiones, quæ etiam fracta navi simul enatant cum possessore.*

62. Aristippus quum Olympiæ Ischomacho occurrisset, quæsivit ex eo, quibusnam disputationibus Socrates ita adolescentes afficeret, acceptisque exiguis sermonum ejus seminibus ac documentis, eo animi ardore abreptus est, ut et corpus marcesceret et plane pallidus gracilisque redderetur, donec sitiens et flagrans Athenas navigavit atque ex ipso fonte hausit, Socratemque et doctrinam ejus ac philosophiam cognovit : cujus philosophiæ finis est, agnoscere sua mala iisque liberari.

63. Aristippus, amisso prædio præclaro, ex eorum aliquo qui vehementer casum ejus dolere et inique ferre se simulabant, quæsivit : *Nonne tu unicum possides agellum, mihi tres fundi sunt reliqui?* Assenso illo, *Cur igitur*, inquit, *non tuam potius vicem doleam?*

64. Undique, inquit Aristippus, æqualis et similis via ad inferos patet.

65. Aristippus quum quidam ex sodalibus ejus gravissime lamentarentur, cum alia multa ad sedandum dolorem idonea illis dixit, tum etiam hæc in exordiis jactata : *At ego ad vos non veni, ut una dolerem, sed ut vos dolore liberarem.*

66. Omnino valde fortiter dicere videbatur Aristippus, hortans, ne præteritis angerentur homines neve de futuris

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

μνειν, μήτε τῶν ἐπιόντων προκάμνειν· εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο, καὶ ἵλεω διανοίας ἀπόδειξις. Προσέταττε δὲ ἐφ' ἡμέρᾳ τὴν γνώμην ἔχειν, καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ' ἐκείνῳ τῷ μέρει, καθ' ὃ ἕκαστος ἢ πράττει τι ἢ ἐννοεῖ. Μόνον γὰρ ἔφασκεν ἡμέτερον εἶναι τὸ παρόν, μήτε δὲ τὸ φθάσαν, μήτε τὸ προσδοκώμενον· τὸ μὲν γὰρ ἀπολωλέναι, τὸ δὲ ἄδηλον εἶναι, εἴπερ ἔσται.

(Ælianus var. hist. lib. XIV cap. 7. Posui φθάσαν cum Corae; vulg. φθάνον.)

67. Ἀρίστιππος ὁ φιλόσοφος χρισάμενος μύρῳ, κακοὺς κακῶς ἀπολωλέναι χρῆναι τοὺς κιναίδους ἔφασκεν τοῦ μύρου τὴν ὠφέλειαν εἰς λοιδορίαν διαβεβληκότας.

(Clemens Alexandrinus Pædagog. lib. II p. 179 ed. Sylb. qui hæc explicationis causa præmittit: διαφέρει δὲ ὅλως τὸ μυραλοιφεῖν τοῦ μύρῳ χρίεσθαι· τὸ μὲν γὰρ θηλυδριῶδες, τὸ δὲ χρίεσθαι τῷ μύρῳ λυσιτελεῖ ἔσθ' ὅτε. Similiter Diogenes Laertius in Aristippi vita lib. II, 76: πρὸς Χαρώνδαν εἰπόντα, Τίς ὁ μεμοριασμένος; Ἐγώ, φησίν, ὁ κακοδαίμων, κἀμοῦ κακοδαιμονέστερος ὁ Περσῶν βασιλεύς. Ἀλλ' ὅρα μή, ὡς οὐδὲν τῶν ἄλλων ζῴων παρὰ τοῦτο τὶ ἐλαττοῦται, οὕτως οὐδ' ἂν ἄνθρωπος. Κακῶς κακοὶ δ' ἀπόλοιντο οἱ κίναιδοι, οἵτινες καλὸν ἡμῖν ἄλειμμα διαβάλλουσιν. Seneca de Benef. lib. VII cap. 25: Aristippus aliquando delectatus unguento, Male, inquit, istis effeminatis eveniat, qui rem tam bellam infamaverunt.)

Ἀρίστιππος Ἀντισθένει.

68. Κακοδαιμονοῦμεν, ὦ Ἀντίσθενες, οὐ μετρίως. Πῶς γὰρ οὐ μέλλομεν κακοδαιμονεῖν, ὄντες παρὰ τυράννῳ, καὶ δσημέραι ἐσθίοντες καὶ πίνοντες πολυτελέα καὶ ἀλειφόμενοί τινι τῶν εὐωδεστάτων μύρων, καὶ σύροντες ἐσθῆτας μαλακὰς ἐκ Τάραντος. Καὶ οὐδείς με ἐξαιρήσεται τῆς Διονυσίου ὠμότητος, ὅστις μέ τοι ὥς τινα ἐνεχύριον οὐκ ἀγνῶτα, ἀλλὰ καὶ λόγων ἐπιμελητὰν τῶν Σωκρατικῶν κατέχει, ὥσπερ ἔφην, σιτίζων καὶ ἀλείφων, καὶ ἀμφιεννὺς τοιαῦτα. Καὶ οὔτε δίκαν φοβεῖται τῶν θεῶν, οὔτ' ἄνθρωπον αἰδεῖται, ὅστις με τοιαῦτα διατίθεται. Νῦν δ' αὖ καὶ τὸ κακὸν εἰς τὸ δεινότερον οἴχεται, ὅπου δεδώρηται γυναῖκας Σικελικὰς ἀναλέκτους τὸ κάλλος, καὶ ἀργύρια πάμπολλα. Καὶ πότε παύσεται ἄνθρωπος οὗτος τοιαῦτα ποιέων, οὐκ οἶδα. Εὖ οὖν ποιεῖς ἀχθόμενος ἐπὶ τᾷ κακοδαιμονίᾳ τῶν ἄλλων· κἀγὼ δὲ ἐπὶ τᾷ σᾷ εὐδαιμονίᾳ ἄδομαι, ἵνα σοι τὰ αὐτὰ δόξω ποιεῖν τε καὶ ἀποτίνειν τὰς χάριτας. Ἔρρωσο. Τῶν τε ἰσχάδων ἀποτίθεσο ὧν ἔχεις εἰς τὸ χεῖμα, καὶ τῶν ἀλφίτων ἔχου τῶν Κρητικῶν· ταῦτα γὰρ δοκέει ἀμείνω τοῦ χράματος εἶναι· καὶ ἀπὸ τᾶς Ἐννεακρούνω λούου τε καὶ πῖνε καὶ τὸν αὐτὸν τρίβωνα, θέρους τε καὶ χειμῶνος ἔχε ῥυπόωντα, ὡς πρέπει τῷ ἐλευθέρῳ καὶ ζῶντι ἐν Ἀθήναις δαμοκρατικῶς. Ἐγὼ μὲν γάρ, ἐξ οὗ εἰς τυραννουμένην ἦκον πόλιν τε καὶ νᾶσον, ἤδειν, ὅτι κακοδαιμονήσω ταῦτα πάσχων, καθάπερ σύ μοι γράφεις. Νῦν δὲ ἐλεοῦντές με περιβλέποντι Συρακούσιοι καὶ Ἀκραγαντίνων οἱ ἐπιδημοῦντες, καὶ Γελώων, καὶ οἱ ἄλλοι Σικελιῶται. Τᾶς δὲ μανίας ἃς ἐμάνην εἰς ταῦτα ἐλθὼν ἀβούλως τὰ ἀτοπήματα, ἐπαρῶμαι ἀρὰν

---

solliciti essent: id enim securitatis esse documentum et hilaris animi specimen. Jubebat autem in diem duntaxat viventes meditari de rebus suis rursusque eam diei partem spectare, qua quisque quid ageret aut cogitaret. Solum enim quod præsens foret nostrum esse ajebat, at neque præteritum, nec speratum quidquam; quippe alterum jam abiisse, alterum essetne eventurum, incompertum haberi.

67. Aristippus philosophus quum unguento unctus esset, dicebat malos male perire oportere cinædos, qui unguenti utilitatem infamaverunt.

Aristippus Antistheni.

68. Non parum infortunatus sum, Antisthenes. Qui enim non sim, quum in aula tyranni verser, quotidie vero opipare et edam, et bibam, porro unguentis odoratissimis niteam delibutus, denique Tarentinas vestes easque longas mollesque traham. Neque est profecto qui me Dionysii crudelitate liberare velit, qui me non rudem, sed Socraticæ sapientiæ antistitem pignoris loco detinet, cibos, ut dixi, unguenta, vestes quoque hujusmodi subministrans. Quin etiam neque divinam metuit pœnam, neque homines veretur, qui ita mecum agit. Verum nunc magnus miseriæ meæ cumulus accessit, quum Siculas mihi donaverit mulieres pulchritudine insignes et grandem pecuniam. Neque scio, quando homo hic talia patrandi finem facturus sit. Bene igitur facis, quod aliorum infelicitatem moleste fers: equidem vero tua felicitate lætor, ut eadem quæ tu facere et gratiam referre videar. Vale. Caricas, quas habes, in hiemem instantem conde et repone, farinamque Creticam capesse; omnibus enim ista opibus præstare arbitror. Præbeat tibi Ennecrunus fons et lavationem et potum. Sit idem tibi æstate et hieme pallium sordidum, ut decet hominem ingenuum in libera Atheniensium civitate populariter viventem. Ego enim, ex quo in urbem et insulam a tyranno oppressam veni, exploratum habebam, me infelicem fore hæc perpetientem, quemadmodum et tu mihi scribis. Jam vero me Syracusani atque ex Agrigentinis et Gelensibus quicunque hic peregrinantur cæterique Siculi miserantes aspiciunt. Detestans autem insaniam meam, propter quam temere ad hasce ineptias abii, ipse mihi merito diras imprecor, ne unquam ex istis malis emergam; quia quum tot annos habeam ac sapere videar, neque esurire, frigere, male audire, neque barbam promittere volui. Porro mittam tibi grandes candidosque lupinos, ut ubi adolescentibus Herculem prælegeris, habeas quod manduces. Jam enim, ut aiunt, nequaquam

κατ' ἐμαυτοῦ, ἃς ἄξιός εἰμι, μὴ ἐκλιπεῖν με τὰ κακὰ ταῦτα· ὅτι τε ἐγὼ γεγονὼς ἔτη τοσαῦτα, καὶ φρονεῖν δοκέων, πεινῆν καὶ ῥιγοῦν καὶ ἀδοξεῖν οὐκ ἠθέλησα, οὐδὲ πώγωνα τρέφειν μέγαν. Πέμψω δέ σοι τῶν θέρμων τὼς μεγάλως τε καὶ λευκώς, ἵν' ἔχῃς μετὰ τὸ ἐπιδείξασθαι τὸν Ἡρακλέα τοῖς νέοις, ὑποτρώγειν· αἰσχρὸν γὰρ οὐ φαντί σοι περὶ τοιούτων ἥδη λέγειν ἢ γράφειν. Διονυσίῳ γὰρ ἐάν τις λέγῃ περὶ θέρμων, αἰσχρόν γε οἶμαι διὰ τὼς τῶν τυράννων νόμως. Τὰ λοιπὰ δὲ παρὰ Σίμωνα τὸν σκυτοτόμον βάδιζε διαλεγόμενος, οὗ μεῖζόν σοι ἐν σοφίᾳ οὐδὲν ἔσται, οὐδ' ἂν γένοιτο. Ἐμοὶ μὲν γὰρ ἀπηγόρευται τοῖς χειροτέχναις προσιέναι, ἐπειδὴ ὑφ' ἑτέρων ἐξουσίᾳ εἰμί.

(Socraticorum et Pythagoreorum Epist. p. 16 seq. ed. Orell.).

Αἰσχίνης Ἀριστίππῳ.

69. Ἔγραψα μὲν καὶ Πλάτωνι παρακαλῶν, ὅπως διαπράξηται σωθῆναι τοὺς Λοκροὺς νεανίσκους, καὶ σοὶ δὲ τὰ αὐτὰ ἐπιστέλλων οὐχ ἁμαρτάνειν οἶμαι· ποιήσεις γὰρ ἄσμενος. Οἶσθα δὲ τὴν πρὸς αὐτούς μοι ἑταιρίαν, καὶ ὅτι Διονύσιος ἐξηπάτηται, ὡς ἀδικούντων αὐτῶν ἔχων δόξαν. Ἤδη πειρῶ τοῦτο ποιῆσαι θᾶττον. Ἔρρωσο.

(Socraticorum et Pythagoreorum Epist. pag. 17 ed. Orell.)

Ἀρίστιππος Αἰσχίνῃ.

70. Λυθήσονται τᾶς φυλακᾶς οἱ νεανίσκοι, περὶ ὧν μοι γράφεις, οἱ Λοκροί, καὶ οὐ τεθνάξονται· οὐδὲ ἀπολοῦντί τι τῶν χρημάτων, ἥκοντές γε παραυτὰ τοῦ θανεῖν. Ταῦτα δὲ Ἀντισθένει μὴ λέξῃς, εἰ σέσωκα τοὺς φίλους. Οὐ γὰρ αὐτῷ ἀρέσκει τυράννοις φίλοις χρῆσθαι, ἀλλὰ τὼς ἀλφιτοπώλας καὶ τὼς καπήλως ἀναζητεῖν, οἵτινες δικαίως τὰ ἄλφιτα καὶ τὸν οἶνον πωλοῦσιν ἐν Ἀθήναις, καὶ τὰς ἐξωμίδας μισθοῦσι τὰς παχείας, ὁπόταν οἱ σκίρωνες πνέωντι, καὶ τὸν Σίμωνα θεραπεύειν. Τοῦτο γὰρ οὐκ ἔστι χρᾶμα.

(Socraticorum et Pythagoreorum Epist. p. 17 seq. ed. Orell.)

Σίμων Ἀριστίππῳ.

71. Ἀκούω σε τωθάζειν ἡμᾶς τῆς σοφίας παρὰ Διονυσίῳ. Ἐγὼ δὲ ὁμολογῶ εἶναι σκυτοτόμος καὶ ἐργάζεσθαι τοιαῦτα, καὶ ὁμοίως, εἰ δέοι, σκύτη τέμνειν αὖ πάλιν εἰς νουθεσίαν ἀνθρώπων ἀφρόνων, καὶ οὕτω μετὰ πολλῆς χλιδῆς οἰομένων ζῆν παρὰ τὴν Σωκράτους βουλήν. Ἔσται δὲ ὁ σωφρονιστὴς τῶν ἀφρόνων ὑμῶν παιδιῶν Ἀντισθένης· γράφεις γὰρ αὐτῷ κωμῳδῶν ἡμῶν τὰς διατριβάς. Ἀλλὰ τούτων μέν, ὦ θεία φρήν, ἅλις καὶ πεπαίχθω πρὸς σέ μοι. Μέμνησο μέντοι λιμοῦ καὶ δίψης· ταῦτα γὰρ δύναται μέγα τοῖς σωφροσύνην διώκουσιν.

(Socraticorum et Pythagoreorum Epist. p. 18 ed. Orell.)

Ἀρίστιππος Σίμωνι.

72. Οὐκ ἐγώ σε κωμῳδῶ, ἀλλὰ Φαίδων, λέγων γεγονέναι σε κρείσσονα καὶ σοφώτερον Προδίκῳ τῷ Κείῳ [a], ὃς ἔφα ἀπελέγξαι σε αὐτὸν περὶ τὸ ἐγκώμιον τὸ εἰς τὸν Ἡρακλέα γενόμενον αὐτῷ. Θαυμάζω μέντοι σε καὶ ἐπαινῶ, εἰ σκυτικὸς ὢν σοφίας ἐμπλησθείς [b], πάλαι μὲν Σωκράταν ἔπειθες, καὶ τὼς καλλίστους τὼς νέως καὶ εὐγενεστάτως παρὰ σὲ καθέζεσθαι, οἷον Ἀλκιβιάδαν τε τὸν Κλεινίου, καὶ Φαῖδρον τὸν Μυρρινούσιον, καὶ Εὐθύδαμον τὸν Γλύκωνος, καὶ τῶν τὰ

---

turpem esse putas de talibus rebus vel sermonem tecum habitum vel epistolam ad te datam. Nam si quis coram Dionysio de lupinis loquatur, eum quod a tyrannorum moribus abhorreat dicturum esse existimo. Quod superest, Simonem sutorem conveni, ut cum eo sermones conferas, quo, ut tibi placet, in sapientia nemo excellentior est, nec erit unquam. Mihi enim interdictum est, ne opifices adeam, quoniam in aliorum potestate sum.

Æschines Aristippo.

69. Ad Platonem etiam epistolam dedi, vestram fidem obsecrans, ut salvos præstetis Locros juvenes, eademque tibi scribens, haud, ut opinor, erravero; siquidem quæ peto lubens facies. Scis enim, quo sodalitii jure mihi juncti sint, nec non Dionysium falli, eos jus violasse existimantem. Jam hoc protinus facere conare. Vale.

Aristippus Æschini.

70. Locri juvenes, de quibus mihi scripsisti, e custodia emittentur, neque capitis supplicium neque muletam subituri, licet jam in mortis periculum adducti fuerint. Noli tamen Antistheni dicere, mea opera ejus amicos esse servatos. Non enim libet ei tyrannis amicis uti, sed farinæ venditores et caupones quærere, qui farinam et vinum Athenis sine fraude vendunt, tunicasque crassas locant hiberno tempore quum scirones flant, et Simonem suum observare. Hæ enim res non sunt opes.

Simon Aristippo.

71. Audio te apud Dionysium nostram irridere doctrinam. At ego me sutorem esse profiteor et talia qualia isti solent conficere, similiterque rursus, si opus fuerit, coria secare ad castigandos homines stultos, qui quum ad Socratis normam vitam dirigere sibi videantur, luxuria diffluunt. Erit autem Antisthenes scurrilium, quibus usi estis, jocorum castigator; quoniam ad hunc data epistola disputationes nostras ludificatus es. Sed hæc adversus te, divinum ingenium, per jocum dixisse suffecerit. Sis tamen memor famis et sitis; multum enim hæc prosunt iis qui temperantiam sequuntur.

Aristippus Simoni.

72. Non ego te ludificor, sed Phædo, dicens te præstantiorem et sapientiorem quam Prodicum Ceum evasisse, qui Herculis laudes ab ipso litteris celebratas te refutasse rettulit. Admiror nihilominus te et laudo, qui quum sutor sis, tamen eruditione repletus jam dudum Socrati pulcherrimisque adolescentibus et nobilissimis, velut Al-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

κοινὰ πρασσόντων Ἐπιχράτεα τὸν Σακεσφόρον [c], καὶ Εὐρυπτόλεμον καὶ τὼς ἄλλως· ὡς εἰ [d] Περικλεῖ γε τῷ Ξανθίππω μὴ αἱ στρατηγίαι ἦσαν, καὶ ὁ πόλεμος τότε, κἂν οὗτος, οἶμαι, ἦν παρὰ σέ. Καὶ νῦν ἴσμεν, ὁποῖος εἶ, Ἀντισθένας γὰρ παρὰ σὲ φοιτᾷ. Δύνῃ δὲ καὶ ἐν Συρακούσαις φιλοσοφεῖν· οἱ γὰρ ἱμάντες τίμιοί εἰσι καὶ τὰ σκύτη. Καὶ οὐκ οἶσθα, ὡς ἐγὼ μὲν τῶν ὑποδημάτων χρώμενος παρέκαστα τὰν τέχναν σου θαυμασίαν τινὰ ποιῶ· Ἀντισθένας δὲ γυμνοποδῶν, τί γὰρ ἄλλο πράττει, ἢ σοὶ ἀργίαν καὶ ἀμισθίαν εἰσάγει, πείθων τὼς νέως καὶ ἅπαντας Ἀθηναίως γυμνοποδεῖν; Σκόπει οὖν, ὁπόσον σοι ἐγὼ φίλος ὁ ῥαστώναν καὶ τὰν ἀδονὰν ἀποδεχόμενος. Σὺ δ' ὁμολογῶν εὐλόγως ἐρωτᾶν Πρόδικον, τὸ ἀκόλουθον οὐκ ἔγνως ἐπὶ σαυτοῦ· οὕτως γὰρ ἂν ἐμὲ μὲν ἐθαύμαζες, τὼς δὲ ἔχοντας βαθεῖς τὼς πώγωνας καὶ τὼς σκίπωνας ἐγέλασας τᾶς ἀλαζονείας, ῥυπῶντάς τε καὶ φθειριῶντας, καὶ ὄνυχας, ὥσπερ τὰ θηρία, μακρὼς περικειμένως καὶ ἐναντίας σου τᾶς τέχνας ὑποτιθεμένως ὑποθήκας.

(Socraticorum et Pythagoreorum Epist. pag. 18 sq. ed. Orell. Scripsi : [a] τῶ Κείω ; codd. τῷ Κίῳ. — [b] ἐμπλησθείς, πάλαι; codd. ἐμπλησθείς, καὶ πάλαι. — [c] Ἐπικράτεα τὸν Σακεσφόρον intelligit Epicratem barbatum, cujus barba ea erat latitudine, ut scuto similis esset. Meminit de hoc Epicrate Aristophanes Eccles. v. 71, ubi Scholiastes sic poetæ verba exponit : Ἐπικράτης ἦν ῥήτωρ καὶ δημαγωγός· οὗτος μέγαν πώγωνα ἔχων ἐπεκαλεῖτο Σακεσφόρος. Καὶ Πλάτων ὁ κωμικός φησιν· Ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε. — [d] ὡς εἰ Περικλεῖ cum Allatio ; codices ὡς εἰ καὶ Περικλεῖ.)

Ἀριστίππου.

73. Τὰ περὶ τῆς τελευταίας Σωκράτους ἐμάθομεν ἐγώ τε καὶ Κλεόμβροτος, καὶ ὅτι [a] παριέμενος ὑπὸ τῶν ἕνδεκα διαδρᾶναι [b] ὑπέμεινε, λέγων ὅτι οὐ [c] μέλλοι διαδρᾶναι, εἰ μὴ καὶ πρότερον παρὰ τὼς νόμως σωθείη· οὕτω γὰρ ἂν ἃ πατρὶς αὐτοῦ, ὅσον ἐφ' αὑτῷ, καταπροδοθείη. Ἐμοὶ δὲ ἐδόκει ἀδίκως αὐτὸν ἐμπεσόντα [d], ὅτῳ ὁήποτε τρόπῳ σώζεσθαι· δοκέον [e] μέντοι πάντα τὰ ἐκείνῳ πρασσόμενα καὶ κακὰ καὶ ἄφρονα ἄδικα [f] εἶναι, ὥστε ταῦτα πάλιν μὴ ἐπιμέμφεσθαι ἀμέτρως γεγονέναι. Ἐπέστειλας δέ μοι, πῶς ἀνεχωρήσατε πάντες ἀπ' Ἀθηνῶν οἱ Σωκράτους ἐρασταί τε καὶ φιλόσοφοι, δεδιότες μή τι καὶ ἐφ' ὑμᾶς ἔλθοι τῶν αὐτῶν ἄν· καὶ οὐκ ἐποιεῖτε φλαύρως. Καὶ ἁμὲς [g] οὖν ὡς ἐσμέν, ἐν Αἰγίνᾳ διατελέομες ἐπὶ τοῦ παρόντος· εἶτα δὲ παρ' ὑμᾶς ἀφιξόμεθα, καὶ εἴ τι ἔχοιμες βέλτιον ποιέειν ποιήσομες.

(Socraticorum et Pythag. Epist. pag. 23 seq. ed. Orell. Scripsi : [a] καὶ ὅτι παριέμενος; codd. καὶ ὅτι οὔτε παριέμενος. — [b] διαδρᾶναι ex codd., alii διαδιδράναι. — [c] ὅτι οὐ μέλλοι διαδρᾶναι; libri ὅτι νῦν μέλλοι δικάσειν. — [d] ἐμπεσόντα i. e. εἰς δεσμωτήριον ἀχθέντα. Vid. Hesych. — [e] δοκέον cum Orellio; codd. δοκέων. — [f] ἄδικα; codd. δίκαια. — [g] ἁμὲς; codd. ἄμες.)

Ἀρίστιππος Ἀρήτῃ τῇ θυγατρί.

74. Ἐκομισάμην παρὰ σοῦ γράμματά μοι πεμφθέντα διὰ Τηλέα, ἐν οἷς ἐδέου μου [a] παραγενέσθαι ὡς τάχιστα εἰς Κυρήνην, λέγουσα οὐκ εὖ σοι ἀπαντᾶ-

cibiadi Cliniæ filio et Phædro Myrrhinusio et Euthydemo Glyconis filio et ex iis qui res publicas administrant Epicrati scutato et Euryptolemo cæterisque persuaseris, ut tibi assideant. Nam nisi Pericles Xanthippi filius exercitibus ducendis et bello gerendo tum occupatus fuisset, hunc quoque arbitror apud te fuisse futurum. Sed nunc scimus, qualis sis; quoniam Antisthenes te frequentat. Potes vero etiam Syracusis philosophiam profiteri; lora enim et pelles ibi cara sunt. At ignoras, me calceorum usu semper et ubique artem tuam admirandam facere. Contra Antisthenes discalceatus quid aliud quam otium tibi affert et mercede te fraudat, qui adolescentibus cunctisque Atheniensibus persuadet, ut nudis pedibus incedant? Considera igitur, quam vera amicitia tecum junctus sim, qui vitæ tranquillitatem et voluptatem commendo. Tu vero qui opportunis interrogatiunculis Prodicum te pungere fateris, quid hinc in te redundarit non animadvertisti. Namque ita demum me observares et coleres; at istos, qui promissa barba insignes baculo innituntur, viros squalidos, pediculosos, longis unguibus bestiarum more deformatos et contraria tuæ arti præcepta dantes contemneres eorumque ostentationem rideres.

Aristippi.

73. De morte Socratis ego et Cleombrotus certiores facti sumus, nuntiatumque est, quum illi ab Undecimviris fugiendi licentia daretur, remansisse dicentem, nolle se fugere, nisi prius capitis absolutus foret legitime; siquidem isto modo illius patria, quantum in ipso situm esset, proderetur. Meum vero judicium erat, eum, quum injuste in carcerem ductus esset, quacunque ratione servandum fuisse, quoniam cuncta illi illata et mala et stulta et injusta esse videbantur, ita ut rursus reprehendendum non esset, si quid in eo servando immoderate fieret. Docuisti me etiam per litteras, vos omnes Socratis amatores et sapientiæ studiosos, metuentes ne vobis quoque tale quid accideret, Athenis discessisse, quod omnino bene fecistis. Nos item, ut sumus, in præsenti Æginæ commoramur; postea ad vos veniemus, et si quod beneficium in vos conferre poterimus, conferemus.

Aristippus Aretæ filiæ.

74. Accepi litteras tuas Telei opera ad me missas, quibus a me petis, ut quam citissime Cyrenas advolem, quod neque bene tecum agant præfecti, neque maritus tuus pudore suffusus solitusque procul a civilibus procellis ætatem traducere ad res domesticas dispensandas

σθαι οὔτε παρὰ τῶν ἐπισκόπων, οὔτε ἱκανὸν εἶναι οἰκονομῆσαι τὸν ἄνδρα, αἰδώ τε ἔχοντα, καὶ θορύβων πολιτικῶν ζῆν μακρὰν εἰθισμένον. Ἐγὼ δὲ πειρώμενος ὡς ἂν ἀφεθείην ὑπὸ τοῦ Διονυσίου πλεῦσαι πρὸς σέ, ἐμποδών μοι τοῦ χρεὼν στάντος ἐν Λιπάραις μαλακῶς ἔσχον· ὅτε δὴ καὶ τοὺς περὶ Σώνικον ἄριστά μοι προσφερομένους ἐνόησα τημελοῦντάς με γνησίως, καὶ ὡς ἐν ᾅδου ὄντα ἤδη ποιοῦντας ἀναζῆν διὰ διάθεσιν [b] φιλικήν. Περὶ ὧν δὲ ἔκρινάς [c] με τίνα ἕξεις τιμὴν ὑπ' ἐμοῦ ἠλευθερωμένοις, οἳ καὶ ἔλεγον Ἀριστίππου μὴ ἀποχωρήσειν, ἕως ἂν αὐτοῖς ἡ δύναμις ἀρέσκειν ἐκείνῳ τε καὶ σοί· πάντ' οὖν αὐτοῖς πίστευε· περιέσται γὰρ αὐτοῖς ἐκ τῆς ἐμῆς βιοτῆς μὴ εἶναι κακοῖς. Ὑποτίθεμαι δέ σοι τὰ πρὸς ἄρχοντας οἰκονομεῖν, ὥστε τὸ ἐμὸν συμβούλευμα τοῦτο συμφέρον (δέχεσθαι). Τοῦτο δὲ ἦν μὴ τοῦ πλείονος ὀριγνᾶσθαι. Ῥᾷστα γὰρ οὕτως ἐξάγεις τὰ κατὰ τὸν βίον, ὑπεροπτικὴ παντὸς οὖσα τοῦ πλέονος. Οὐ γὰρ ἂν [d] τοσοῦτον ἐκεῖνοί σε ἀδικήσαιεν, ὥστε σε ἐνδεᾶ γενέσθαι. Οἱ δύο μὲν γάρ σοι κῆποι μένουσιν, ἱκανοὶ ὄντες καὶ πολυτελεῖ βίῳ. Τὸ δ' ἐν τῇ Βερνίκῃ κτῆμα καὶ μόνον καταλειφθὲν πρὸς ἀρίστην διαγωγὴν οὐχ ὑπολείψει. Τῶν μικρῶν ἡμῶν οὐ παρακελεύομαι καταφρονεῖσθαι [e], ἀλλὰ μὴ ἐπὶ μικροῖς ταράττεσθαι, ἔνθα οὐδὲ ἐπὶ μεγάλοις καλὸν ἡ ὀργή. Εἰ δέ μου διαλυθέντος ὑπὸ τῆς φύσεως γνῶναι [f] ἐμὸν βούλημα ζητεῖς, ὡς ὅτι κράτιστα παιδεύσασα τὸν Ἀρίστιππον Ἀθήναζε χώρει, Ξανθίππην καὶ Μυρτὼ πρὸ παντὸς ποιουμένη, αἵ με πολλάκις ἐλιπάρουν ἐπὶ μυστήριά σε ἄγειν [g]. Τὸ οὖν ἡδὺ βιότευμα μετὰ τούτων ἔχουσα, κατάλιπε τοῖς ἐν Κυρήνῃ ἐπισκόποις ὅ,τι ποτ' ἂν ἐθέλωσιν ἀδικεῖν· σὲ γὰρ οὐκ εἰς τὸ φυσικὸν τέλος ἀδικήσουσιν [h]. Πειρῶ δὲ μετὰ Ξανθίππης καὶ Μυρτοῦς ζῆν, ὡς ἐμοὶ φίλον μετὰ Σωκράτους, πλέον διὰ τῆς ἐκείνων φιλίας σεαυτὴν στέλλουσα· ἐκεῖθι [i] τὸ σοβαρὸν οὐκ ἐπιχώριον. Εἰ δ' ἔλθοι θᾶττον ἅμα Λαμπροκλῆς εἰς Κυρήνην ὁ Σωκράτους, ὃς ἐν Μεγάροις ὡμίλει μοι, ποιήσεις ἄριστα κοινουμένη τὸν βίον αὐτῷ, καὶ μηδὲν διαφορώτερον τοῦ τέκνου τιμῶσα. Θῆλυ δὲ τέκνον εἰ μηκέτι τρέφειν βούλει, διὰ τὸ πολλὰ ἀνιᾶσθαι ἐπὶ παιδοτροφίᾳ, τὸ τῆς Εὐβοΐδος θυγάτριον, ὃ δὴ ἐλευθέρως ἦγες, ἐμοί τε χαρίζεσθαι βουλομένη [k] τῷ τῆς ἐμῆς μητρὸς ὀνόματι προσήγορευσας (καὶ γὰρ ἐγὼ πολλάκις Ἀμυκλὴν [l] αὐτὸ προσήγορευσα) ἐπιτήδειον ἔσται [m]. Πρὸ παντὸς δὲ ἐπισκόπει τοῦ μικροῦ Ἀριστίππου ἐπιμελεῖσθαι, ὅπως ἔσται ἄξιος [n] ἡμῶν καὶ φιλοσοφίας· ταύτην γὰρ αὐτῷ καταλείπω τὴν ὄντως κληρονομίαν, τἄλλα μὲν γὰρ τοῦ βίου καὶ τοὺς ἐν Κυρήνῃ ἄρχοντας ἔχει πολεμίους. Περὶ φιλοσοφίας δὲ οὐδὲ ἕν μοι γέγραφας, ὅτι ταύτην σοῦ τις ἀφήρηται. Μέγα οὖν, ὦ ἀγαθὴ γύναι, χαῖρε ἐπὶ τῷ πλουτεῖν πλοῦτον τὸν ὑπὸ σοὶ κείμενον, καὶ κτηματίτην ποίει τούτου τὸν υἱόν, ὃν ἐβουλόμην μὲν ἂν αὐτὸς [o] ἤδη ἐμὸν υἱὸν εἶναι. Ἐπειδὴ δὲ ἀναλύω μὴ ἐμπλησθεὶς αὐτοῦ, πέποιθα καὶ σοί, διότι τὴν αὐτὴν ἄξεις πορείαν τὴν συνήθη ἀγαθοῖς ἀνδράσιν. Ῥῶσο καὶ περὶ ἡμῶν ἀστενάκτει.

---

idoneus sit. Ego vero conatus a Dionysio proficiscendi ad te veniam impetrare, ingruente sinistro fato in insula Lipara ægrotavi : quo tempore Sonicum ejusque familiares optime se adversus me gerere intellexi, quoniam me legitime tractabant et quasi jam mortuum propter ipsorum in me amorem et amicitiam in vitam revocarunt. De eo autem quod me interrogasti, quem honorem habere debeas iis qui a me in libertatem vindicati sunt, et qui affirmabant se ab Aristippo non esse discessuros, quamdiu illi tibique placere possent, scito iis in omnibus rebus tibi esse credendum : nam ex mea vita in eos morum emendatio redundabit. Illud vero suadeo, ut quæ cum præsidibus tibi negotia sunt, in iis utile meum consilium sequaris. Hoc autem erat, nequaquam nimium cupere. Nam si rerum supervacanearum possessionem contemnas, commodissime ætatem exigas. Neque enim illi adeo in te erunt injusti, ut ad inopiam redigaris. Duo enim viridaria quæ supererunt, vitæ delicatæ suffecerint. Suburbanum autem Bereniceum, si vel solum relinquatur, ad vitam optime agendam semper satis erit. Non cohortor te, ut exiguas res nostras despicias, sed ne parvis turberis, quando ne magna quidem stomachari decet. Si vero naturæ concessero consiliumque meum nosse vis, filio Aristippo quam optime instituto, Athenas velim petas ibique præ ceteris colas Xanthippen et Myrto, quæ me sæpe rogabant, ut te ad mysteria adducerem. Jucunde igitur cum illis vivens urbi Cyrenensi præfectis jus quomodocunque volunt violandum relinque : nam, quantum ad naturalem bonorum finem, jus tuum non infringent. Tu autem conare cum Xanthippe et Myrto ea ratione vivere, qua mihi cum Socrate vivere lubet, illarum amicitia magis magisque te ipsam ornans : nam fastus illius regionis hominibus inusitatus est. Si vero cito Lamprocles simul, Socratis filius, Cyrenas venerit, qui Megaris mecum versabatur, optime feceris, si illo contubernali et convictore utaris eumque æque ac filium tuum colas. Filiolam si non amplius educare vis ob molestiam quam e puerorum educatione traxisti, Euboidis filia, quam liberaliter erudivisti mihique gratificatura matris meæ nomine appellasti (nam et ipse sæpe eam Amycen vocavi), ad hanc rem idonea erit. Porro ante omnia inducas animum parvuli Aristippi curam agere, ut nobis dignus et philosophia, quam illi luculentam reapse hereditatem relinquo, evadat; reliqua enim quæ ad vitam necessaria sunt principes Cyrenensium adversarios habent. De philosophia vero nihil tale mihi scripsisti, ejus videlicet possessionem quemquam tibi eripuisse. Magnam igitur, o bona mulier, lætitiam cape ex divitiis, quæ in tua potestate sitæ sunt, earumque possessorem institue filium, quem vellem ipse jam meum esse filium. Sed quoniam

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

(Socraticorum et Pythagoreorum Epist. p. 33 seqq. Scripsi : [a] ἐδέου μου; codd. ἐδέου με. — [b] ὡς ἐν ᾅδου ὄντα ἤδη ποιοῦντας ἀναζῆν διὰ διάθεσιν φιλικήν; codd. ὡς ἐν ᾅδου τοῖς ἀρκεῖταν τίς ζῆν τῶν διάθεσιν φιλικήν. — [c] ἔκρινάς με; codd. ἔκρινάς τι. — [d] οὐ γὰρ ἂν; codd. οὐ γὰρ δὴ. — [e] καταφρονεῖσθαι pro καταφρονεῖν dicitur. Vid. nos ad Demociti fragm. p. 149. — [f] γνῶναι cum Luzacio Lectt. Att. pag. 12; codd. στῆσαι. — [g] μυστήρια intelligit sacra Eleusinia. Cæterum Aristippus, filius idem est qui cognominabatur ὁ μητροδίδακτος. Vid. Diog. Laert. II, 83. Xanthippe et Myrto Socratis uxores sunt, de quibus meminerunt Diogenes lib. II, 26, Athenæus lib. XIII, p. 555 ed. Casaub., alii. Cf. Luzacii Lectiones Atticæ de Διγαμίᾳ Socratis. Lugd. Bat. 1809. — [h] Naturalis bonorum finis voluptas est teste Diog. Laert. lib. II, 94 : πενίαν καὶ πλοῦτον, πρὸς ἡδονῆς λόγον, εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους, ἢ τοὺς πένητας. — [i] ἐκεῖθι cum Luzacio; codd. κεῖθι. — [k] βουλομένη τῷ τῆς ἐμῆς μητρὸς ὀνόματι προσηγόρευσας; codd. βουλομένης σε τῆς ἐμῆς μητρὸς ὀνόματι. — [l] Ἀμυκὴν cf. Malalas p. 201 ed. Bonn.; codd. ἀμίκαν, quod quidam in Μίκαν mutari voluerunt. — [m] προσηγόρευσα, ἐπιτήδειον ἔσται; libri προσηγόρευσα. — [n] ὅπως ἔσται ἄξιος; libri ὅπω; ἄξιος. — [o] μὲν ἂν αὐτὸς; codd. μὲν αὐτός.)

75. Οἱ ἐπὶ τῆς ἀγωγῆς τοῦ Ἀριστίππου μείναντες καὶ Κυρηναϊκοὶ προσαγορευθέντες δόξαις ἐχρῶντο τοιαύταις. Δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν· τὴν μὲν λείαν κίνησιν, τὴν ἡδονήν· τὸν δὲ πόνον τραχεῖαν κίνησιν· μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἥδιόν τι εἶναι. Καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δὲ ἀποκρουστικόν. Ἡδονὴν μέντοι τὴν τοῦ σώματος, οὐ τὴν καταστηματικὴν ἡδονήν, τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων, καὶ οἷον ἀνοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται, τέλος εἶναί φασι. Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας διαφέρειν· τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν· εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα· εἶναι δὲ τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετήν, τὴν δ' εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος ἡδονάς· εἶναι δὲ τὴν ἡδονὴν ἀγαθόν, κἂν ἀπὸ τῶν ἀσχημοτάτων γένηται. Εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὑτὴν αἱρετὴ καὶ ἀγαθόν. Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις (ὡς εἴρηται παρ' Ἐπικούρῳ) δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή, οὐδὲ ἡ ἀηδονία ἀλγηδών, ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως· ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις. Δύνασθαι δέ φασι καὶ τὴν ἡδονήν τινας μὴ αἱρεῖσθαι κατὰ διαστροφήν. Οὐ πάσας μέντοι τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλγηδόνας ἐπὶ σωματικαῖς ἡδοναῖς καὶ ἀλγηδόσι γίνεσθαι. Καὶ γὰρ ἐπὶ ψιλῇ τῇ τῆς πατρίδος εὐημερίᾳ, ἥπερ τῇ ἰδίᾳ, χαρὰν ἐγγίνεσθαι. Ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν, ἢ προσδοκίαν, ἡδονήν φασιν ἀποτελεῖσθαι· ὅπερ ἤρεσκεν Ἐπικούρῳ, ἐκλύεσθαι γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνημα. Λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν ἢ τὴν ἀκοὴν γίνεσθαι ἡδονάς. Τῶν γοῦν μιμουμένων θρήνους ἡδέως ἀκούομεν· τῶν δὲ κατὰ ἀλήθειαν, ἀηδῶς. Μέσας τε καταστάσεις ὠνόμαζον ἀηδονίαν καὶ ἀπονίαν. Πολὺ μέντοι τῶν ψυχικῶν ἡδονῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς.

(Diogenes Laertius lib. II, 86-90.)

---

ejus conversatione non satiatus ex hac vita migro, confido eum te quoque duce ingressurum esse viam bonorum virorum vestigiis tritam. Vale atque ita nos luge, ut nullis lamentis prosequaris.

75. Qui Aristippi instituta tenuerunt ac Cyrenaici appellati sunt hujusmodi decreta habebant. Duas perturbationes statuebant, dolorem et voluptatem : voluptatem lenem motum, dolorem vero asperum appellantes : nihil differre voluptatem a voluptate, neque aliud alio suavius esse. Atque illam quidem cunctis animantibus jucundam, hunc infestum esse. Voluptatem autem corporis, non stabilem illam, quæ in doloris privatione consistat, et quasi molestiæ vacuitatem, quam Epicurus admittit, finem bonorum esse dicunt. Videtur autem eis et finis a felicitate differre : quippe finem esse singularem voluptatem, contra felicitatem ex peculiaribus voluptatibus constare : peculiarem quoque voluptatem propter se ipsam esse expetendam, at felicitatem non propter se ipsam, sed propter singulas voluptates; voluptatem præterea bonum esse affirmant, etiamsi a turpissimis rebus oriatur. Quamvis sit enim fœdum facinus, voluptatem tamen per se ipsam expetendam esse atque in bonis numerandam. Porro illa doloris detractio, ut est apud Epicurum, eis non videtur esse voluptas, neque voluptatis privatio dolor : utraque enim esse in motu, quum non sit motus doloris voluptatisve privatio. Quippe illa doloris vacuitas tanquam dormientis status est. Posse quosdam ajunt voluptatem minime appetere per animi pravitatem : non tamen omnes animi voluptates ac dolores e corporis voluptatibus ac doloribus nasci. Nam ex qualibet simplici patriæ prosperitate sive privata felicitate gaudium gigni. Sed neque bonorum memoria aut exspectatione voluptatem effici ajunt, quod placebat Epicuro; nam tempore motum animi languescere. Quin nec solo visu vel auditu voluptates constare dicunt, siquidem eos qui lamentationes imitantur, libenter audimus, vere autem lamentantes, non libenter. Præterea voluptatis ac doloris privationem medios status appellabant. Longe tamen præstantiores esse corporis quam animi voluptates, deteriores vero molestias, quas corpus habet.

DE BIONE BORYSTENITA.

ΒΙΒΛΙΟΘΗΚΗ ΕΥΑΓΓΕΛΟΥ ΚΟΥΡΙΑ ΚΥΡΙΩΤΟΥ ΑΥΞΕΝΤ ΑΡΙΘ.

Sub Antigono Gonata, Demetrii filio, qui Gallis ejectis et adversariis devictis effecit ut Græcia diuturna pace frueretur, ingenia studiaque diu oppressa revocata sunt, accitis maxime in Macedoniam viris doctis et eximiis doctrinæ præmiis propositis. Hinc clarum Zenonis nomen, Cratetis utriusque, Academici et Cynici, Theophrasti aliorumque. In eandem ætatem incidit vita Bionis (1), de quo disserere hic constitui.

Is cum Persæo et Philonide in aula Antigoni vivens aliquando a rege, quod obscuro loco natus esse argueretur, sic interrogatus est (2) :

Quis tu? quæ patria est? qui te genuere parentes?

Cui ille respondit : Atqui bene facis, o rex, quum indiges sagittariis, quod non genere perquisito, sed scopo proposito, optimos illorum assumis. Sic igitur etiam, quod ad amicos attinet, non unde, sed quales sint, explora. Pater meus libertus fuit, cubito se emungens (3) (salsamentarium autem significabat), genere Borysthenita, non pura facie insignis, sed inscripta, acerbissimi domini tessera; mater vero ex lupanari, nimirum qualem hujusmodi homo ducere possit. Deinde pater, postquam merces non soluto vectigali importavit (4), cum tota domo venundatus est. Accidit tum, ut me adolescentulum haud illepidum orator quidam emeret, qui et moriens cuncta mihi reliquit. Illius ego libris combustis omnibusque corrasis Athenas concessi ibique ad philosophiæ studium me contuli.

Hujus me esse patris, generis me glorior hujus (5).

Hæc habui quæ de me dicerem. Quamobrem desinant Persæus et Philonides ista memoriæ tradere, me autem ex me ipso specta. Cæterum Bionis matrem memorat etiam Athenæus lib. XIII p. 591 F, qui eam Olympiæ nomine vocatam et Lacænam fuisse refert (6). Constat igitur Borysthenitam illis esse annumerandum qui ingenii magnitudine et doctrinæ subtilitate natalium humilitatem ipsi nobilitarint.

51. Atqui Bionis et Pyrrhonis dicta non profectus jam, sed majoris perfectionisque habitus indicia possunt intelligi. Hic enim suos familiares tum demum certos de profectu jubebat esse, quum perinde audirent maledicta, ac si quis ita ipsos alloqueretur :

Hospes, non mihi tu malus insipiensve videris,
vive, vale laetus, tibi dii dent prospera multa.

52. Festive enim Bion Borysthenita, quum æneam ejus statuam conspicatus esset, in qua erat inscriptum PERSÆUM ZENONIS CITIENSEM, errasse eum dixit qui inscripserat; nempe sic poni oportere PERSÆUM ZENONIS ATRIENSEM. Fuerat quippe hic Zenonis famulus, ut Nicias Nicæensis narrat in historia philosophorum et Sotion Alexandrinus in Successionibus.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

DE EVEMERO.

ΒΙΒΛΙΟΘ
ΕΥΛΟΓΙΟΥ
ΑΥΞΕΝ

Evemerus sive Euhemerus (1), philosophus Cyrenaïcus, quem circa Olympiadem CXX sub Cassandro (2), Macedonum rege, vixisse veteres testificantur, eminet inter eos qui super diis et rebus divinis scripserunt. De hujus patria inter locupletissimos auctores controversia est. Nam Lactantius (3) Messenium fuisse refert, Plutarchus (4) Tegeaten facit, Athenæus (5) Coum appellat, Clemens (6) denique Alexandrinus Agrigenti natum esse dicit. Is igitur principio rerum, gentium nationumque imperium penes viros fortes (7) et prudentes fuisse contendebat, qui populos nullis legibus astrictos ex ipsorum præceptis vitam agere cogerent. Tales autem homines ab imperita multitudine partim vivos jam deos esse habitos, partim mortuos consecratos. Quamobrem in libris suis natales, patrias, sepulcra tum Dictæi Jovis et Apollinis Delphici, tum Isidis et Cereris Eleusinæ, tum reliquorum qui dii putabantur enumeravit et per provincias monstravit (8). Quæ ratio adeo displicuit multis veterum, ut Evemerus totam religionem penitus sustulisse creditus a Plutarcho (9) refutarit.

(1) Cf. *Sevin*, Recherches sur la vie et les ouvrages d'Euhemère; *Fourmont*, Dissertation sur l'ouvrage d'Euhemère, intitulé ἱερὰ ἀναγραφή; *Foucher*, Mémoire sur le système d'Euhemère dans les Mémoires de l'Académie des inscriptions et belles-lettres. Vol. VIII. XV. XXXIV. — (2) Diodorus apud Eusebium Præp. evang. lib. II p. 59 : Εὐήμερος μὲν οὖν, φίλος γεγονὼς Κασάνδρου βασιλέως, κτλ. Vid. fragm. 1. — (3) Lactantius Institutionum de falsa religione lib. I cap. 11 : antiquus auctor Euhemerus, qui fuit ex civitate Messene. Sic et Plutarchus de Isid. et Osir. cap. 23, vol. IX p. 132 seq. ed. Hutten. Εὐημέρου τοῦ Μεσσηνίου. Strabo lib. I cap. 3, p. 47, ed. Casaub. τὸν Μεσσήνιον Εὐήμερον. Ælianus Var. hist. lib. II cap. 31 ὁ Εὐήμερος ὁ Μεσσήνιος. — (4) Plutarchus De plac. philos. I, 7, vol. XII p. 367 ed. Hutten. Εὐήμερος ὁ Τεγεάτης cf. Theodoret. serm. de principio. — (5) Athenæus lib. XIV, p. 658, E. Εὐήμερος ὁ Κῶος. — (6) Clemens Alexandrinus Protrept. p. 15, A. Εὐήμερον τὸν Ἀκραγαντῖνον. — (7) Sextus Empiricus adv. Math. IX, 17, p. 552 ed. Fabric. (p. 394 ed. Bekker.) : Εὐήμερος δέ φησιν, ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος, οἱ περιγενόμενοι τῶν ἄλλων ἰσχύϊ τε καὶ συνέσει, ὥστε πρὸς τὰ ὑπ' αὐτῶν κελευόμενα πάντας βιοῦν, σπουδάζοντες μείζονος θαυμασμοῦ καὶ σεμνότητος τυχεῖν, ἀνέπλασαν περὶ αὐτοὺς ὑπερβάλλουσάν τινα καὶ θείαν δύναμιν, ἔνθεν καὶ τοῖς πολλοῖς ἐνομίσθησαν θεοί. — (8) Cicero de nat. deor. I, 42 : Quid? qui aut fortes aut claros aut potentes viros tradunt post mortem ad deos pervenisse, eosque esse ipsos, quos nos colere, precari venerarique soleamus, nonne expertes sunt religionum omnium? quæ ratio maxime tractata ab Euhemero est. Ab hoc autem et mortes et sepulturæ demonstrantur deorum. Minucius Felix Octav. p. 159 seq. ed. Oudendorpii : Lege Stoicorum scripta, vel scripta sapientium, eadem mecum recognosces. Ob merita virtutis aut muneris deos habitos Euhemerus exsequitur, et eorum natales, patrias, sepulcra dinumerat, et per provincias monstrat : Dictæi Jovis et Apollinis Delphici, Phariæ Isidis et Cereris Eleusinæ. Augustinus lib. I : De consensu Evangelist. cap. 23, fol. 271 : Euhemerus poeta fuit, qui et ipsum Jovem et Saturnum patrem ejus, et Plutonem atque Neptunum fratres ejus, ita planissime homines fuisse prodit, ut eorum cultores gratias magis poetis agere debeant, quia ad eos non dehonestandos, sed potius ad exornandos multa finxerunt. Cf. idem ad Maximum epist. 44 et De civitate dei VI, 7. Adde Theophilum Ad Autolycum lib. III p. 267, Arnobium lib. IV Advers. gentes p. 87, Josephum Contra Apionem I, 223, Etymologicon Magnum p. 215, 36, Varronem lib. I De re rust. cap. 48, Columellam De re rust. IX, 2, Plinium Hist. nat. XXXVI, 12 Ceterum Festus in *Sus Minervam* : in proverbio est, inquit, ubi quis id docet alterum, cujus ipse inscius est, quam rem in medio, quod ajunt, positam Varro et Euhemerus ineptis mythis involvere maluerunt, quam simpliciter referre. — (9) Plutarchus De plac. phil. I, 7 vol. XII p. 367 ed. Hutten.: ἔνιοι τῶν φιλοσόφων, καθάπερ Διαγόρας ὁ Μήλιος καὶ Θεόδωρος ὁ Κυρηναῖος καὶ Εὐήμερος ὁ Τεγεάτης, καθόλου φασὶ μὴ εἶναι θεούς· τὸν δ' Εὐήμερον καὶ Καλλίμαχος ὁ Κυρηναῖος αἰνίττεται ἐν τοῖς ἰάμβοις γράφων· Εἰς τὸ πρὸ τείχευς ἱερὸν ἀλέες δεῦτε, Οὗ τὸν πάλαι χάλκεον (lege Παγχαῖον cum Bentlejo ad Callim. T. I p. 458) ὁ πλάσας Ζᾶνα Γέρων ἀλαζὼν ἄδικα βιβλία ψύχει. Idem De Isid. et Osir. cap. 23, vol. IX p. 132 seq. ed. Hutten.: ὀκνῶ δέ, μὴ ᾖ τὰ ἀκίνητα κινεῖν καὶ πολεμεῖν οὐ τῷ πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, μόνον, πολλοῖς δ' ἀνθρώποις ἔθνεσι καὶ γένεσι κατόχοις ὑπὸ τῆς πρὸς τοὺς θεοὺς τούτους ὁσιότητος, οὐδὲν ἀπολιπόντας ἐξ οὐρανοῦ μεταφέρειν ἐπὶ γῆν ὀνόματα τηλικαῦτα, καὶ τιμὴν καὶ πίστιν ὀλίγου δεῖν ἅπασιν ἐκ πρώτης γενέσεως ἐνδεδυκυῖαν ἐξιστάναι καὶ ἀναλύειν, μεγάλας μὲν τῷ ἀθέῳ κλισιάδας ἀνοίγοντας καὶ ἐξανθρωπίζοντας τὰ θεῖα, λαμπρὰν δὲ τῆς Εὐημέρου τοῦ Μεσσηνίου φενακισμοῖς παῤῥησίαν διδόντας, ὃς αὐτὸς ἀντίγραφα συνθεὶς ἀπίστου καὶ ἀνυπάρκτου μυθολογίας, πᾶσαν ἀθεότητα κατασκεδάννυσι τῆς οἰκουμένης, τοὺς νομιζομένους θεοὺς πάντας ὁμαλῶς διαγράφων, εἰς ὀνόματα στρατηγῶν καὶ ναυάρχων καὶ βασιλέων, ὡς δὴ πάλαι γεγονότων, ἐν δὲ Παγχαίᾳ γράμμασι χρυσοῖς ἀναγεγραμμένων, οἷς οὔτε βάρβαρος οὐδείς, οὔτε Ἕλλην, ἀλλὰ μόνος Εὐήμερος, ὡς ἔοικε, πλεύσας εἰς τοὺς μηδαμόθι γῆς γεγονότας μηδὲ ὄντας Παγχαίους καὶ Τριφυλίους ἐντετύχηκε. Ælianus Var. hist. lib. II cap. 31 : καὶ τίς οὐκ ἂν ἐπήνεσε τὴν τῶν βαρβάρων σοφίαν, εἴγε μηδεὶς αὐτῶν εἰς ἀθεότητα ἐξέπεσε, μηδὲ ἀμφιβάλλουσι περὶ θεῶν, ἀρά γε εἰσίν, ἢ οὐκ εἰσίν· καὶ ἆρά γε ἡμῶν φροντίζουσιν, ἢ οὔ; οὐδεὶς γοῦν ἔννοιαν ἔλαβε τοιαύτην, οἵαν ὁ Εὐήμερος ὁ Μεσσήνιος, ἢ Διογένης ὁ Φρύξ, ἢ Ἵππων, ἢ Διαγόρας, ἢ Σωσίας, ἢ Ἐπίκουρος, οὔτε Ἰνδός, οὔτε Κελτός, οὔτε Αἰγύπτιος. Λέγουσι δὲ τῶν βαρ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

aliis atheus nominaretur. Querebantur enim istum sublatis diis nihil nisi priscorum imperatorum, regum, navarchorum nomina reliquisse. Quid? quod Cadmum (10), Bacchi avum, coquum fuisse affirmavit. Notandum tamen Evemerum duplex deorum genus statuisse (11). Etenim alios æternos et immortales esse ajebat, velut solem et lunam cæteraque sidera cœlo infixa, præterea ventos et quæ sunt reliqua ad horum naturæ similitudinem accedentia; eorum videlicet singula ab infinito tempore generata in æternum manere. Alios vero terrestres deos fuisse præ se ferebat, sed propter beneficia in homines collata divinos honores et immortalem gloriam sibi comparasse, ut Herculem, Bacchum, Aristæum.

Quum autem Evemerus Cassandri regis amicus esset (12) ejusque jussu modo regia quædam negotia, modo itinera susciperet, narrat se in mare meridianum sive Indicum esse delatum. Quippe ab Arabia felici provectum posteaquam plures dies Oceanum navigasset, ad insulas in alto sitas appulisse, quarum una nomine Panchæa ceteris antecelleret. Ejus incolas Panchæos se vidisse pietate maxime præstare deosque magnificentissimis sacrificiis et amplissimis ex auro atque argento donis colere. Esse porro illam insulam deorum sacram, multasque alias ibi videri res simul antiquitate simul artificiosa structura insignes. Exstare ultro in illa insula super collem altissimum Jovis Triphylii templum conditum ab ipso, quo tempore adhuc inter homines esset orbemque terræ imperio regeret. In hoc templo inveniri columnam auream, quæ Panchæis litteris inscripta Cœli, Saturni et Jovis actorum summam contineat. Quapropter, si fides Evemero, deorum gesta collegit historiamque contexuit ex titulis et inscriptionibus sacris. Hanc historiam apud Romanos et interpretatus est Ennius et secutus (13).

Jam vero primum regem Cœlum fuisse testatur (14), virum tam mitem et beneficum, quam siderum motus peritum, qui et primus sacrificiis deos cœlestes coluerit: ideoque eum etiam Cœlum appellatum esse. Filios autem eum habuisse e Vesta uxore Titanem et Saturnum filiasque Rheam et Cererem. Cœlo regi Saturnum successisse, qui quum Rheam uxorem duxisset, ex ea Jovem, Junonem et Neptunum susceperit. De Saturno hæc sunt Ennii verba (15): « Exin Saturnus uxorem duxit Opem. Titan, qui major natu erat, postulat, ut ipse regnaret. Ibi Vesta

βάρων οἱ προειρημένοι καὶ εἶναι θεούς, καὶ προνοεῖν ἡμῶν, καὶ προσημαίνειν τὰ μέλλοντα, καὶ διὰ ὀρνίθων, καὶ διὰ συμβόλων, καὶ διὰ σπλάγχνων, καὶ δι' ἄλλων τινῶν μαθημάτων τε καὶ διδαγμάτων. Clemens Alexandrinus Protrept. p. 15 A: θαυμάζειν ἔπεισί μοι, ὅτῳ τρόπῳ Εὐήμερον τὸν Ἀκραγαντῖνον καὶ Νικάνορα τὸν Κύπριον, καὶ Διαγόραν, καὶ Ἵππωνα τὸν Μήλιον, τόν τε Κυρηναῖον ἐπὶ τούτοις ἐκεῖνον (ὁ Θεόδωρος ὄνομα αὐτῷ) καὶ τινας ἄλλους συχνούς, σωφρόνως βεβιωκότας, καὶ καθεωρακότας ὀξύτερόν που τῶν λοιπῶν ἀνθρώπων τὴν ἀμφὶ τοὺς θεοὺς τούτους πλάνην, ἀθέους ἐπικεκλήκασι, εἰ καὶ τὴν ἀλήθειαν αὐτὴν μὴ γνωκότας, ἀλλὰ τὴν πλάνην γε ὑπωπτευκότας, ὅπερ οὐ σμικρὸν εἰς ἀληθείας εὑρονήσεως ζώπυρον ἀναῤύεται σπέρμα. — (10) Athenæus lib. XIV p. 658 E: ἄγνοεῖν μοι δοκεῖτε, ὦ ἄνδρες δαιταλεῖς, ὅτι καὶ Κάδμος, ὁ τοῦ Διονύσου πάππος, μάγειρος ἦν. Σιωπησάντων δὲ καὶ ἐπὶ τούτῳ πάντων, Εὐήμερος, ἔφη, ὁ Κῶος ἐν τῷ τρίτῳ τῆς ἱερᾶς ἀναγραφῆς τοῦθ' ἱστορεῖ, ὡς Σιδωνίων λεγόντων τοῦτο, ὅτι Κάδμος μάγειρος ὢν τοῦ βασιλέως καὶ παραλαβὼν τὴν Ἁρμονίαν, αὐλητρίδα καὶ αὐτὴν οὖσαν τοῦ βασιλέως, ἔφυγε σὺν αὐτῇ. (11) Diodorus apud Eusebium Præp. Evang. lib. II p. 59: περὶ θεῶν τοίνυν διττὰς οἱ παλαιοὶ τῶν ἀνθρώπων τοῖς μεταγενεστέροις δεδώκασιν ἐννοίας· τοὺς μὲν γὰρ ἀϊδίους καὶ ἄφθάρτους εἶναί φασιν, οἷον ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα τὰ κατ' οὐρανὸν ἄστρα, πρὸς δὲ τούτοις ἀνέμους καὶ τοὺς ἄλλους τοὺς τῆς ὁμοίας φύσεως τούτοις τετευχότας (τούτων γὰρ ἕκαστον ἀΐδιον ἔχειν τὴν γένεσιν καὶ τὴν διαμονήν), ἑτέρους δὲ λέγουσιν ἐπιγείους γενέσθαι θεούς, διὰ δὲ τὰς εἰς ἀνθρώπους εὐεργεσίας ἀθανάτου τετυχηκότας τιμῆς καὶ δόξης, οἷον Ἡρακλέα, Διόνυσον, Ἀρισταῖον καὶ τοὺς ἄλλους τοὺς τοιούτους ὁμοίως. Περὶ δὲ τῶν ἐπιγείων θεῶν πολλοὶ καὶ ποικίλοι παραδέδονται λόγοι παρὰ τοῖς ἱστορικοῖς τε καὶ μυθογράφοις· καὶ τῶν μὲν ἱστορικῶν Εὐήμερος ὁ τὴν ἱερὰν ἀναγραφὴν ποιησάμενος ἰδίως ἀνέγραψε, τῶν δὲ μυθολόγων Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς καὶ ἕτεροι τοιοῦτοι τερατωδεστέρους μύθους περὶ θεῶν πεπλάκασιν. — (12) Diodorus apud Eusebium Præp. Evang. lib. II p. 59: Εὐήμερος μὲν οὖν, φίλος γεγονὼς Κασάνδρου βασιλέως καὶ διὰ τοῦτον ἠναγκασμένος τελεῖν βασιλικάς τινας χρείας καὶ μεγάλας ἀποδημίας, φησὶν ἐκτοπισθῆναι κατὰ τὴν μεσημβρίαν εἰς τὸν ὠκεανόν, ἐκπλεύσαντα δὲ αὐτὸν ἐκ τῆς εὐδαίμονος Ἀραβίας ποιήσασθαι τὸν πλοῦν δι' ὠκεανοῦ πλείους ἡμέρας, καὶ προσενεχθῆναι νήσοις πελαγίαις, ὧν μίαν ὑπερέχειν τὴν ὀνομαζομένην Πάγχαιαν, ἐν ᾗ τεθεᾶσθαι τοὺς ἐνοικοῦντας Παγχαίους εὐσεβείᾳ διαφέροντας καὶ τοὺς θεοὺς τιμῶντας μεγαλοπρεπεστάταις θυσίαις καὶ ἀναθήμασιν ἀξιολόγοις ἀργυροῖς τε καὶ χρυσοῖς. Εἶναι δὲ τὴν νῆσον ἱερὰν θεῶν, καὶ ἕτερα πλείω θαυμαζόμενα κατά τε τὴν ἀρχαιότητα καὶ τὴν τῆς κατασκευῆς πολυτεχνίαν, περὶ ὧν τὰ κατὰ μέρος ἐν ταῖς πρὸ ταύτης βίβλοις ἀναγεγράφαμεν. Εἶναι δ' ἐν αὐτῇ κατά τινα λόφον ὑψηλὸν καθ' ὑπερβολὴν ἱερὸν Διὸς Τριφυλίου, καθιδρυμένον ὑπ' αὐτοῦ καθ' ὃν καιρὸν ἐβασίλευσε τῆς οἰκουμένης ἁπάσης ἔτι κατὰ ἀνθρώπους ὤν. Ἐν τούτῳ τῷ ἱερῷ στήλην εἶναι χρυσῆν, ἐν ᾗ τοῖς Παγχαίοις γράμμασιν ὑπάρχειν γεγραμμένας τάς τε Οὐρανοῦ καὶ Κρόνου καὶ Διὸς πράξεις κεφαλαιωδῶς. — (13) Cicero de nat. deor. lib. I, 42: Quæ ratio maxime tractata ab Euhemero est: quem noster et interpretatus et secutus est præter cæteros Ennius. Cf. Lactantius Institutionum de falsa religione lib. I cap. 11. — (14) Diodorus apud Eusebium Præp. Evang. lib. II p. 59: Μετὰ ταῦτά φησι πρῶτον Οὐρανὸν βασιλέα γεγονέναι, ἐπιεικῆ τινα ἄνδρα καὶ εὐεργέτην καὶ τῆς τῶν ἄστρων κινήσεως ἐπιστήμονα, ὃν καὶ πρῶτον θυσίαις τιμῆσαι τοὺς οὐρανίους θεούς· διὸ καὶ Οὐρανὸν προσαγορευθῆναι. Υἱοὺς δὲ αὐτῷ γενέσθαι ἀπὸ γυναικὸς Ἑστίας Τιτᾶνα καὶ Κρόνον, θυγατέρας δὲ Ῥέαν καὶ Δήμητραν. Κρόνον δὲ βασιλεῦσαι μετὰ Οὐρανόν, καὶ γήμαντα Ῥέαν γεννῆσαι Δία καὶ Ἥραν καὶ Ποσειδῶνα. — (15) Ennius, sacræ historiæ interpres, apud Lactantium Institutionum de falsa reli-

mater eorum et sorores, Ceres atque Ops, suadent Saturno, ut de regno non concedat fratri. Ibi Titan, qui facile deterior esset, quam Saturnus, idcirco, et quod videbat, matrem atque sorores suas operam dare ut Saturnus regnaret, concessit eis, ut is regnaret. Itaque pactus est cum Saturno, uti, si quid liberûm virilis sexus ei natum esset, ne quid educaret. Id ejus rei causa fecit, uti ad suos natos regnum rediret. Tum Saturno filius qui primus natus est, eum necaverunt. Deinde posterius nati sunt gemini, Juppiter atque Juno. Tum Junonem Saturno in conspectum dedere, atque Jovem clam abscondunt, dantque eum Vestæ educandum, celantes Saturnum. Item Neptunum clam Saturno Ops parit, eumque clanculum abscondit. Ad eundem modum tertio partu Ops parit geminos, Plutonem et Glaucam. Pluton latine est Dispiter : alii Orcum dicunt. Ibi Glaucam filiam Saturno ostendunt, ac filium Plutonem celant atque abscondunt. Deinde Glauca parva emoritur. Hæc (ut scripta sunt) Jovis fratrumque ejus stirps atque cognatio. In hunc modum nobis ex sacra scriptione traditum est. » Item paulo post hæc refert : « Deinde Titan, postquam rescivit, Saturno filios procreatos atque educatos esse clam, seducit secum filios suos, qui Titani vocantur, fratremque suum Saturnum atque Opem comprehendit, eosque muro circumegit, et custodiam iis apponit. »

Alio loco tradit Jovem Saturni regis successorem (16) matrimonio sibi Junonem, Cererem et Themidem junxisse. Eundem e prima genuisse Curetes, e secunda Proserpinam, e tertia Minervam. « Ea tempestate, inquit Ennius (17), Juppiter in monte Olympo maximam partem vitæ colebat, et eo ad eum in jus veniebant, si quæ res in controversia erant. » Item : « Si quis quid novi invenerat, quod ad vitam humanam utile esset, eo veniebat, atque Jovi ostendebat ». Proditum (18) est etiam venisse eum Babylonem ibique a Belo esse hospitio acceptum, postea vero Panchæam insulam in oceano sitam adiisse, ubi Cœlo, avo suo, aram constituerit. Qua de re sic Ennius (19) in sacra historia : « Deinde Paneum deducit in montem, qui vocatur cœli stela. Postquam eo ascendit, contemplatus est late terras, ibique in eo monte aram creat Cœlo : primusque in ea ara Juppiter sacrificavit, in eo loco suspexit in cœlum, quod nunc nos nominamus : idque, quod supra mundum erat, quod æther vocabatur, de sui avi nomine cœlo nomen indidit : idque Juppiter, quod æther vocatur, placans, primum cœlum nominavit; eamque hostiam, quam ibi sacravit, totam adolevit. » Inde peragrata Syria (20) ferunt eum profectum esse ad Casium, tum ejus terræ procuratorem, a quo etiam Casio monti nomen inditum est. Mox petita Cilicia bello vicisse Cilicem, illius regionis præfectum. Præterea quum in aliis plurimis gentibus versatus esset, apud omnes cultum atque in deos relatum esse. » Ennius (21) autem descriptis omnibus, quæ ille in vita sua gessit, ad ultimum sic ait : « Deinde Juppiter, postquam terram quinquies circuivit, omnibusque amicis atque cognatis suis imperia divisit (22), reliquitque hominibus leges, mores frumentaque paravit, multaque alia bona fecit, immortali gloria memoriaque affectus sempiterna monumenta suis reliquit : ætate pessum acta in Creta vitam commutavit, et ad deos abiit; eumque Curetes filii sui curaverunt, decoraveruntque eum, et sepulcrum ejus est in Creta in oppido Gnoso; et dicitur Vesta hanc urbem creavisse : in quo sepulcro ejus est inscriptum antiquis litteris græcis : ΖΑΝ ΚΡΟΝΟΥ, id est latine, Juppiter Saturni. »

Quamvis autem sæpius Panchææ sive Panchaïæ ab Ovidio (23), Tibullo (24), Virgilio (25), Plinio (26) aliisque scriptoribus Romanis (27)

gione lib. I cap. 14. — (16) Diodorus apud Eusebium Præp. Evang. lib. II p. 59 : τὸν δὲ Δία διαδεξάμενον τὴν βασιλείαν τοῦ Κρόνου γῆμαι Ἥραν καὶ Δήμητραν καὶ Θέμιν, ἐξ ὧν παῖδας ποιήσασθαι Κουρῆτας μὲν ἀπὸ τῆς πρώτης, Φερσεφόνην δὲ ἐκ τῆς δευτέρας, Ἀθηνᾶν δὲ ἀπὸ τῆς τρίτης. — (17) Ennius apud Lactantium Institionum de falsa religione lib. I cap. 11. — (18) Diodorus apud Eusebium Præp. Evang. lib. II p. 59 : ἐλθόντα δὲ εἰς Βαβυλῶνα ἐπιξενωθῆναι Βήλῳ, καὶ μετὰ ταῦτα εἰς τὴν Πάγχαιαν νῆσον πρὸς ὠκεανῷ κειμένην παραγενόμενον Οὐρανοῦ τοῦ ἰδίου προπάτορος βωμὸν ἱδρύσασθαι. — (19) Ennius apud Lactantium Institutionum de falsa religione lib. I cap. 11. — (20) Diodorus apud Eusebium Præp. Evang. lib. II p. 59 : κἀκεῖθεν διὰ Συρίας ἐλθεῖν πρὸς τὸν τότε δυνάστην Κάσιον, ἐξ οὗ καὶ τὸ Κάσιον ὄρος. Ἐλθόντα δὲ εἰς Κιλικίαν πολέμῳ νικῆσαι Κίλικα τοπάρχην· καὶ ἄλλα δὲ πλεῖστα ἔθνη ἐπελθόντα παρ' ἅπασι τιμηθῆναι καὶ θεὸν ἀναγορευθῆναι. — (21) Ennius apud Lactantium Institutionum de falsa religione lib. I cap. 11. — (22) Eunius l. c. : Juppiter, inquit, imperium Neptuno dat maris, ut insulis omnibus et, quæ secus mare essent, locis regnaret. — (23) Ovidius Met. X, 309 : Tura ferat floresque alios Panchaïa tellus. — (24) Tibullus lib. III eleg. II vs. 23 : Illuc, quas mittit dives Panchaïa merces. — (25) Virgilius Georg. II, 139 : Totaque turiferis Panchaïa pinguis arenis. — (26) Plinius nat. hist. lib. X cap. 2 : phœnicem prope Panchaïam in solis urbem nidum suum deferre, et in ara ibi deponere ex aliorum fide narrat. — (27) Lucretius II, 417 : Araque Panchæos exhalat propter odores. Claudianus Nupt. Honor. et Mar. 94 : Panchaïa cinnama. Arnobius VII, 233 : Numina non indigne sustinent, Panchaïcas sibi ardere

mentio fiat, qui eam vel Arabiæ felicis (28) vel Troglodytices (29) vel Ægypti regionem (30) esse arbitrabantur : tamen haud pauci apud Græcos Evemeri iter fictum insulamque illam, quam pulcherrime exornatam velut in picta tabella proponit, fabulosam esse existimarunt. Itaque Plutarchus (31) et Callimachus (32) omnem ei fidem derogaverunt, Strabo (33) inter loca fabulosa cum Rhipæis montibus Panchæam insulam numeravit, Eratosthenes (34) denique philosophum mendacem vocare ausus est. Sed ne quis negligentia a me omissam esse dicat elegantem illam Panchææ aliarumque insularum descriptionem, quam ex Evemeri commentariis, ut mea fert opinio, petitam quinto libro inseruit Diodorus Siculus : age locum illum servatis ipsius Diodori verbis hîc ponamus.

Ait igitur cap. 41 seqq. Ἐπεὶ δὲ περὶ τῆς πρὸς ἑσπέραν κεκλιμένης χώρας καὶ τῆς πρὸς τὰς ἄρκτους νενευκυίας, ἔτι δὲ τῶν κατὰ τὸν ὠκεανὸν νήσων διεξήλθομεν, ἐν μέρει διέξιμεν περὶ τῶν κατὰ τὴν μεσημβρίαν νήσων τῶν ἐν ὠκεανῷ τῆς Ἀραβίας τῆς πρὸς ἀνατολὴν κεκλιμένης καὶ προσοριζούσης τῇ καλουμένῃ Κεδρωσίᾳ. Ἡ μὲν γὰρ χώρα πολλαῖς κώ-

resinulas. — (28) Servius ad Virgil. l. c. — (29) Isaac. Voss. ad Mel. lib. III cap. 8. — (30) Harduin. ad Plin. VI, 29 sect. 33. — (31) Plutarchus De Isid. et Osir. cap. 23. Vid. supra annot. 9. — (32) Callimachus apud Plutarchum De plac. phil. I, 7. Vid. supra annot. 9. — (33) Strabo lib. VII cap. 3, p. 299 : οὐ θαυμαστὸν δ' εἶναι περὶ Ὁμήρου· καὶ γὰρ τοὺς ἔτι νεωτέρους ἐκείνου πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν· Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους καὶ Πυγμαίους, Ἀλκμᾶνα δὲ Στεγανόποδας, Αἰσχύλον δὲ κυνοκεφάλους καὶ στερνοφθάλμους καὶ μονομμάτους καὶ ἄλλα μυρία. Ἀπὸ δὲ τούτων ἐπὶ τοὺς συγγραφέας βαδίζει Ῥιπαῖα ὄρη λέγοντας καὶ τὸ Ὠγύγιον ὄρος καὶ τὴν τῶν Γοργόνων καὶ Ἑσπερίδων κατοικίαν, καὶ τὴν παρὰ Θεοπόμπῳ Μεροπίδα γῆν, παρ' Ἑκαταίῳ δὲ Κιμμερίδα πόλιν, παρ' Εὐημέρῳ δὲ τὴν Παγχαίαν γῆν κτλ. Id. lib. I cap. 3, p. 47 ed. Casaub.: ὁ δὲ Δαμάστῃ χρώμενος μάρτυρι [Ἐρατοσθένης] οὐδὲν διαφέρει τοῦ καλοῦντος μάρτυρα τὸν Βεργαῖον ἢ τὸν Μεσσήνιον Εὐήμερον καὶ τοὺς ἄλλους, οὓς αὐτὸς εἴρηκε διαβάλλων τὴν φλυαρίαν. Est autem Βεργαῖος h. l. *mendax*, ut Βεργαῖον διήγημα apud Strabonem lib. II p. 100. Nam βεργαΐζειν dicitur ἀντὶ τοῦ μηδὲν ἀληθὲς λέγειν teste Stephano Byzantio v. Βέργη. Strabo lib. II cap. 3, p. 102 ed. Casaub.: οὐ πολὺ οὖν ἀπολείπεται ταῦτα τῶν Πυθέου καὶ Εὐημέρου καὶ Ἀντιφάνους ψευσμάτων. — (34) Strabo lib. II cap. 4, p. 104 ed. Casaub.: Φησὶ δ' οὖν ὁ Πολύβιος ἄπιστον καὶ αὐτὸ τοῦτο, πῶς ἰδιώτῃ ἀνθρώπῳ καὶ πένητι [τῷ Πυθέᾳ] τὰ τοσαῦτα διαστήματα πλωτὰ καὶ πορευτὰ γένοιτο; τὸν δ' Ἐρατοσθένη διαπορήσαντα, εἰ χρὴ πιστεύειν τούτοις, ὅμως περί τε τῆς Βρεττανικῆς πεπιστευκέναι καὶ τῶν κατὰ Γάδειρα καὶ τὴν Ἰβηρίαν· πολὺ δέ φησι βέλτιον τῷ Μεσσηνίῳ πιστεύειν ἢ τούτῳ. Ὁ μέντοι γε εἰς μίαν χώραν τὴν Παγχαίαν λέγει πλεῦσαι· ὁ δὲ καὶ μέχρι τῶν τοῦ κόσμου περάτων κατωπτευκέναι τὴν προσάρκτιον τῆς Εὐρώπης πᾶσαν, ἣν οὐδ' ἂν τῷ Ἑρμῇ πιστεύσαι τις λέγοντι. Ἐρατοσθένη δὲ τὸν μὲν Εὐήμερον Βεργαῖον καλεῖν, Πυθέᾳ δὲ πιστεύειν, καὶ ταῦτα μηδὲ Δικαιάρχου πιστεύσαντος.


μαις καὶ πόλεσιν ἀξιολόγοις κατοικεῖται, καὶ τούτων αἱ μὲν ἐπὶ χωμάτων ἀξιολόγων κεῖνται, αἱ δ' ἐπὶ γεωλόφων ἢ πεδίων καθίδρυνται· ἔχουσι δ' αὐτῶν αἱ μέγισται βασίλεια κατεσκευασμένα πολυτελῶς, πλῆθος οἰκητόρων ἔχοντα καὶ κτήσεις ἱκανάς. Πᾶσα δ' αὐτῶν ἡ χώρα γέμει θρεμμάτων παντοδαπῶν, καρποφοροῦσα καὶ νομὰς ἀφθόνους παρεχομένη τοῖς βοσκήμασι. Ποταμοί τε πολλοὶ διαῤῥέοντες ἐν αὐτῇ πολλὴν ἀρδεύουσι χώραν, συνεργοῦντες πρὸς τελείαν αὔξησιν τῶν καρπῶν. Διὸ καὶ τῆς Ἀραβίας ἡ πρωτεύουσα τῇ ἀρετῇ προσηγορίαν ἔλαβεν οἰκείαν, εὐδαίμων ὀνομασθεῖσα. Ταύτης δὲ κατὰ τὰς ἐσχατιὰς τῆς παρωκεανίτιδος χώρας καταντικρὺ νῆσοι κεῖνται πλείους, ὧν τρεῖς εἰσιν ἄξιαι τῆς ἱστορικῆς ἀναγραφῆς, μία μὲν ἡ προσαγορευομένη Ἱερά, καθ' ἣν οὐκ ἔξεστι τοὺς τετελευτηκότας θάπτειν, ἑτέρα δὲ πλησίον ταύτης, ἀπέχουσα σταδίους ἑπτά, εἰς ἣν κομίζουσι τὰ σώματα τῶν ἀποθανόντων ταφῆς ἀξιοῦντες. Ἡ δ' οὖν Ἱερὰ τῶν μὲν ἄλλων καρπῶν ἄμοιρός ἐστι, φέρει δὲ λιβανωτοῦ τοσοῦτο πλῆθος, ὥστε διαρκεῖν καθ' ὅλην τὴν οἰκουμένην πρὸς τὰς τῶν θεῶν τιμάς· ἔχει δὲ καὶ σμύρνης πλῆθος διάφορον καὶ τῶν ἄλλων θυμιαμάτων παντοδαπὰς φύσεις, παρεχομένας πολλὴν εὐωδίαν. Ἡ δὲ φύσις ἐστὶ τοῦ λιβανωτοῦ καὶ ἡ κατασκευὴ τοιάδε· δένδρον ἐστὶ τῷ μὲν μεγέθει μικρόν, τῇ δὲ πρόσ-ψει τῇ ἀκάνθῃ τῇ Αἰγυπτίᾳ τῇ λευκῇ παρεμφερές, τὰ δὲ φύλλα τοῦ δένδρου ὅμοια τῇ ὀνομαζομένῃ ἰτέᾳ, καὶ τὸ ἄνθος ἐπ' αὐτῷ φύεται χρυσοειδές, ὁ δὲ λιβανωτὸς γινόμενος ἐξ αὐτοῦ ὀπίζεται ὡς ἂν δάκρυον. Τὸ δὲ τῆς σμύρνης δένδρον ὅμοιόν ἐστι τῇ σχίνῳ, τὸ δὲ φύλλον ἔχει λεπτότερον καὶ πυκνότερον, ὀπίζεται δὲ περισκαφείσης τῆς γῆς ἀπὸ τῶν ῥιζῶν, καὶ ὅσα μὲν αὐτῶν ἐν ἀγαθῇ γῇ πέφυκεν, ἐκ τούτων γίνεται δὶς τοῦ ἐνιαυτοῦ, ἔαρος καὶ θέρους· καὶ ὁ μὲν πυῤῥὸς ἐαρινὸς ὑπάρχει διὰ τὰς δρόσους, ὁ δὲ λευκὸς θερινός ἐστι. Τοῦ δὲ παλιούρου συλλέγουσι τὸν καρπόν, καὶ χρῶνται βρωτοῖς καὶ ποτοῖς καὶ πρὸς τὰς κοιλίας τὰς ῥεούσας φαρμάκῳ. Διῄρηται δὲ τοῖς ἐγχωρίοις ἡ χώρα, καὶ ταύτης ὁ βασιλεὺς λαμβάνει τὴν κρατίστην, καὶ τῶν καρπῶν τῶν γινομένων ἐν τῇ νήσῳ δεκάτην λαμβάνει. Τὸ δὲ πλάτος τῆς νήσου φασὶν εἶναι σταδίων ὡς διακοσίων. Κατοικοῦσι δὲ τὴν νῆσον οἱ καλούμενοι Παγχαῖοι, καὶ τόν τε λιβανωτὸν καὶ τὴν σμύρναν κομίζουσιν εἰς τὸ πέραν καὶ πωλοῦσι τοῖς τῶν Ἀράβων ἐμπόροις, παρ' ὧν ἄλλοι τὰ τοιαῦτα φορτία ὠνούμενοι διακομίζουσιν εἰς τὴν Φοινίκην καὶ κοίλην Συρίαν, ἔτι δὲ Αἴγυπτον. Τὸ δὲ τελευταῖον ἐκ τούτων τῶν τόπων ἔμποροι διακομίζουσιν εἰς πᾶσαν τὴν οἰκουμένην. Ἔστι δὲ καὶ ἄλλη νῆσος μεγάλη, τῆς προειρημένης ἀπέχουσα σταδίους τριάκοντα, εἰς τὸ πρὸς ἕω μέρος τοῦ ὠκεανοῦ κειμένη, τῷ μήκει πολλῶν τινων σταδίων· ἀπὸ γὰρ τοῦ πρὸς ἀνατολὰς ἀνήκοντος ἄκρωτηρίου φασὶ θεωρεῖσθαι τὴν Ἰνδικὴν ἀέριον διὰ τὸ μέγεθος τοῦ διαστήματος. Ἔχει δὲ ἡ Παγχαία καθ' αὑτὴν

πολλὰ τῆς ἱστορικῆς ἀναγραφῆς ἄξια, κατοικοῦσι δ' αὐτὴν αὐτόχθονες μὲν οἱ Παγχαῖοι λεγόμενοι, ἐπήλυδες δ' Ὠκεανῖται καὶ Ἰνδοὶ καὶ Σκύθαι καὶ Κρῆτες. Πόλις δ' ἔστιν ἀξιόλογος ἐν αὐτῇ, προσαγορευομένη μὲν Πανάρα, εὐδαιμονίᾳ δὲ διαφέρουσα. Οἱ δὲ ταύτην οἰκοῦντες καλοῦνται μὲν ἱκέται τοῦ Διὸς τοῦ Τριφυλίου, μόνοι δ' εἰσὶ τῶν τὴν Παγχαίαν χώραν οἰκούντων αὐτόνομοι καὶ ἀβασίλευται. Ἄρχοντας δὲ καθιστᾶσι κατ' ἐνιαυτὸν τρεῖς· οὗτοι δὲ θανάτου μὲν οὐκ εἰσὶ κύριοι, τὰ δὲ λοιπὰ πάντα διακρίνουσι· καὶ αὐτοὶ δὲ οὗτοι τὰ μέγιστα ἐπὶ τοὺς ἱερεῖς ἀναφέρουσιν. Ἀπὸ δὲ ταύτης τῆς πόλεως ἀπέχει σταδίους ὡς ἑξήκοντα ἱερὸν Διὸς Τριφυλίου, κείμενον μὲν ἐν χώρᾳ πεδιάδι, θαυμαζόμενον δὲ μάλιστα διά τε τὴν ἀρχαιότητα καὶ τὴν πολυτέλειαν τῆς κατασκευῆς καὶ τὴν τῶν τόπων εὐφυΐαν. Τὸ μὲν οὖν περὶ τὸ ἱερὸν πεδίον συνηρεφές ἐστι παντοίοις δένδρεσιν, οὐ μόνον καρποφόροις ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς δυναμένοις τέρπειν τὴν ὄρασιν· κυπαρίττων τε γὰρ ἐξαισίων τοῖς μεγέθεσι καὶ πλατάνων καὶ δάφνης καὶ μυρσίνης καταγέμει, πληθύοντος τοῦ τόπου ναματιαίων ὑδάτων. Πλησίον γὰρ τοῦ τεμένους ἐκ τῆς γῆς ἐκπίπτει τηλικαύτη τὸ μέγεθος πηγὴ γλυκέος ὕδατος, ὥστε ποταμὸν ἐξ αὐτῆς γίνεσθαι πλωτόν· ἐκ τούτου δ' εἰς πολλὰ μέρη τοῦ ὕδατος διαιρουμένου, καὶ τούτων ἀρδευομένων, κατὰ πάντα τὸν τοῦ πεδίου τόπον συνάγκειαι δένδρων ὑψηλῶν πεφύκασι συνεχεῖς, ἐν αἷς πλῆθος ἀνδρῶν ἐν τοῖς τοῦ θέρους καιροῖς ἐνδιατρίβει, ὀρνέων τε πλῆθος παντοδαπῶν ἐννοσσεύεται, ταῖς χρόαις διάφορα καὶ ταῖς μελῳδίαις μεγάλην παρεχόμενα τέρψιν, κηπεῖαί τε παντοδαπαὶ καὶ λειμῶνες πολλοὶ καὶ διάφοροι ταῖς χλόαις καὶ τοῖς ἄνθεσιν, ὥστε τῇ θεοπρεπείᾳ τῆς προσόψεως ἄξιον τῶν ἐγχωρίων θεῶν φαίνεσθαι. Ἦν δὲ καὶ τῶν φοινίκων στελέχη μεγάλα καὶ καρποφόρα διαφερόντως, καὶ καρύαι πολλαὶ ἀκροδρύων δαψιλεστάτην τοῖς ἐγχωρίοις ἀπόλαυσιν παρεχόμεναι. Χωρὶς δὲ τούτων ὑπῆρχον ἄμπελοί τε πολλαὶ καὶ παντοδαπαί, αἱ πρὸς ὕψος ἀνηγμέναι καὶ διαπεπλεγμέναι ποικίλως ἡδεῖαν τὴν πρόσοψιν ἐποίουν καὶ τὴν ἀπόλαυσιν τῆς ὥρας ἑτοιμοτάτην παρείχοντο. Ὁ δὲ ναὸς ὑπῆρχεν ἀξιόλογος ἐκ λίθου λευκοῦ, τὸ μῆκος ἔχων δυοῖν πλέθροιν, τὸ δὲ πλάτος ἀνάλογον τῷ μήκει· κίοσι δὲ μεγάλοις καὶ παχέσιν ὑπήρειστο καὶ γλυφαῖς φιλοτέχνοις διειλημμένοις. Ἀγάλματά τε τῶν θεῶν ἀξιολογώτατα, τῇ τέχνῃ διάφορα καὶ τοῖς βάρεσι θαυμαζόμενα. Κύκλῳ δὲ τοῦ ναοῦ τὰς οἰκίας εἶχον οἱ θεραπεύοντες τοὺς θεοὺς ἱερεῖς, δι' ὧν ἅπαντα τὰ περὶ τὸ τέμενος διῳκεῖτο. Ἀπὸ δὲ τοῦ ναοῦ δρόμος κατεσκεύαστο, τὸ μὲν μῆκος σταδίων τεττάρων, τὸ δὲ πλάτος πλέθρου. Παρὰ δὲ τὴν πλευρὰν ἑκατέραν τοῦ δρόμου χαλκεῖα μεγάλα κεῖται, τὰς βάσεις ἔχοντα τετραγώνους· ἐπ' ἐσχάτῳ δὲ τοῦ δρόμου τὰς πηγὰς ἔχει λάβρως ἐκχεομένας ὁ προειρημένος ποταμός. Ἔστι δὲ τὸ φερόμενον ῥεῦμα τῇ λευκότητι καὶ γλυκύτητι διαφέρον, πρός τε τὴν τοῦ σώματος ὑγίειαν πολλὰ συμβαλλόμενον τοῖς χρωμένοις· ὀνομάζεται δὲ ὁ ποταμὸς οὗτος ἡλίου ὕδωρ. Περιέχει δὲ τὴν πηγὴν ὅλην κρηπὶς λιθίνη πολυτελής, διατείνουσα παρ' ἑκατέραν πλευρὰν σταδίους τέτταρας· ἄχρι δὲ τῆς ἐσχάτης κρηπῖδος ὁ τόπος οὐκ ἔστι βάσιμος ἀνθρώπῳ πλὴν τῶν ἱερέων. Τὸ δ' ὑποκείμενον πεδίον ἐπὶ σταδίους διακοσίους καθιερωμένον ἐστὶ τοῖς θεοῖς, καὶ τὰς ἐξ αὐτοῦ προσόδους εἰς τὰς θυσίας ἀναλίσκουσι. Μετὰ δὲ τὸ προειρημένον πεδίον ὄρος ἐστὶν ὑψηλόν, καθιερωμένον μὲν θεοῖς, ὀνομαζόμενον δὲ Οὐρανοῦ δίφρος καὶ Τριφύλιος Ὄλυμπος. Μυθολογοῦσι γὰρ τὸ παλαιὸν Οὐρανὸν βασιλεύοντα τῆς οἰκουμένης προσηνῶς ἐνδιατρίβειν ἐν τῷδε τῷ τόπῳ, καὶ ἀπὸ τοῦ ὕψους ἐφορᾶν τόν τε οὐρανὸν καὶ τὰ κατ' αὐτὸν ἄστρα, ὕστερον δὲ Τριφύλιον Ὄλυμπον κληθῆναι διὰ τὸ τοὺς κατοικοῦντας ἐκ τριῶν ἐθνῶν ὑπάρχειν· ὀνομάζεσθαι γὰρ τοὺς μὲν Παγχαίους, τοὺς δὲ Ὠκεανίτας, τοὺς δὲ Δώους, οὓς ὕστερον ὑπὸ Ἄμμωνος ἐκβληθῆναι· τὸν γὰρ Ἄμμωνά φασι μὴ μόνον φυγαδεῦσαι τοῦτο τὸ ἔθνος, ἀλλὰ καὶ τὰς πόλεις αὐτῶν ἀρδὴν ἀνελεῖν, καὶ κατασκάψαι τήν τε Δῶαν καὶ Ἀστερουσίαν. Θυσίαν τε κατ' ἐνιαυτὸν ἐν τούτῳ τῷ ὄρει ποιεῖν τοὺς ἱερεῖς μετὰ πολλῆς τῆς ἁγνείας. Μετὰ δὲ τὸ ὄρος τοῦτο καὶ κατὰ τὴν ἄλλην Παγχαΐτιν χώραν ὑπάρχειν φασὶ ζῴων παντοδαπῶν πλῆθος· ἔχειν γὰρ αὐτὴν ἐλέφαντάς τε πολλοὺς καὶ λέοντας καὶ παρδάλεις καὶ δορκάδας καὶ ἄλλα πλείω θηρία διάφορα ταῖς τε προσόψεσι καὶ ταῖς ἀλκαῖς θαυμαστά. Ἔχει δὲ ἡ νῆσος αὕτη καὶ πόλεις τρεῖς ἀξιολόγους, Ὑρακίαν καὶ Δαλίδα καὶ Ὠκεανίδα. Τὴν δὲ χώραν ὅλην εἶναι καρποφόρον, καὶ μάλιστα οἴνων παντοδαπῶν ἔχειν πλῆθος. Εἶναι δὲ τοὺς ἄνδρας πολεμικούς, καὶ ἅρμασι χρῆσθαι κατὰ τὰς μάχας ἀρχαϊκῶς. Τὴν δ' ὅλην πολιτείαν ἔχουσι τριμερῆ, καὶ πρῶτον ὑπάρχει μέρος παρ' αὐτοῖς τὸ τῶν ἱερέων, προσκειμένων αὐτοῖς τῶν τεχνιτῶν, δευτέρα δὲ μερὶς ὑπάρχει τῶν γεωργῶν, τρίτη δὲ τῶν στρατιωτῶν, προστιθεμένων τῶν νομέων. Οἱ μὲν οὖν ἱερεῖς τῶν ἁπάντων ἦσαν ἡγεμόνες, τάς τε τῶν ἀμφισβητήσεων κρίσεις ποιούμενοι καὶ τῶν ἄλλων τῶν δημοσίᾳ πραττομένων κύριοι· οἱ δὲ γεωργοὶ τὴν γῆν ἐργαζόμενοι τοὺς καρποὺς ἀναφέρουσιν εἰς τὸ κοινόν, καὶ ὅστις ἂν αὐτῶν δοκῇ κάλλιστα γεγεωργηκέναι, λαμβάνει γέρας ἐξαίρετον ἐν τῇ διαιρέσει τῶν καρπῶν, κριθεὶς ὑπὸ τῶν ἱερέων ὁ πρῶτος καὶ ὁ δεύτερος καὶ οἱ λοιποὶ μέχρι δέκα, προτροπῆς ἕνεκα τῶν ἄλλων. Παραπλησίως δὲ τούτοις καὶ οἱ νομεῖς τά τε ἱερεῖα καὶ τἄλλα παραδιδόασιν εἰς τὸ δημόσιον, τὰ μὲν ἀριθμῷ τὰ δὲ σταθμῷ, μετὰ πάσης ἀκριβείας. Καθόλου γὰρ οὐδὲν ἔξεστιν ἰδίᾳ κτήσασθαι πλὴν οἰκίας καὶ κήπου, πάντα δὲ τὰ γεννήματα καὶ τὰς προσόδους οἱ ἱερεῖς παραλαμβάνοντες τὸ ἐπιβάλλον ἑκάστῳ δικαίως ἀπονέμουσι, τοῖς δὲ ἱερεῦσι μόνοις δίδοται διπλάσιον. Χρῶνται δ' ἐσθῆσι μὲν μαλακαῖς διὰ τὸ παρ' αὐτοῖς πρόβατα ὑπάρχειν διαφέροντα τῶν ἄλλων τὴν μαλακότητα· φοροῦσι δὲ καὶ κόσμον χρυ-

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

σοῦν οὐ μόνον αἱ γυναῖκες ἀλλὰ καὶ οἱ ἄνδρες, περὶ μὲν τοὺς τραχήλους ἔχοντες στρεπτοὺς κύκλους, περὶ δὲ τὰς χεῖρας ψέλλια, ἐκ δὲ τῶν ὤτων παραπλησίως τοῖς Πέρσαις ἐξηρτημένους κρίκους. Ὑποδέσεσι δὲ κοιναῖς χρῶνται καὶ τοῖς χρώμασι πεποικιλμέναις περιττότερον. Οἱ δὲ στρατιῶται λαμβάνοντες τὰς μεμερισμένας συντάξεις φυλάττουσι τὴν χώραν, διειλημμένοι ὀχυρώμασι καὶ παρεμβολαῖς· ἔστι γάρ τι μέρος τῆς χώρας ἔχον λῃστήρια θρασέων καὶ παρανόμων ἀνθρώπων, οἳ τοὺς γεωργοὺς ἐνεδρεύοντες πολεμοῦσι τούτους. Αὐτοὶ δὲ οἱ ἱερεῖς πολὺ τῶν ἄλλων ὑπερέχουσι τρυφῇ καὶ ταῖς ἄλλαις ταῖς ἐν τῷ βίῳ καθαριότησι καὶ πολυτελείαις· στολὰς μὲν γὰρ ἔχουσι λινᾶς τῇ λεπτότητι καὶ μαλακότητι διαφόρους, ποτὲ δὲ καὶ τὰς ἐκ τῶν μαλακωτάτων ἐρίων κατεσκευασμένας ἐσθῆτας φοροῦσι· πρὸς δὲ τούτοις μίτρας ἔχουσι χρυσοϋφεῖς. Τὴν δὲ ὑπόδεσιν ἔχουσι σανδάλια ποικίλα φιλοτέχνως εἰργασμένα· χρυσοφοροῦσι δὲ ὁμοίως ταῖς γυναιξὶ πλὴν τῶν ἐνωτίων. Προσεδρεύουσι δὲ μάλιστα ταῖς τῶν θεῶν θεραπείαις καὶ τοῖς περὶ τούτων ὕμνοις τε καὶ ἐγκωμίοις, μετ' ᾠδῆς τὰς πράξεις αὐτῶν καὶ τὰς εἰς ἀνθρώπους εὐεργεσίας διαπορευόμενοι. Μυθολογοῦσι δ' οἱ ἱερεῖς τὸ γένος αὐτοῖς ἐκ Κρήτης ὑπάρχειν, ὑπὸ Διὸς ἠγμένοις εἰς τὴν Παγχαίαν, ὅτε κατ' ἀνθρώπους ὢν ἐβασίλευε τῆς οἰκουμένης· καὶ τούτων σημεῖα φέρουσι τῆς διαλέκτου, δεικνύντες τὰ πολλὰ διαμένειν παρ' αὐτοῖς Κρητικῶς ὀνομαζόμενα· τήν τε πρὸς αὐτοὺς οἰκειότητα καὶ φιλανθρωπίαν ἐκ προγόνων παρειληφέναι, τῆς φήμης ταύτης τοῖς ἐκγόνοις παραδιδομένης ἀεί. Ἐδείκνυον δὲ καὶ ἀναγραφὰς τούτων, ἃς ἔφασαν τὸν Δία πεποιῆσθαι καθ' ὃν καιρὸν ἔτι κατ' ἀνθρώπους ὢν ἱδρύσατο τὸ ἱερόν. Ἔχει δ' ἡ χώρα μέταλλα δαψιλῆ χρυσοῦ τε καὶ ἀργύρου καὶ χαλκοῦ καὶ κασσιτέρου καὶ σιδήρου· καὶ τούτων οὐδὲν ἔξεστιν ἐξενεγκεῖν ἐκ τῆς νήσου, τοῖς δ' ἱερεῦσιν οὐδ' ἐξελθεῖν τὸ παράπαν ἐκ τῆς καθιερωμένης χώρας· τὸν δ' ἐξελθόντα ἐξουσίαν ἔχει ὁ περιτυχὼν ἀποκτεῖναι. Ἀναθήματα δὲ χρυσᾶ καὶ ἀργυρᾶ πολλὰ καὶ μεγάλα τοῖς θεοῖς ἀνάκειται, σεσωρευκότος τοῦ χρόνου τὸ πλῆθος τῶν καθιερωμένων ἀναθημάτων. Τά τε θυρώματα τοῦ ναοῦ θαυμαστὰς ἔχει τὰς κατασκευὰς ἐξ ἀργύρου καὶ χρυσοῦ καὶ ἐλέφαντος, ἔτι δὲ θύας δεδημιουργημένας. Ἡ δὲ κλίνη τοῦ θεοῦ τὸ μὲν μῆκος ὑπάρχει πηχῶν ἕξ, τὸ δὲ πλάτος τεττάρων, χρυσῆ δὲ ὅλη καὶ τῇ κατὰ μέρος ἐργασίᾳ φιλοτέχνως κατεσκευασμένη. Παραπλήσιος δὲ καὶ ἡ τράπεζα τοῦ θεοῦ καὶ τῷ μεγέθει καὶ τῇ λοιπῇ πολυτελείᾳ παράκειται πλησίον τῆς κλίνης. Κατὰ δὲ μέσην τὴν κλίνην ἕστηκε στήλη χρυσῆ μεγάλη, γράμματα ἔχουσα τὰ παρ' Αἰγυπτίοις ἱερὰ καλούμενα, δι' ὧν ἦσαν αἱ πράξεις Οὐρανοῦ τε καὶ Διὸς ἀναγεγραμμέναι, καὶ μετὰ ταύτας αἱ Ἀρτέμιδος καὶ Ἀπόλλωνος ὑφ' Ἑρμοῦ προσαναγεγραμμέναι.

Sed hæc hactenus. Restat, ut illa fragmenta, quæ Eusebius, Sextus Empiricus et Athenæus ad Evemerum auctorem referunt, castigata atque e græco in latinum a nobis conversa subjiciamus.


ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΟΥ ΚΥΡΙΛΛΑ
ΑΥΞΕΝΤΙΟΥ
ΑΥΞΕΝ. ΑΡΙΘ.

ΕΥΗΜΕΡΟΥ
ΑΠΟΣΠΑΣΜΑΤΙΑ.

EVEMERI
FRAGMENTA.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΗΜΕΡΟΥ ΚΟΥΡΙΛΛΑ
ΛΥΡΙΩΤΟΥ

1. Ὁ Διόδωρος καὶ ἐν τῇ ἕκτῃ ἀπὸ τῆς Εὐημέρου τοῦ Μεσσηνίου γραφῆς ἐπικυροῖ τὴν αὐτὴν θεολογίαν, ὧδε κατὰ λέξιν φάσκων· « Περὶ θεῶν τοίνυν διττὰς οἱ παλαιοὶ τῶν ἀνθρώπων τοῖς μεταγενεστέροις δεδώκασιν ἐννοίας· τοὺς μὲν γὰρ ἀϊδίους καὶ ἀφθάρτους εἶναί φασιν, οἷον ἥλιον καὶ σελήνην καὶ τὰ ἄλλα τὰ κατ' οὐρανὸν ἄστρα, πρὸς δὲ τούτοις ἀνέμους καὶ τοὺς ἄλλους τοὺς τῆς ὁμοίας φύσεως τούτοις τετευχότας (τούτων γὰρ ἕκαστον ἀΐδιον ἔχειν τὴν γένεσιν καὶ τὴν διαμονήν), ἑτέρους δὲ λέγουσιν ἐπιγείους γενέσθαι θεούς, διὰ δὲ τὰς εἰς ἀνθρώπους εὐεργεσίας ἀθανάτου τετυχηκότας τιμῆς καὶ δόξης, οἷον Ἡρακλέα, Διόνυσον, Ἀρισταῖον καὶ τοὺς ἄλλους τοὺς τοιούτους ὁμοίως. Περὶ δὲ τῶν ἐπιγείων θεῶν πολλοὶ καὶ ποικίλοι παραδέδονται λόγοι παρὰ τοῖς ἱστορικοῖς τε καὶ μυθογράφοις· καὶ τῶν μὲν ἱστορικῶν Εὐήμερος ὁ τὴν ἱερὰν ἀναγραφὴν ποιησάμενος ἰδίως ἀνέγραψε, τῶν δὲ μυθολόγων Ὅμηρος καὶ Ἡσίοδος καὶ Ὀρφεὺς καὶ ἕτεροι τοιοῦτοι τερατωδεστέρους μύθους περὶ θεῶν πεπλάκασιν. Ἡμεῖς δὲ τὰ παρ' ἀμφοτέροις ἀναγεγραμμένα πειρασόμεθα συντόμως ἐπιδραμεῖν, στοχαζόμενοι τῆς συμμετρίας. Εὐήμερος μὲν οὖν, φίλος γεγονὼς Κασάνδρου βασιλέως καὶ διὰ τοῦτον ἠναγκασμένος τελεῖν βασιλικάς τινας χρείας καὶ μεγάλας ἀποδημίας, φησὶν ἐκτοπισθῆναι κατὰ τὴν μεσημβρίαν εἰς τὸν ὠκεανόν, ἐκπλεύσαντα δὲ αὐτὸν ἐκ τῆς εὐδαίμονος Ἀραβίας ποιήσασθαι τὸν πλοῦν δι' ὠκεανοῦ πλείους ἡμέρας, καὶ προσενεχθῆναι νήσοις πελαγίαις, ὧν μίαν ὑπερέχειν τὴν ὀνομαζομένην Πάγχαιαν, ἐν ᾗ τεθεᾶσθαι τοὺς ἐνοικοῦντες Παγχαίους εὐσεβείᾳ διαφέροντας καὶ τοὺς θεοὺς τιμῶντας μεγαλοπρεπεστάταις θυσίαις καὶ ἀναθήμασιν ἀξιολόγοις ἀργυροῖς τε καὶ χρυσοῖς. Εἶναι δὲ τὴν νῆσον ἱερὰν θεῶν, καὶ ἕτερα πλείω θαυμαζόμενα κατά τε τὴν ἀρχαιότητα καὶ τὴν τῆς κατασκευῆς πολυτεχνίαν, περὶ ὧν τὰ κατὰ μέρος ἐν ταῖς πρὸ ταύτης βίβλοις ἀναγεγράφαμεν. Εἶναι δ' ἐν αὐτῇ κατά τινα λόφον ὑψηλὸν καθ' ὑπερβολὴν ἱερὸν Διὸς Τριφυλίου, καθιδρυμένον ὑπ' αὐτοῦ καθ' ὃν καιρὸν ἐβασίλευσε τῆς οἰκουμένης ἁπάσης ἔτι κατὰ ἀνθρώπους ὤν. Ἐν τούτῳ τῷ ἱερῷ στήλην εἶναι χρυσῆν, ἐν ᾗ τοῖς Παγχαίοις γράμμασιν ὑπάρχειν γεγραμμένας τάς τε Οὐρανοῦ καὶ Κρόνου καὶ Διὸς πράξεις κεφαλαιωδῶς. Μετὰ ταῦτά φησι πρῶτον Οὐρανὸν βασιλέα γεγονέναι, ἐπιεικῆ τινα ἄνδρα καὶ εὐεργέτην καὶ τῆς τῶν ἄστρων κινήσεως ἐπιστήμονα, ὃν καὶ πρῶτον θυσίαις τιμῆσαι τοὺς οὐρανίους θεούς· διὸ καὶ Οὐρανὸν προσαγορευθῆναι. Υἱοὺς δὲ αὐτῷ γενέσθαι ἀπὸ γυναικὸς Ἑστίας

1. Diodorus etiam libro sexto ex Evemeri Messenii volumine eandem rerum divinarum scientiam confirmat (cf. III, 59) ad verbum ita scribens : « Duplicem igitur veteres deorum notionem posteris tradiderunt. Alios enim æternos et immortales esse ajunt, velut solem et lunam ceteraque sidera cœlo infixa, præterea ventos et quæ sunt reliqua ad horum naturæ similitudinem accedentia ; (eorum enim singula ab infinito tempore generata in æternum manere :) alios vero terrestres deos fuisse affirmant, sed propter beneficia in homines collata divinos honores et immortalem gloriam sibi comparasse, ut Herculem, Bacchum, Aristæum ceterosque ejusdem generis eadem ratione. De diis terrestribus multæ variæque narrationes apud historiarum auctores et fabularum scriptores exstant ; atque ex historicis quidem Evemerus qui rerum sacrarum commentarios confecit peculiari modo de iis conscripsit, e fabularum autem narratoribus Homerus, Orpheus aliique ejus generis monstruose fictas de diis fabulas retulerunt. Nos vero res utriusque generis monumentis mandatas paucis percurrere conabimur, narrationis æquabilitati studentes. Evemerus igitur, qui Cassandri regis amicus erat ejusque jussu tum regia quædam negotia tum magna itinera suscipiebat, ait se in mare meridianum sive Indicum esse delatum. Quippe ab Arabia felici provectum quum plures dies Oceanum navigasset, ad insulas in alto sitas appulisse, quarum una nomine Panchæa ceteris antecelleret. Ejus incolas Panchæos se vidisse pietate maxime præstare, deosque magnificentissimis sacrificiis et amplissimis ex auro atque argento donis colere. Esse autem illam insulam deorum sacram, multasque alias ibi videri res simul antiquitate simul artificiosa structura insignes, de quibus singulatim in superioribus libris exposuimus. Exstare vero in illa insula super collem altissimum Jovis Triphylii templum, conditum ab ipso quo tempore adhuc inter homines esset orbemque terræ imperio regeret. In hoc templo inveniri columnam auream, quæ Panchæis litteris inscripta Cœli, Saturni et Jovis actorum summam contineat. Post hæc ait primum regem Cœlum fuisse, virum tam mitem et beneficum quam siderum motus peritum, qui et primus sacrificiis deos cœlestes coluerit : ideoque eum etiam Cœlum appellatum esse. Filios autem eum habuisse e Vesta uxore Titanem et Saturnum, filiasque Rheam et Cererem.

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

Τιτᾶνα καὶ Κρόνον, θυγατέρας δὲ Ῥέαν καὶ Δήμητραν. Κρόνον δὲ βασιλεῦσαι μετὰ Οὐρανόν, καὶ γήμαντα Ῥέαν γεννῆσαι Δία καὶ Ἥραν καὶ Ποσειδῶνα. Τὸν δὲ Δία διαδεξάμενον τὴν βασιλείαν τοῦ Κρόνου γῆμαι Ἥραν καὶ Δήμητραν καὶ Θέμιν, ἐξ ὧν παῖδας ποιήσασθαι Κουρῆτας μὲν ἀπὸ τῆς πρώτης, Φερσεφόνην δὲ ἐκ τῆς δευτέρας, Ἀθηνᾶν δὲ ἀπὸ τῆς τρίτης. Ἐλθόντα δὲ εἰς Βαβυλῶνα ἐπιξενωθῆναι Βήλῳ, καὶ μετὰ ταῦτα εἰς τὴν Πάγχαιαν νῆσον πρὸς ὠκεανῷ κειμένην παραγενόμενον Οὐρανοῦ τοῦ ἰδίου προπάτορος βωμὸν ἱδρύσασθαι. Κἀκεῖθεν διὰ Συρίας ἐλθεῖν πρὸς τὸν τότε δυνάστην Κάσιον, ἐξ οὗ καὶ τὸ Κάσιον ὄρος. Ἐλθόντα δὲ εἰς Κιλικίαν πολέμῳ νικῆσαι Κίλικα τοπάρχην. Καὶ ἄλλα δὲ πλεῖστα ἔθνη ἐπελθόντα παρ' ἅπασι τιμηθῆναι καὶ θεὸν ἀναγορευθῆναι. » Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ὡς περὶ θνητῶν ἀνδρῶν περὶ τῶν θεῶν διελθὼν ἐπιφέρει λέγων » Καὶ περὶ μὲν Εὐημέρου τοῦ συνταξαμένου τὴν ἱερὰν ἀναγραφὴν ἀρκεσθησόμεθα τοῖς ῥηθεῖσι, τὰ δὲ παρὰ τοῖς Ἕλλησι μυθολογούμενα περὶ θεῶν ἀκολούθως Ἡσιόδῳ καὶ Ὁμήρῳ καὶ Ὀρφεῖ πειρασόμεθα συντόμως ἐπιδραμεῖν. »

(Eusebius Præp. evang. lib. II cap. 2, p. 59.)

2. Εὐήμερος δέ, ὁ ἐπικληθεὶς ἄθεος, φησίν, ὅτ' ἦν ἄτακτος ἀνθρώπων βίος, οἱ περιγενόμενοι τῶν ἄλλων ἰσχύϊ τε καὶ συνέσει, ὥστε πρὸς τὰ ὑπ' αὐτῶν κελευόμενα πάντας βιοῦν, σπουδάζοντες μείζονος θαυμασμοῦ καὶ σεμνότητος τυχεῖν, ἀνέπλασαν περὶ αὑτοὺς ὑπερβάλλουσάν τινα καὶ θείαν δύναμιν, ἔνθεν καὶ τοῖς πολλοῖς ἐνομίσθησαν θεοί.

(Sextus Empiricus adv. Math. IX, 17, p. 552 ed. Fabric. [pag. 394 ed. Bekker.])

3. Ἀγνοεῖν μοι δοκεῖτε, ὦ ἄνδρες δαιταλεῖς, ὅτι καὶ Κάδμος, ὁ τοῦ Διονύσου πάππος, μάγειρος ἦν. Σιωπησάντων δὲ καὶ ἐπὶ τούτῳ πάντων, Εὐήμερος, ἔφη, ὁ Κῷος ἐν τῷ τρίτῳ τῆς ἱερᾶς ἀναγραφῆς τοῦθ' ἱστορεῖ, ὡς Σιδωνίων λεγόντων τοῦτο, ὅτι Κάδμος μάγειρος ὢν τοῦ βασιλέως καὶ παραλαβὼν τὴν Ἁρμονίαν, αὐλητρίδα καὶ αὐτὴν οὖσαν τοῦ βασιλέως, ἔφυγε σὺν αὐτῇ.

(Athenæus lib. XIV p. 658. e.)

Cœlo regi Saturnum successisse, qui quum Rheam uxorem duxisset, ex ea Jovem, Junonem et Neptunum susceperit. Tum Jovem Saturni regis successorem matrimonio sibi Junonem, Cererem e Themidem junxisse. Eundem e prima genuisse Curetes, e secunda Proserpinam, e tertia Minervam. Venisse eum Babylonem ibique a Belo esse hospitio acceptum, postea vero Panchæam insulam in oceano sitam adiisse, ubi Cœlo, avo suo, aram constituerit. Inde peragrata Syria eum profectum esse ad Casium tum ejus terræ procuratorem, a quo etiam Casio monti nomen inditum est. Mox petita Cilicia bello vicisse Cilicem, illius regionis præfectum. Præterea quum in aliis plurimis gentibus versatus esset, apud omnes cultum atque in deos relatum esse. « Hæc atque horum similia postquam de diis tanquam de mortalibus disseruit scriptor, subjicit: « Ac de Evemero quidem, qui rerum sacrarum commentarios scripsit, hæc retulisse sufficerit; quæ vero apud Græcos fabulose de diis narrantur, ea Hesiodum, Homerum et Orpheum secuti breviter percurremus. »

2. Evemerus, cognomento atheus : Quo tempore, inquit, inculta erat mortalium vita, homines ceteris simul corporis firmitate simul prudentia ita præstantes, ut hi omnes ex illorum præceptis vitam agerent, quum majorem et admirationem et dignitatem consequi niterentur, insitatam quandam ac divinam vim simularunt, unde etiam ab imperita multitudine dii habiti sunt.

3. Ignorare mihi videmini, o convivæ, Cadmum etiam, Bacchi avum, fuisse coquum. Tacentibus vero in hac quoque re omnibus, Evemerus Cous, inquit, tertio historiæ sacræ libro Sidoniis scilicet testibus usus tradit Cadmum, regis coquum, Harmonia tibicina, quæ et ipsa regis erat, itineris socia assumta aufugisse.

ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

ΤΗΝΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ

FIGURÆ

IN CHALCIDII COMMENTARIO CITATÆ.


ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡ
ΛΑΥΡΙΩΤΟΥ
ΑΥΞΩΝ ΑΡΙΘ.

IN HIS TABULIS


Figura 4 (p. 184) expressa est tab. I, fig. 6.
Figura 5 (p. 195) expressa est tab. II, fig. 3.
Figura 6 (p. 196) expressa est tab. II, fig. 4.
Figura 7 (p. 199) expressa est tab. II, fig. 6.
Figura 8 (ibid.) expressa est tab. III, fig. 1.
Figura 9 (p. 200) expressa est tab. III, fig. 2.
Figura 10 (p. 201) expressa est tab. III, fig. 3.
Figura 11 (p. 202) expressa est tab. III, fig. 5.
Figura 12 (ibid.) expressa est tab. III, fig. 6.
Figura 13 (ibid.) expressa est tab. III, fig. 7.
Figura 14 (p. 203) expressa est tab. IV, fig. 1.
Figura 15 (p. 206) expressa est tab. IV, fig. 2.
Figura 16 (p. 207) expressa est tab. IV, fig. 4.
Figura 17 (p. 208) expressa est tab. IV, fig. 5.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ
Μητροπολίτη
ΕΥΛΟΓΙΟΥ ΚΟΥΡΙΛΑ


F. 1.




F. 2.




F. 3.




F. 4.




F. 5.




F. 6.




F. 7.




F. 1.




F. 2.






F. 3.


F. 4.






F. 5.

F. 6.




ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ


F. 1.




F. 2.




F. 3.




F. 4.




F. 5.




F. 6.



F. 7.




F. 8.




ΒΙΒΛΙΟ
ΣΥΛΛΟΓΟΥ ΚΥΡΙΛΛΑ
ΑΥΞΗΝΑ


F. 1.



F. 3.




F. 2.




ΒΙΒΛΙΟΘΗΚΗ
ΕΥΑΓΓΕΛΙΟΥ ΚΟΥΡΙΛΑ
ΑΥΤΟΥ ΑΡΙΘ.

F. 4.



F. 5.



ΠΑΝΕΠΙΣΤΗΜΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΙΩΑΝΝΙΝΩΝ